Scholia on Aelius Aristides: Panathenaic Oration by Scholia on Aelius Aristides

ΠΑΝΑΘΗΝΑΙΚΟΣ.

91,1 Νόμος ἐστὶ ἀπὸ ἔθους. τὸ προοίμιον ἀπὸ προσοχῆς εἴληπται καὶ συστάσεως τοῦ οἰκείου προσώπου. συνειδὼς γὰρ ὁ ῥήτωρ ὅτι εἰς μεγάλην ὑπόθεσιν ἐνέβαλλεν ἑαυτὸν μεταστατικῶς καταφεύγει ἐπὶ τὸν νόμον. ἰστέον δὲ ὅτι τρεῖς εἰσι νόμοι, ὁ ἐκ φύσεως, ὁ ἔγγραφος, ὁ ἐξ ἔθους. ἔστι δὲ ὁ μὲν ἐκ φύσεως πάντα ἁπλῶς, ὁ δὲ ἔγγραφος ὁ περὶ τῶν πολιτειῶν γεγραμμένος, ὁ δὲ ἐξ ἔθους· χρὴ τὸν στρατιώτην τοιᾷδε χρῆσθαι σκευῇ. ζητεῖται δὲ ἐνταῦθα περὶ ποίου νόμου φησί. καὶ λέγομεν ὅτι περὶ τοῦ ἀπὸ τοῦ ἔθους· συνηθείᾳ γάρ τινι τιμῶμεν τοὺς τροφέας. τροφεῦσι δὲ εἶπε καὶ οὐ γονεῦσιν· οὐ γὰρ οἱ τροφεῖς ἡμῶν ἤδη καὶ γονεῖς· ὥσπερ τὸ ἐναντίον· τροφεῖς γάρ εἰσιν οἱ παιδαγωγοῦντες καὶ διδάσκοντες ἡμᾶς. ἔτι ζητεῖται διὰ τί ἀπὸ νόμου ὁ ῥήτωρ ἤρξατο. καὶ φαμὲν ὅτι, ἐπειδὴ παρ᾽ Ἀθηναίοις ὁ λόγος ἐγένετο ἀνθρώποις δημοκρατουμένοις καὶ οἷς οἱ νόμοι ἦσαν προσφιλεῖς, διὰ τοῦτο ἀπὸ νόμου ἤρξατο. μαρτυρεῖ δὲ καὶ Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους λόγῳ νόμον καλέσας τὴν πόλιν. δεῖ δὲ εἰδέναι ὅτι ὅσα ἐστὶ νόμου ἐγκώμια, ταῦτα ἀνατέθεικεν ὁ Ἀριστείδης τῷ παρόντι λόγῳ. ἐγκωμιάζεται δὲ νόμος ἀπὸ χρόνου ἐκ τῶν χρωμένων καὶ εἰ ἐπέμεινε κρατῶν· ἅπερ ἐν ἀρχῇ δηλοῖ· ἐκ μὲν γὰρ τοῦ παλαιὸς εἰπεῖν τὸν χρόνον ἐδήλωσεν· ἐκ δὲ τοῦ τοῖς Ἕλλησι τοὺς χρωμένους· ἔνδοξοι γάρ· ἐκ δὲ τοῦ ἐστὶ τὸ ἔτι αὐτὸν κρατεῖν. τὸ προοίμιον ἀπὸ προσοχῆς εἴληπται καὶ συστάσεως τοῦ οἰκείου προσώπου. συνειδὼς γὰρ ὁ ῥήτωρ ὅτι εἰς μεγάλην ὑπόθεσιν ἐνέβαλεν ἑαυτὸν μεταστατικῶς καταφεύγει ἐπὶ τὸν νόμον. νόμοι δὲ τρεῖς εἰσιν, ὁ ἐκ φύσεως, ὁ ἔγγραφος, ὁ ἐξ ἔθους. ἔστι δὲ ὁ ἐκ φύσεως οἷον τὸ ἐρᾶν, τὸ γελᾶν· ὁ δὲ ἔγγραφος πᾶσι πρόδηλος· ὁ δὲ ἐξ ἔθους, οἷον τὸν στρατιώτην τοιάνδε σκευὴν φορεῖν. περὶ ποίου οὖν ἄρα νόμου ἐνταῦθα λέγει; λέγομεν ὅτι τοῦ ἀπὸ ἔθους· συνηθείᾳ γάρ τινι τιμῶμεν τοὺς τροφέας. ἄξιον δὲ ζητῆσαι διὰ τί ἀπὸ νόμου ἤρξατο. διόπερ φαμὲν ὅτι ἐπειδήπερ παρ᾽ Ἀθηναίοις ὁ λόγος ἐλέγετο, δημοκρατουμένοις ἀνθρώποις καὶ οἷς προσφιλεῖς ἦσαν οἱ νόμοι, διὰ τοῦτο ἀπὸ νόμου κατήρξατο. μαρτυρεῖ δὲ καὶ Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους, νόμον

καλέσας τὴν πόλιν. δεῖ δὲ εἰδέναι ὅτι ὅσα ἐστὶ νόμου ἐγκώμια, ταῦτα ἀντέθηκεν Ἀριστείδης τῷ παρόντι νόμῳ. ἐγκωμιάζεται δὲ—κρατεῖν. ἀναγκαῖον οὐ μόνον ἑαυτῷ, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις τὸ τῆς πόλεως ἐγκώμιον κατασκευάζει ἐν προοιμίοις ὁ ῥήτωρ, λέγων ὡς νόμος ἐπιτάττει τοὺς τροφέας ἀμείβεσθαι. τοιοῦτοι δὲ οἱ Ἀθηναῖοι· καὶ γὰρ ἐξ αὐτῶν ὁ σῖτος εἰς ἅπαντας ἀνθρώπους δεδώρηται, καὶ τὸ τῶν λόγων χρῆμα, οὗ καὶ αὐτὸς ἐνταῦθα μετέσχε. εἰκότως δὲ εἶπε τὸ παλαιὸς καὶ τὸ οἶμαι, διὰ μὲν τοῦ παλαιὸς δεικνὺς τὸ σεμνὸν, νόμου δὲ καὶ τούτου σεμνότερον, διὰ δὲ τοῦ οἶμαι ἐμφαίνων ὡς οὐχ ἅπαντες τῶν βαρβάρων τοῦτον τιμῶσι τὸν νόμον, ἀλλ᾽ εἰσὶν αὐτῶν οἳ πρὸς τοὺς γεγενηκότας θηρίων δίκην φαίνονται. καὶ τὸ μὲν τοῦ σίτου κατὰ παραδρομὴν λέγεται, τὸ δὲ τῶν λόγων ἐπεξεργάζεται. οἶμαι δὲ καὶ καλῶς προέθηκε τὸ οἶμαι· ἐπειδὴ γὰρ εἶπεν ὅτι τοῖς Ἕλλησίν ἐστιν οὗτος ὁ νόμος κελεύων τιμᾶν τοὺς τροφέας, ἔπειτά γε καὶ βαρβάρους, ἵνα μὴ δόξωσιν οἱ Ἕλληνες ὅμοιοι τοῖς βαρβάροις, διὰ τοῦτο ἐπήγαγε τὸ οἶμαι, διστακτικῶς ἐπὶ τῶν βαρβάρων εἰπών. τῶν βαρβάρων τοῖς πλείστοις τῶν βαρβάρων πλείστοις εἶπε καὶ οὐχ ἅπασι, διὰ Ἰνδοὺς καὶ Μασσαγέτας. οὗτοι γὰρ οὐ θάπτουσι τοὺς πατέρας, ἀλλὰ κατεσθίουσιν. οὐκ ἔστι δὴ πρὸς τὸ προκείμενον· εἰ μὲν ἀτιμάζοντες τοὺς ἐποίουν, εἶχε λόγον τὸ λεχθέν· ἐπειδὴ κἂν ἄτοπον τὸ γενόμενον, νόμος τιμῆς ἐστι παρ᾽ αὐτοῖς, τούτου χάριν οὐ δεῖ νομίζειν ὅτι τούτους ἐπεξελὼν εἶπεν, ἀλλ᾽ ὑπεξαιρεῖταί τινας βαρβάρους καὶ μήτε θεοὺς μήτε γονεῖς εἰδότας τιμᾶν. διὸ εἶπε τὸ οἶμαι. ἀμέλει λέγει περὶ αὐτῶν τῶν Μασσαγετῶν, ὅτι σφάζοντες τοὺς γονεῖς πρὸ τοῦ τελευτᾶν τὰς κεφαλὰς αὐτῶν ἐχρύσουν καὶ μέρη τινὰ τοῦ σώματος. ταῦτα δὲ πάλιν ἐποίουν διὰ τιμὴν αὐτῶν, οὕς τε οὖν οὐ διὰ τοῦτο εἶπεν ὁ ῥήτωρ.

91,2 τροφεῦσι ἤγουν τοῖς διδασκάλοις ἢ παιδαγωγοῖς. καλῶς εἶπε τροφεῦσι καὶ οὐ γονεῦσι. γονεὺς μὲν γάρ ἐστιν ὁ γεννήτωρ, τροφεὺς δὲ ὁ θρέψας. τοὺς διδασκάλους καλεῖ τροφέας. τροφεῦσι χάριν ἐκτίνειν τροφέας τοὺς διδασκάλους καλεῖ. περὶ τροφέων δὲ διαλεγόμενος καλῶς προέταξε τοῦ νόμου, δεικνὺς ὅτι μεγίστη τιμωρία ὑπόκειται τῇ τοῦ νόμου κολάσει· οἱ μὴ σπεύδοντες τοὺς γονεῖς θεραπεύειν. εἶτα καὶ τὴν αἰτίαν ἐν τῷ προοιμίῳ προστίθησι λέγων δι᾽ ἣν ἦλθεν ἐπὶ τὸ ἐγκώμιον τῆς πόλεως· ἐν γὰρ Ἀθήναις διδαχθεὶς ἀμείβεται τὴν πόλιν τῆς παιδεύσεως τροφέας

αὐτὴν καὶ πατέρα τῶν λόγων καλῶν. πεποίηκε δὲ τὸ προοίμιον ἀναγκαῖον, νόμον ὀνομάσας τὸν ἐπιτάττοντα. ὠνόμασε δὲ καὶ βαρβάρους τιμῶντας τὸν νόμον, πανταχόθεν αὐτὸν δεικνὺς κάλλιστον· εἶτα καὶ τὸν χρόνον προείρηκεν εἰπὼν παλαιός· νόμων γὰρ ἔπαινος ὁ χρόνος· διὰ δὲ τοῦ ἐστὶ χρησιμώτερον αὐτὸν ἐμφαίνει δηλῶν τὸ ὠφέλιμον τῶν νεαρῶν. ὅση δυνατὴ ὅσα ὁ μαθητὴς δύναται, κἂν μὴ πρὸς ἀξίαν ἰσχύσῃ· οὐ γάρ τις δύναται διδασκάλους κατ᾽ ἀξίαν ἀμείψασθαι, εἴ γε ψυχῇ προϋπῆρχεν εὐεργετούμενος οὕστινας ὁποίους.

91,3 ἄγοι νομίζοι. δοκῶν φαινόμενος. δοκῶν γε δή πως εἰς Ἕλληνας σοφούς. καὶ Μένανδρος

Ἕλληνές εἰσιν ἄνδρες οὐκ ἀγνώμονες
καὶ μετὰ λογισμοῦ πάντα πράττουσίν τινος.

τινὲς δὲ οὐκ ἐπῄνεσαν τὴν σύνθεσιν τοῦ κώλου διὰ τὸ ἐφεξῆς ἔχειν τὸν σύνδεσμον, ἀγνοοῦντες ὅτι ἐπίτασιν δηλοῖ, ἀντὶ τοῦ λογιζόμενοι πάντ᾽ ἐλλογίμος εἶναι. τελεῖν ὑπάρχειν.

91,4 μάλιστα μὲν γὰρ τοῦτο λέγει διὰ τὴν εἰς πᾶσαν γῆν διασπορὰν τοῦ σίτου διὰ Τριπτολέμου καὶ Κελεοῦ, τῶν Ἀττικῶν ἀνδρῶν. προϊὼν δὲ λέξει τὴν ἱστορίαν. ἀντέπιπτεν αὐτῷ τὸ τῆς ὁμωνυμίας. ἐπειδὴ γὰρ τροφεῦσι χάριν εἶπεν ἐκτίνειν, τροφὴ δὲ μᾶλλον ὁ σῖτος νενόμισται, λύει τῇ προσθήκῃ τὴν ὁμωνυμίαν, καὶ ταύτην Ἀθηναίοις ἀντιθεῖ· αὐτοὶ γὰρ εὑρεταὶ καὶ τούτου γεγόνασι. διὰ δὲ τοῦ εἰπεῖν μάλιστα μὲν γὰρ τὸ λεπτόγεων τῆς Ἀττικῆς ἐκάλυψεν, ἐπειδή γε εἰς τοῦτο διεβάλλοντο, ἐκ περιτροπῆς αὐτὸς τοῦτο κατασκευάζει, λέγων ὅτι καὶ αὐτοῦ τοῦ σίτου τὴν εὕρεσιν αὕτη ἡ πόλις ἐφεῦρε παρὰ τῶν θεῶν δεξαμένη. διπλῆν δὲ τὴν κατασκευὴν μία λέξις πεποίηκεν· ἐπειδὴ γὰρ καὶ ἡ τοῦ σίτου καὶ ἡ τῶν λόγων τροφὴ καλεῖται, εἰκότως διπλῆς ἐμνήσθη κατασκευῆς. καὶ τὸ μὲν τοῦ σίτου κατὰ παραδρομῆν λέγει, τὸ δὲ τῶν λόγων ἐπεξεργάζεται. τοῦτο γὰρ αὐτῷ τὸ δοξαζόμενον, κἂν εἰ τύχη. τύχη γὰρ ἢ ἀπόρους ἢ εὐπόρους δίδωσι πατέρας, ὅ τε χρόνος ἀφ᾽ οὗ γέγονε καὶ οὐχ ἑτέρου τινὸς εἶναι. τῆς νενομισμένης ταυτησὶ τροφῆς τῆς συνήθους, τῆς ἐκ τῶν σιτίων. καὶ κοινῆς τοῦ σίτου λέγει· κοινὴ γὰρ ἀνθρώπων καὶ ἀλόγων τροφὴ ὁ σῖτος· ὁ

γὰρ μῦθος αὐτοὺς πρώτους λέγει παρὰ θεῶν δεξαμένους τὰ σπέρματα δι᾽ Ἅιδου καὶ Κελεοῦ καὶ διὰ Τριπτολέμου.

91,5 ἐπωνύμους τροφέας.

91,6 ὁ συμπίπτων συνερχόμενος.

91,7 κοινοὺς δὲ ἁπάντων τροφέας ὑμᾶς εἶναι κοινωνοὺς δὲ διὰ τοῦ σίτου λέγει· κοινὴ γὰρ τροφὴ καὶ ἀνθρώπων καὶ ἀλόγων ὁ σῖτος. ὁ γὰρ μῦθος πρώτους αὐτοὺς λέγει παρὰ θεῶν δεξαμένους τὰ σπέρματα διὰ Ἅιδου καὶ Κελεοῦ καὶ Τριπτολέμου τοῖς ἄλλοις μεταδοῦναι. πρό γε αὐτῶν ἔτι τῶν τροφέων κἂν παραλείπω τοὺς τῶν λόγων τροφέας, ἡ τοῦ σίτου ἱκανὴ ἦν πάνυ ὑμῖν ἀνθρώπους παρασκευάσαι. ὥσπερ οὖς πατέρας πατέρων καλοῦσιν οἱ ποιηταὶ τὸ πατέρας πατέρων λέγει ἢ διότι φασὶ τὸν Δία καὶ τοὺς πρὸ αὐτοῦ θεοὺς Οὐρανόν τε καὶ Κρόνον καὶ τῶν ὕστερον ἀνδρῶν καὶ θεῶν. ὡς ἔχει τὸ «Πατὴρ ἀνδρῶν τε θεῶν τε.» ἢ διότι οἱ ἀνθρωπείου γένους ἀρχηγέται πατέρες ἦσαν τῶν μετ᾽ αὐτοὺς γενομένων πατέρων. ἴσως δ᾽ ἂν εἴη οὗτος ὁ λόγος τινὸς ποιητοῦ, εἰ καὶ πληθυντικῶς οὗτος εἴρηκε· καὶ γὰρ τὸ αἰγὸς ἰξάλου Ὁμηρικὸν ὂν μνησθεὶς εἰς τὰς εἰκόνας Φιλόστρατος, αἰγὸς ἰξάλου ποιηταί φασι λέγει. ἤρκει ἀρκοῦν ὑπάρχει.

92,1 οἷ ὅπου. καὶ περὶ ἧς εἶχον τοῦτο πρὸς τὸ νενομισμένης ἀντέθηκεν.

92,2 τῆς ὡς ἀληθῶς καθαρᾶς τοῦτο πρὸς τὸ νενομισμένον ἀντέθηκε· τὸ δὲ καθαρᾶς εἶπεν οὐχ ὅτι ἡ τοῦ σίτου τροφὴ ἀκάθαρτός ἐστι καὶ ἐναγὴς, ἀλλὰ καθαρὰν καλεῖ τὴν ἄλυπον καὶ ἀβλαβῆ τροφήν· διὰ δὲ τῆς συνεχείας τῶν λέξεων τὴν τοῦ λόγου τρυφὴν σεμνοτέραν ἀποδείκνυσιν. διαφερόντως ἐξόχως. ἀντὶ τοῦ ἰδιαζόντως. τῆς ἐν μαθήμασι καὶ λόγοις μαθήματά τινές φασι τὸ μαθεῖν ἔργον τι, οἱονεὶ τεκτονικὴν, λόγους δὲ τὸ λέγειν. ἄλλοι δέ φασι μαθήματα μὲν τὴν φιλοσοφίαν, λόγους δὲ τοὺς πολιτικοὺς, οἱονεὶ τοὺς ῥητορικούς. τῆς φιλοσοφίας καὶ τῆς ῥητορικῆς.

92,3 ἔξω τούτων τῶν ἐμῶν λόγων. παρ᾽ ὑμῶν ἀφ᾽ ὑμῶν.

92,4 τὸν περὶ τούτων λόγον ἔπαινον. δεῦρο ἐν ταύτῃ τῇ πόλει. τοῖς γιγνομένοις ὑπὸ τῆς πόλεως. τοῖς ἁρμόζουσι. τὸ γὰρ ἁρμόζον τινὶ οἱονεὶ γίνεται τούτῳ καθ᾽ ὃ ἁρμόζει. ἡ γὰρ εὔλογος χάρις ἀπὸ μὲν τοῦ λόγου

τοὔνομ’ ἔχει, πρώτη δέ ἐστι τῶν ἄλλων χαρίτων. εἰσὶ γὰρ ἕτεραι χάριτες, δίκαιαι μὲν, οὐ μὴν εὔλογοι καὶ κατὰ φύσιν, οὗ ἕνεκα γίγνονται. ὡς ἐπεί.

92,5 τὰς μὲν ἄλλας χάριτας ἃς ἂν ἀπάξοι τῇ πόλει. χάριτας δὲ ἄλλας ἀντὶ λόγων φησὶν ὅπλοις χρήσασθαι ἢ ἄλλου τινὸς φιλοτιμίᾳ· δικαίας δὲ, ὅτι δεῖ τοὺς εὐεργέτας ἀμείβεσθαι. δικαίας μὲν συμβαίνοι εἶναι. τῶν πραγμάτων ἐκ. ἄντικρυς δικαίως καὶ κατὰ φύσιν.

92,6 τῆς εὐεργεσίας τῆς πόλεως.

92,7 ἀλλὰ καὶ τὴν ἀπὸ τοῦ λόγου ἔχει γὰρ καὶ τὸ δίκαιον τῆς ἀμοιβῆς καὶ τὸ ὅμοιον τῆς εὐεργεσίας. τὸ ἀπὸ τοῦ λόγου γὰρ ἡ διὰ τοῦ λόγου πρὸς λόγους ἀμοιβὴ καλεῖται εὔλογος. ἔχει γὰρ τὸ δίκαιον τῆς ἀμοιβῆς καὶ τὸ ὅμοιον τῆς εὐεργεσίας. κυρία γὰρ ἡ διὰ λόγων πρὸς λόγους ἀμοιβὴ καλεῖται εὔλογος. ὁ καλῶς τοξεύων κυρίως καλεῖται βέλτιστος, παρὰ τὸ καλῶς βάλλειν.

92,8 ἀκριβῶς ἀληθῶς. μηδεὶς δὲ ὑμῶν δεύτερον προοίμιον. ὥσπερ εἰ ἔλεγεν, ἃ καὶ νῦν ἀκροαταὶ τῶν λόγων καὶ λόγοις συνζύγοντες. ἔοικε δέ τι αὐτὸ ... συνήσειν τισὶ τὸν λόγον. προστησαμένοις ἀντὶ τοῦ ποιησαμένοις καὶ δὴ μηθὲν τὰ τῶν ... πράγματα κοινῇ προστησάμενος. ἴσως δὲ εἰς Θουκυδίδην αἰνίττεται, ὅτι ἐπιτάφιον σχηματισάμενος ἐγκώμιον εἶπε λοιπὸν ... τοῦ ἐγκωμίου ἀγῶνα δεδοικώς. διὸ ἐπήγαγεν ὅτι ὑπέστηκεν ἐκ τοῦ φανεροῦ τοσοῦτον ἀγῶνα.

92,9 χρόνῳ μετὰ ταῦτα.

92,10 εἰ ἤπερ. προστησάμενοι προβαλλόμενοι. σχῆμα φαυλότερον τοῦ λόγου Θουκυδίδης μὲν γὰρ καὶ Δημοσθένης καὶ προσέτι Λυσίας καὶ ἕτεροί τινες οὐ προφανῶς εἰς τὸ τῆς πόλεως καὶ χώρας ἐγκώμιον ἐχώρησαν, ἀλλ’ ἐπιταφίους ἢ ἄλλο τι λέγειν ὡρμηκότες λεληθότως εἰς ἐγκώμιον κατέστησαν ταύτης ἄριστα βουλευσάμενοι, ἵν’, ἐὰν κάτω τῆς ἀξίας γένωνται, μὴ εἴη αὐτοῖς μέμψις ὡς τοῖς ὑπὲρ αὐτοὺς ἐνεχείρησαν. τὴν οὖν τοιαύτην μεταχείρισιν σχῆμα φαυλότερον λέγει· καὶ γὰρ τὸ αὐτοῦ φανεροῦ εἰς ἐγκώμιον καταστῆναι σχῆμα κάλλιστόν ἐστι καὶ γενναιότητος ὡς ἀληθῶς. τὸ δὲ ἄλλο τι μὲν προελέσθαι λέγειν,

λελεηθότως δὲ καὶ τούτου τοῦ μέρους ἅψασθαι φαυλότερόν ἐστι καὶ ὑποδεέστερον ἐκείνου. σχῆμα φαυλότερον ἀντὶ τοῦ ἀσθενέστερον. ἔστι δὲ συγκριτικὸν ἀντὶ τοῦ ἁπλοῦ. οὐδὲ γὰρ κακός ἐστιν ὁ λόγος, ἵνα λάβῃς. καὶ τὸ σχῆμα κακότερον. ἐργώδη δέ φησι τὴν περὶ τὰ κεφάλαια διαίρεσιν. ἐργώδη δυσχερῆ.

92,11 ὑπέστη μὲν ὑπομεῖναι ἐθέμεθα. μάλιστα μὲν γὰρ τὸ σχῆμα τοῦτο καλεῖται π ... τιτὲς δὲ λέγουσιν ὅτι κακῶς ἐποίησεν, ἀπὸ τοῦ μείζονος λύσας τὸ ἔλαττον, δέον ἀπὸ τοῦ ἐλάττονος λύειν τὰ μείζονα. ἡμεῖς δὲ φαμὲν ὅτι οὐκ ἔστι τοῦτο, ἀλλὰ διὰ τοῦ φανεροῦ τὸ ἀφανὲς ἔλυσε. φανερὸν γάρ ἐστι καὶ ὡμολογημένον ὅτι δεῖ τιμῆσαι θεοὺς καὶ οὐ χρεία περὶ τούτων ἀπολογεῖσθαι, ὅ ἐστι περὶ τῶν μεγίστων πολὺ πλέον. μεῖζον γάρ ἐστι τὸ θεοὺς ἐγκωμιάσαι ἢ πόλιν. αἰτίας δὲ λέγει μέμψεως. τὸ δὲ οὐ παρεῖται ἢ παραλέλειπται, φησὶ, τὸ ἐγκωμιάζειν θεοὺς, ἢ εἰς ἑαυτὸν αἰνίττεται, ἐπειδὴ ἔγραψε καὶ ὕμνους. ἐρεῖ τις ὅτι οὐ δεῖ μείζονι ἐγκλήματι τὸ μικρὸν λέγειν. λέγομεν ὅτι ὡς ὁμολογούμενον αὐτὸ ἔλαβεν ὅτι δεῖ τὰ θεῖα τιμᾶν καὶ οὐ χρεία περὶ τούτου ἀπολογήσασθαι· εἰ οὖν περὶ τῶν θείων οὐ δεῖ ἀπολογήσασθαι, πολλῷ πλέον ἐπὶ τῶν οὐ θείων. τοῦτο λέγει ἢ διότι πάντες ἄνθρωποι ἐπαινοῦσι τοὺς θεοὺς, ἢ διὰ τοὺς πολλοὺς τῶν θεῶν προσείρηκεν. ἔστι δὲ τοῦτο ἀπὸ τοῦ μείζονος ἐπιχείρημα. δείκνυσι γὰρ ὡς εἰ τῶν θεῶν κατατολμᾶν ἔξεστι, πῶς οὐ τοῦτο ποιεῖν δεῖ πρὸς πόλιν, εἰ καὶ πολλῷ τῶν ἄλλων. προσλογιστέον δὲ ὅτι οὐ χρὴ τῷ τοιούτῳ ἐπιχειρήματι κεχρῆσθαι πρός γε τὰ φαῦλα. οὐ γὰρ συμφέρει τὸν κλέπτην λέγειν ὡς οὐκ ἄξιός ἐστι κεκολάσθαι, ἐπεὶ καὶ φθόνον εἴργασται πρὸ ταυτησὶ κλοπῆς.

92,12 τοῦτο τὸ εἰς τοῦτο καταστῆναι ἀγῶνα. ἡμῖν γε παρεῖται ἔγραψεν ὁ Ἀριστείδης ὕμνους εἴς τινας τῶν θεῶν, καὶ διὰ τοῦτο τὴν ἐπὶ τῷ λόγῳ αἰτίαν ἐπιλύεται. ἰστέον δὲ ὡς οὐχ ἁρμόττει τοῦτο τοῖς φαύλοις. οὐ γὰρ ἀεὶ τὸν κλέπτην λέγει, ὅτι διὰ τοῦτο οὐκ ἄξιον κολασθῆναι, ἐπειδὴ οὐκ ἐμοὶ, μόνοις δὲ τοῖς χρηστοῖς ἐπιτήδειος. παρεῖται ἢ παραλέλειπται.

92,13 ἔπειτα οὐδ' ἐμὲ τοῦτο λέγειν ἢ δι' ἄλλου ἐνεγκεῖν ἢ ἀντὶ τοῦ βαστάσαι, ἢ Θουκυδιδείως εἰπεῖν, ἀντὶ τοῦ ἀνύσσειν, ὡς ἐκεῖνος εἶπε «Διέφερον τὸν πόλεμον» ἀντὶ τοῦ ἤνυον. ἐκδρομὰς δὲ λέγει τὰς ἐκφυγὰς, ὅ ἐστι

μερισμούς· ἢ ἐκδρομὰς τὰς ἀπὸ τοῦ προκειμένου πράγματος εἰς ἕτερόν τι μεταβαῖνον, οἷον εἰ λέγων τις ὑπόθεσίν τινα μεταξὺ λέξει τι διήγημα καὶ πάλιν εἰς τὸ προκείμενον ἐπανέλθῃ. διενεγκεῖν διηγήσασθαι.

92,14 τὰς ἐκδρομὰς παρεκβάσεις. ἐκδρομὰς λέγει, ἢ τὰς ἀφ' ἑκατέρου εἰς ἕτερον μεταβάσεις, οἷον τὰς ἀπὸ τῶν Περσικῶν εἰς τὰ Ἑλληνικά, καὶ ἄλλα τα. ἢ ἐκδρομὰς νοητέον τὰς μεταξὺ τῆς διηγήσεως παρεκβάσεις. ἢ τοὺς μερισμούς. ἃς καὶ συνιδεῖν ἁπάσας ἐμφαίνει ἐκ τούτου ὅτι ποικίλας καὶ πολυειδεῖς αἰτίας ἐπαίνων καὶ ἐγκωμίων δίδωσιν ἡ πόλις. καθ' ἑκάστην ἐκδρομήν.

92,15 μὴ οὐ σὺν μεγάλῃ καὶ λαμπρᾷ τῇ τύχῃ σημειωτέον ὅτι Δημοσθενικὸν τὸ ἐπιχείρημα· ἀλλὰ καὶ τῆς ὑμετέρας ὑπολαμβάνω τύχης πολλὰ τῶν δεόντων. οὗ καὶ αὐτὸς συνεργὸν ἀπαιτεῖ τὴν τύχην ἐφ' οἷς λέγειν ἐπιχειρεῖ. πρὸς δὲ τούτοις τὸ δὲ ἑξῆς, πρὸς δὲ τούτοις ἐφ' ὅσοις τοῖς περὶ αὐτῶν εἰρηκόσιν ἐπερχόμεθα, εὑρεῖν τίνι χρησόμεθα ἀπὸ τούτων τῶν εἰρημένων ἢ τίνι παραλείπομεν, μεῖζον ἔχοντες ἔργον ἐπὶ τὸ σκοπεῖν, τί παραλείπω τῶν ἐκείνοις εἰρημένων, ἢ εὑρεῖν τίνι χρήσομαι. ἔθνη δὲ καλεῖ τοὺς ῥήτορας, τοὺς γραμματικοὺς καὶ τοὺς τοιούτους. δηλοῖ δὲ καὶ τὸ πλῆθος τῶν εἰρηκότων καὶ τῶν ἐγκωμιασθέντων τὴν εὔκλειαν.

92,16 ἐφ' ὅσοις μεγάλοις. περὶ αὐτῶν τῶν ἐκδρομῶν.

92,17 ἔχοντες ἐσμέν. ὅτι φυλαξόμεθα ἐγκαίρως ἐγκωμιάζοντες. οἱ ἄλλοι, φησὶν, οἱ ἐγκωμιάζοντες πρὸς ἕν τι δυσχεραίνουσι πρὸς τὸ εὑρεῖν τί δεῖ εἰπεῖν· ἐγὼ δὲ καὶ τοῦτο ἔχω, καὶ μείζω τούτου ἀγῶνα, τὸ ζητεῖν, τὸ ἀποφυγεῖν, τί τοῖς ἄλλοις λέλεκται, ἢ τί φυλαξώμεθα τούτων, ἢ ὅτῳ χρησόμεθα. ἄλλων γὰρ ἄλλα κεκοσμηκότων ἐπαίνους ἱστοριῶν. Θουκυδίδης μὲν γὰρ εἶπε τὰ Πελοποννησιακὰ, Ἡρόδοτος δὲ τὰ Μηδικὰ, Ξενοφῶν δὲ τὰ Ἑλληνικὰ, καὶ ἄλλοι ἄλλα. λέγει οὖν ὁ Ἀριστείδης· τῶν τῆς πόλεως ἔργων πολλῶν ὄντων, οὐδείς πω διὰ τέλους ἀφῖχθαι δεδύνηται, καὶ ἅπαντα ἐγκωμιάσαι, ἀλλ' οἱ μὲν ταῦτα, οἱ δὲ ἐκεῖνα. ὅμως δ' οὖν ἅπαντες ἅπαντα εἰρήκασι, τῶν ὑπὸ τούτου παρειμένων εἰρημένων παρ' ἄλλου. ἐγὼ δ' οὖν διπλοῦν τὸν ἀγῶνα ποιήσομαι, μετ' ἐκείνους ἐγκωμιάζων καὶ ἅπερ εἴρηκεν εἷς ἕκαστος λέγων, καὶ ἅπερ ἅπαντες,

μόνος τῷ λόγῳ συλλήβδην περιλαβών. τοῦτο γάρ ἐστι τὸ χωρὶς πρὸς ἕκαστον καὶ κοινῇ πρὸς ἅπαντας. ἕκαστος, φησὶ, μέρος ἐπῄνεσεν, οὐ τολμήσας εἰς ἅπαντα καθεῖναι ἑαυτὸν, καὶ ὅτι περὶ πάντων τὸ ὅλον πεπλήρωτο. ἅπερ γὰρ ἄλλος παρῆκεν, ἄλλος ἐπλήρωσεν. Ἡρόδοτος μὲν γὰρ εἶπε τὰ Μηδικὰ, Θουκυδίδης τὰ Πελοποννησιακὰ, Ξενοφῶν τὰ Ἑλληνικά. Ἡρόδοτος εἶπε—Ἑλληνικά.

93,2 τῷ μετὰ πάντας ἐγχειροῦντι ἐμοὶ λέγειν. καὶ χωρὶς οἷον τὸ εἰπεῖν τὰ Ἑλληνικὰ Ξενοφῶντος βέλτιον καὶ τὰ Μηδικὰ Ἡροδότου. κοινῇ δὲ πρὸς ἅπαντας, ἐπειδὴ ἅπαντες σποράδην εἰρήκασιν, αὐτὸς συλλήβδην ἅπαντα διεξέρχεται.

93,3 οὐ μὴν ἀλλ᾽ αὐτό γε ἤγουν οὐ μόνον οὐ λανθάνουσί με ταῦτα ἃ ἔφην. ἤγουν οὐ λανθάνουσι μὲν ταῦτα ἃ ἔφην.

93,4 ὅτι οὕτω πολλοῖς τὰ κεφάλαια φησὶ τοῦ ἐγκωμίου. μεγάλοις τοῖς πλεονεκτήμασιν. τόπον οὐδένα ἤγουν κεφάλαιον ἐγκωμίου.

93,5 καθῆκεν κατέρριψεν.

93,6 οἱ μὲν ποιηταί. τοὺς ἄνω χρόνους ἤγουν τὰ περὶ Ἐρεχθέως. οἱ μὲν τοὺς ἄνω χρόνους ἐν τοῖς ποιήμασιν ᾄδουσι τεχνικὸν λίαν τὸ ἐπιχείρημα. δοκεῖ γὰρ μέμφεσθαι μὲν τοὺς προειρηκότας ὅτι ἕκαστος μέρος εἰπεῖν ἐτόλμησε, λεληθότως δὲ αὔξει τὰ ἐγκώμια τῆς πόλεως τῷ κατὰ μερισμὸν σχήματι χρησάμενος. ἄνω χρόνους λέγει τὸ εἶναι αὐτὴν τὴν ἀρχαίαν. διὰ δὲ τοῦ εἰπεῖν ἐν τοῖς ποιήμασι καὶ χάριν καὶ τέρψιν ποιεῖ διὰ τῶν ποιημάτων. τὰ πρὸς τοὺς θεοὺς κοινὰ ἀντὶ τοῦ τὴν ἀναστροφὴν μετὰ θεῶν κοινῶς κατώρθωσαν. κοινωνίαν γὰρ θεῶν πρὸς αὐτοὺς δηλοῖ. πῶς ὑπ᾽ Ἀθηνᾶς καὶ Ποσειδῶνος φιληθεῖσα ἅμιλλαν περὶ αὐτῆς σφίσιν ἐποίησεν.

93,7 ἀπὸ τοῦ παρήκοντος παρασχόντος. ἀπὸ τοῦ παρείκοντος ἀπὸ τοῦ παρατυχόντος· οὐ γὰρ ἔργον τοῦτο πεποίηται. ἀπὸ τοῦ παρείκοντος τοῦ παρατυχόντος, τουτέστιν ἀπὸ παρεκβάσεως, οὐκ αὐτὸ τοῦτο ποιησάμενοι ἔργον, ἀλλ᾽ ἀπὸ τοῦ ἐνδεχομένου, ὡς Θουκυδίδης ἐν τῇ τετάρτῃ, κατὰ τὸ παρεῖκον τῆς νήσου. οἱ δὲ Θουκυδίδης καὶ Ἡρόδοτος. οἱ δὲ τοὺς ἐπὶ τῶν

καιρῶν—μεμερισμένως ὡς μὴ δυνάμενοι τοὺς κατὰ καιρὸν Ἑλληνικοὺς πολέμους διηγήσασθαι μέρος αὐτοῦ εἰρήκασιν.

93,8 ἕτεροι δὲ Παυσανίας ἕτεροι πολιτείαν τὴν δημοκρατίαν φησίν. αὐτὸς δὲ ἐν τῷ τέλει τοῦ λόγου δείκνυσιν ὅτι τὰ πλεονεκτήματα τῶν ἄλλων πολιτείαν εἶχεν ἐν ἑαυτῇ. τὴν πολιτείαν τὴν δημοκρατίας λέγει πολιτείαν.

93,9 καταλέγουσιν ἀριθμοῦσιν. οἱ δὲ Θουκυδίδης, Δημοσθένης, Λυσίας. ὡς ὁ Θουκυδίδης. οἱ δὲ ἐν τοῖς ἐπιταφίοις λόγοις εἰς Θουκυδίδην αἰνίττεται, ἐπειδὴ τὸ ἀπὸ προγόνων ἐγειρομένων παρέλιπε. παρῆκε δ' αὐτό, ἵνα μὴ ἐπαινῶν τοὺς προγόνους αὐτοῦ σεμνότερον δείξῃ τὸ κακόν. οἱ μὲν τὴν σοφίαν αὐτοῦ δοκοῦντες ἐγκωμιάζειν, φησὶν, οὐκ ἐνεκωμίασαν. αἴνιγμα γάρ ἐστι τὸ δοκοῦν εἶναί τι μὴ ὄν. δολοῦντες ἐγκωμιάζειν, φησὶν, οὐκ ἐνεκωμίαζον.

93,10 εἰσὶ δὲ οἳ κἀν τούτοις ἐκ τῶν εἰρηκότων ἐν τοῖς ἐπιταφίοις οὐχ ὡς νομίζεται νόμιμόν ἐστι.

93,11 ἐμοὶ δοκεῖν Ἀττικῶς τὸ δοκεῖν· δοκεῖ γὰρ ὤφειλεν εἰπεῖν.

93,12 ἀλλ' οὖν οὕτω πολλοῦ τινος ἐδέησαν σημείωσαι τὴν σύνταξιν· δεήσαντες γὰρ δέον εἰπεῖν ἐδέησαν εἶπεν ὥσπερ ἄλλοι τε πολλοὶ καὶ Πίνδαρος ποιεῖ λέγων

Δρέπων μὲν κορυφὰς ἀρετᾶν ἀπὸ πασᾶν·
ἀγλαΐζεται δὲ καὶ
μουσικᾶς ἐν ἀώτῳ.

93,13 οἱ δὲ τὰς ἀποικίας καταλέγουσιν ὁ Ἔφορος περὶ τῆς Ἰωνικῆς ἀποικίας. εἰς Ἔφορον ἀποτείνεται ὃς περὶ τῆς Ἰωνικῆς ἀποικίας ἔγραψε.

93,14 τὴν κοινότητα ἀντὶ τοῦ μετριότητα. φιλανθρωπίαν δέ ἐστι σύνηθες Ἀθηναίοις φιλοφρονεῖσθαι τοὺς ξένους. τὴν κοινότητα καὶ φιλανθρωπίαν τὴν μετριότητα καὶ τὴν τῶν ἀτυχούντων ἀποδοχήν.

93,15 τοῖς συγγράμμασί που τοῖς ἄλλοις ἐγκαταμιγνύντες τουτέστι γράφοντες λέγουσι. ἀντὶ τοῦ κατὰ πάρεργον τὸν ἔπαινον πεποίηνται, οὐχὶ δὲ

προηγουμένως· ὃ καὶ καθαιρετικὸν τοῦ ἐγκωμίου.

93,15bis οἱ δ’ ἀπὸ στόματος παῖς γὰρ ἐκ πατρὸς διαδέχεται ταῦτα καὶ παραδίδωσιν ὥσπερ τινὰ κλῆρον τοῖς μετ’ αὐτῶν, καὶ οὗτοι τοῖς ἐφεξῆς. κατὰ τὸ συμβαῖνον τῆς μνήμης ἤγουν καθὼς συμβαίνει περὶ τούτων μεμνῆσθαι.

93,16 ἅπαντες ἢ τῷ βουλήματι ὥς φασιν, εἰ λέγει τινὰς μὴ εἰρηκότας τὰ πάντα τῆς πόλεως ἐγκώμια, ὅτι οὐκ ἠβουλήθησαν, ἰδοὺ, πάλιν δείκνυσιν ὡς δυναμένους μὲν, οὐ βουλομένους δέ· φαμὲν ὅτι τοῦτο εἶπε διὰ τὸ φορτικὸν, ἵνα μὴ ἑαυτὸν ἁπάντων δείξῃ σοφώτερον. τῷ βουλήματι τῷ σφετέρῳ ἤγουν τῷ ἑαυτῶν.

93,17 οὐ τῷ τῆς πόλεως μέτρῳ οὐ γὰρ φθάνει τὸ βούλημα ἐκείνων τῷ μέτρῳ τῆς πόλεως.

93,18 ἀλλ’ ὥσπερ πελάγους τῶν παραβολῶν αἱ μέν εἰσιν ἀποδιδόμεναι, οἷον ὥσπερ πέλαγος μέγα ἓν καὶ τοῖς ὀφθαλμοῖς οὐ παρέχον τέλος εὑρεῖν τῷ θεωροῦντι ἄπειρον δείκνυται, οὕτω καὶ τὰ τῆς πόλεως ἐγκώμια πολλὰ ὄντα ἀπορεῖν ποιεῖ τὸν ἐγκωμιάζοντα· αἱ δὲ ἀναπόδοτοι, ὥσπερ νῦν ὁ Ἀριστείδης. ἔστι δὲ ὅτε καὶ ταῖς ἀποδιδομέναις κέχρηται παραβολαῖς, καὶ οὐκ ἀεὶ ταῖς ἀναποδότοις. δύναται δὲ εἶναι αὕτη ἡ παραβολὴ ἀποδιδομένη, ἐὰν ποιήσῃς τὴν σύνταξιν οὕτως, καὶ ὅσον ἕκαστος καθορᾷ, τοῦτο θαυμάζει, ὥσπερ πελάγους ἀπείρου καὶ ὀφθαλμοῖς οὐχ ὁρίζοντος, ἀντὶ τοῦ οὐ παρέχοντος ὅρον, οὐ διδόντος τέλος διὰ τὸ ἄπειρον καὶ πολὺ μῆκος αὐτοῦ· καὶ ὥσπερ τὸ μέτρον, φησὶ, τοῦ πελάγους οὐ δύναταί τις ὁρίσαι ὀφθαλμοῖς, οὐδὲ τὸ τέλος ἰδεῖν, οὕτως οὐδὲ τὸ τέλος τοῦ ἐγκωμιάσαι τὴν Ἀττικὴν δύναται ἰδεῖν, καὶ ἐπαινέσαι τὴν πόλιν ἄχρι τέλους. ἡ παραβολὴ αὕτη ἀναπόδοτος. δύναται δὲ καὶ ἀποδεδομένη φανῆναι, εἴ γέ τις οὕτω συντάξοι, ἀλλ’ ὅσον ἕκαστος καθορᾷ, τοσοῦτον θαυμάζει, ὥσπερ πελάγους ἀπείρου καὶ ὀφθαλμοῖς οὐχ ὁρίζοντος, ἀντὶ οὐ παρέχοντος ὅρον διὰ τὸ ἄπειρον καὶ πολὺ μῆκος αὐτοῦ. καὶ ὥσπερ τὸ μέτρον, φησὶ, τοῦ πελάγους οὐ δύναταί τις ὁρίσαι ὀφθαλμῷ, οὐδὲ τὸ τέλος ἰδεῖν, οὕτως οὐδὲ τέλος τοῦ ἐγκωμιάσαι τὴν Ἀττικὴν δύναταί τις ἰδεῖν καὶ ἐπαινέσαι τὴν πόλιν ἄχρι τέλους. τοῖς

ὀφθαλμοῖς οὐχ ὁρίζοντος οὐχ ὅρον καὶ στάσιν παρέχοντος διὰ τὸ ἀμέτρητον.

94,1 ὥσπερ αἴνιγμα ὡς πρὸς ἑαυτὸν τοῦτο εἶπεν αἴνιγμα· καὶ καλῶς τοῦτο· λέγων γὰρ ὅτι ὁ ἐγκωμιάζων τὴν πόλιν κατὰ μέρος, φησὶ, τοῦ παντὸς οὐχ ἁμαρτήσεται, οὐ παντὸς βούλεται ἐγκωμίου, ἀλλὰ παντὸς τελείου τὰ ἐγκωμιαστικὰ λόγου. τί δέ ἐστιν αἴνιγμα αὐτὸς ἐξηγεῖται, τὸ ὂν καὶ μὴ ὄν, οἷον λίθος καὶ οὐ λίθος, κίσσηρις, ἀνὴρ καὶ οὐκ ἀνὴρ, εὐνοῦχος, καὶ τὰ τοιαῦτα. καὶ ἡ πόλις τοιγαροῦν ἐγκωμίασται μὲν τῷ μέρος τινὰ ἐγκωμιάσαι, οὐκ ἐγκωμίασται δὲ τῷ μὴ πάντα ἀκοῦσαι. ὡς πρὸς ἑαυτὸν τοῦτο εἶπεν αἴνιγμα· καὶ καλῶς τοῦτο. λέγει γὰρ ὅτι ἐγκωμιάζων τὴν πόλιν κατὰ μέρος τοῦ παντὸς οὐχ ἁμαρτήσεται· οὐ παντὸς βούλεται ἐγκωμίου, ἀλλὰ παντὸς τελείου καὶ ἐγκωμιαστικοῦ λόγου. τί ἐστὶν αἴνιγμα, αὐτὸς ἐξηγεῖται, τὸ ὂν καὶ μὴ ὄν, ὁ λίθος καὶ οὐ λίθος, καὶ ἡ πόλις ἐγκωμίασται μετὰ τῷ μέρος αὐτῆς ἐγκωμιάσαι τινὰς, τῷ δ᾽ ἐκ μὴ πάντα τὰ ἑαυτῆς ἄξια εἰπεῖν τινὰ, οὐκ ἀνεγκωμίασται. ᾗ τῇ πόλει.

94,2 οὐ τοῦ παντὸς ἁμαρτήσεται πᾶν ἐνταῦθα νοητέον οὐχ ὅλον τὸ τῆς πόλεως μέτρον, οὐδὲ τὸ παντελὲς τῶν πραγμάτων, ἀλλ᾽ ὅσον εἰς δύναμιν ἥκει αὐτοῦ τοῦ ἐγκωμιάζοντος, ἐπειδὴ πάντες οἱ τοὺς πολέμους αὐτῆς ἐπιχειροῦντες θαυμάζειν οὐ πρὸς ἀξίαν αὐτοὺς τοὺς λόγους ποιοῦνται, ἀλλὰ πρὸς τὴν αὐτῶν δύναμιν ἀφορῶντες, οὕτω τὸ πάθος ἀποδιδόναι νομίζουσιν. μέρος, φησὶν, εἰπὼν τὸ πᾶν ἐπλήρωσεν· εἰ δὲ τοῦτο, δῆλον ὅτι τὸ μέρος πρὸς τέλειον ἀρκεῖ ἐγκώμιον

94,3 οὐ δὴ δίκαιον τὸ οὐ δὴ δίκαιον συμπέρασμά ἐστιν, ὡς ἄνω ἔφη, λέγω τὸ «Οὐ μὴν ἀλλ᾽ οἳ βλέπων» μέχρι τοῦ «μόνη γάρ ἐστιν ἀκριβῶς εὔλογος.» ἐποίησε δὲ τοῦτο θεὶς διὰ μέσου τὴν ἀπολογίαν. τὸ «μηδεὶς δὲ ὑμῶν» ὑφ᾽ ἧς ἠναγκάσθη εἰπεῖν ἃ εἶπεν, ἤγουν διὰ τοὺς λόγους τοσοῦτον ἀναδέξασθαι κίνδυνον. τὴν μόνην τοῦ τολμήματος αἰτίαν αἰτία λέγεται καὶ ἐπὶ καλοῦ καὶ ἐπὶ φαύλου. φησὶν οὖν ὅτι οὐκ ἔστι δίκαιον ἄξιον μὲν γενέσθαι ἐκείνης τῆς αἰτίας τῆς ἐχούσης τὸ φαῦλον ὄνομα· διότι ἐτόλμησα τοιοῦτον ἀγῶνα ὑποστῆναι. αἰτίαν ἀφορμήν. ἤγουν τοὺς λόγους.

94,4 τῆς αἰτίας ἤγουν τῆς μέμψεως.

94,5 πολλῶν καὶ καλῶν ἐπαίνων.

94,6 ἠρκότων ὑψωσάντων.

94,8 νυνὶ δὲ ὥσπερ ἡ σύνταξις οὕτως· ὡς τῶν ἄλλων ἡγεμὼν ἐγένετο, οὕτως γνώριμόν ἐστιν ὅτι καὶ τῶν λόγων πρῶτον ἡγεμὼν ἐγένετο ἢ οὕτως· ὥσπερ δῆλόν ἐστιν ὅτι τροφὸς καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ὑπάρχει ἡ Ἀττικὴ, οὕτω γνώριμόν ἐστιν ὅτι καὶ τῶν λόγων ἀρχηγὸς καθίσταται. διὸ οὐκ ἀλλοτρίοις τῆς πόλεως ἐγκωμίοις χρώμεθα, ἀλλ' αὐτὴν τὴν πόλιν καὶ τοὺς πολίτας ἐγκωμιάζοντες οὐ μετρίως ἐπαινοῦμεν, ἀλλὰ διὰ τοὺς λόγους ἐπαινοῦμεν κατὰ τὸ δυνατόν. ἢ οὕτως· εἰ μὴ ἦν, φησὶν, ἓν καὶ τοῦτο τὸ τῶν λόγων ἀγαθὸν τῆς πόλεως σὺν τοῖς ἄλλοις ἀγαθοῖς, οὐκ ἂν ἴσως ἦν με δίκαιον τοιοῦτον ἀγῶνα ὑποστῆναι. τῶν ἄλλων ἁπάντων ἀγαθῶν. τροφῆς, θυσιῶν, πανηγύρεων, τεχνῶν, ἀγώνων καὶ ὅσα τοιαῦτα.

94,9 ὅτι καὶ τῶν λόγων πρώτη ἡγεμὼν γέγονε.

94,10 οὐκ ἀλλοτρίᾳ τῇ πείρᾳ χρώμεθα ἤγουν οὐκ ἀνοίκειον εἰσφορὰν εἰσφέρομεν· λέγω τοὺς λόγους. πεῖραν δὲ λέγει τὴν μεταχείρησιν. τῇ πείρᾳ ἢ τῇ τόλμῃ. οὐδ' ἑτέρωσε φέρουσαν ὁδὸν προειλόμεθα ἀντὶ τοῦ ξένην ὁδὸν, τουτέστιν ἐπὶ ἄλλην πόλιν, οἷον οὐκ ἐθύβαι σεμνύνονται, ἀλλὰ τοὺς λόγους δι' ὧν Ἀθηναῖοι κηρύττονται.

94,11 ἀκριβῶς οἰκείως καὶ κατὰ φύσιν. καὶ τοὺς Ἀθηναίους τούτων γὰρ οἱ λόγοι ἐπίσημοι.

94,12 ἕν τι τῶν τῆς πόλεως ἐκτίνομεν ἐπαινοῦντες γὰρ αὐτὴν διὰ λόγων, οἳ μέρος εἰσὶ τῶν προσιόντων αὐτῇ καλῶν, ὥσπερ τι χρέος ἀποδίδομεν. τούτους γὰρ παρ' αὐτῆς πάντες ἔχομεν ἄνθρωποι. ἐκτίνομεν διδόαμεν. τὸ ἐκτίνομεν ὡς ἐπὶ χρέους. τινὲς δὲ καὶ διὰ διφθόγγου γράφουσιν ἀντὶ ἐπαίρομεν καὶ αὔξομεν. εἰρημένον δὲ ὑπὸ πολλῶν πολλάκις ὁ μὲν ποιητής φησι

Τί πρῶτον, τί δ' ἔπειτα, τί δ' ὕστατα καταλέξω.

ὁ δὲ Δημοσθένης «Ἀπορῶ τοῦ πρῶτον μνησθῶ.» τὸ δὲ εἰρημένον ἢ

εὐθεῖαν νοητέον ἀντὶ γενικῆς λαμβανόμενον, ὅπερ οὐδετέροις μόνοις ποιοῦμεν· ἢ αἰτιατικήν. εἰπὼν γὰρ εἰρημένον ἐπάγει τοῦτον τὸν λόγον. εἰρημένον δὲ ἐνταῦθα ὁ Ἀριστείδης κέχρηται τῷ νοήματι· ὥσπερ γὰρ ὁ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου λέγει τῶν εἰς τὸν Αἰσχίνην διαβολῶν, οὕτω μηδὲν εἰπεῖν, ἀλλὰ τῷ πολλῶν ἀπορεῖν, οὕτω καὶ Ἀριστείδης νῦν ἀπορίαν ἑαυτῷ ποιεῖν τὸ πλῆθος τῶν ἀρετῶν, καὶ εἰσβάλλει εἰς κεφάλαια. ἔστι μερικὸν προοίμιον, ὥσπερ ἐν τοῖς δικανικοῖς λόγοις τὸ προκαταστατικόν· αὐξητικὸν δέ ἐστι σχῆμα τῶν ἐγκωμίων. δηλοῖ γὰρ καὶ τὸ πλῆθος καὶ τὸ ἴσον τῶν πλεονεκτημάτων αὐτῆς. τὸ δὲ κοινὸν νόημα ὥσπερ ἴδιον πεποίηται. ἀντὶ δὲ τοῦ εἰπεῖν εἰρημένου εἶπεν εἰρημένον Ἀττικῶς. κοινὸν δὲ τὸ σχῆμα οὕτως· Ὅμηρος μὲν γάρ φησι

Τί πρῶτον, τί δ' ἔπειτα, τί δ' ὑστάτιον καταλέξω;

καὶ Δημοσθένης δὲ «Οὐκ ἀπορῶν δ' ὅ τι χρὴ περὶ σοῦ καὶ τῶν σῶν εἰπεῖν, ἀπορῶ τοῦ πρῶτον μνησθῶ.» τεχνικῶς δὲ τοῦτο ποιεῖ· ἐπειδὴ γὰρ οὐκ ἔχει λέγειν τὸν οἰκιστὴν, οὔτε τὸ γένος τοῦ κτιστοῦ οὔτε τὴν πατρίδα, — αὐτόχθονες γὰρ Ἀθηναῖοι — ἔθος δὲ τῷ ἐγκωμιάζοντι πόλιν τὸν οἰκιστὴν ἐπαινεῖν καὶ τὴν πατρίδα αὐτοῦ, κυρίως ἑαυτὸν εἰσήγαγεν ἀποροῦντα πόθεν ἄρξεται τῶν ἐγκωμίων τῆς πόλεως. ἀντὶ τοῦ εἰπεῖν εἰρημένου εἶπεν εἰρημένον Ἀττικῶς.

94,14 τῷ πρεσβυτάτην εἶναι διὰ τὸ εἶναι αὐτόχθονας.

94,15 εἰς τὸ πλέον τοῦ φανεροῦ καὶ προχείρου λαβεῖν τὸ πλέον τοῦ φανεροῦ ἀφανὲς καὶ τὸ πλέον τοῦ προχείρου ἀνέτοιμον. καλῶς δὲ εἶπε τὸ ἐν κύκλῳ. ὥσπερ γὰρ οὐχ οἷόν τε ἀρχὴν καὶ τέλος τοῦ κύκλου λαβεῖν, οὕτω καὶ τὰ τῆς πόλεως πλεονεκτήμητα ἴσα ὄντα ἀπορίαν παρέχει πόθεν τις ἄρξηται. εἰς τὸ πλέον τοῦ φανεροῦ ἀντὶ τοῦ ἄδηλον. τὸ γὰρ πλέον τοῦ φανεροῦ ἀφανὲς καὶ ἄδηλον ἐστι, καὶ τὸ πλέον τοῦ προχείρου ἀνέτοιμον. τὸ δὲ ἐν κύκλῳ δοκεῖ γεωμετρικόν. ἐν γὰρ τῷ κύκλῳ πᾶσαι αἱ ἀρχαὶ ἴσαι τυγχάνουσι. βούλεται οὖν δεῖξαι πάντα τὰ μέρη τῆς πόλεως τῶν ἐγκωμίων ἴσα. φησὶν οὖν ἐξ ἀμφοτέρων ἄδηλον εἶναι τὴν ἀρχήν. τοῦ φανεροῦ ὁ νοῦς οὕτως· οὐ μόνον πρὸς τῷ πρεσβυτάτην εἶναι τὴν πόλιν καὶ ἀφανῆ ὑπάρχειν τὴν ἀρχαιογονίαν αὐτῆς, ἅτε δὴ αὐτόχθονος οὔσης,

δυσχερές μοι ἐπαινέσαι τὴν Ἀττικὴν, ἀλλ᾽ ἤδη καὶ τῶν ἐγκωμίων ἐν καλῷ ὄντων ἀπορῶ οὐ μόνον ὁ μὴ δυνάμενος εἰς ἓν συνάξαι τὰ πάντα ἐγκώμια, ἀλλὰ καὶ δυσχερές ἐστι κρῖναι ποῖον δεῖ πρῶτον τάξαι ἐγκώμιον. ὥσπερ ἐν κύκλῳ τὸ δὲ κύκλῳ γεωμετρικόν· ἐν γὰρ τῷ κύκλῳ πᾶσαι αἱ ἀρχαὶ ἴσαι τυγχάνουσι.

95,1 ὁμοῦ ποιήσασθαι συντάξαι.

95,2 ἄλλα γὰρ ἄλλων ἕκαστα, φησὶ, δι᾽ ἄλλην αἰτίαν πρώτην τῶν ἄλλων βούλεται προτάττεσθαι. ἔστι δὲ ταῦτα αὐξητικὰ ἐπιχειρήματα. ὡμολόγηται γὰρ ὅτι τὸ γένος τῇ φύσει πρῶτον καθέστηκε τῶν ἐγκωμιαστικῶν κεφαλαίων. ἀλλὰ προσποιεῖται τὴν ἀπορίαν, ἵνα αὐξήσῃ τὴν ὑπόθεσιν. ἔστι δ᾽ ἡ σύνταξις οὕτως· ἄλλα γὰρ ἄλλων ἕνεκα δόξαν παρίστησιν ἁρμόττειν πρῶτα λεχθῆναι, ὥσπερ ἐκ τοῦ προφαινομένου.

95,3 προφαινομένου φανεροῦ.

95,4 ὑπολαμβάνω ἀπὸ κοινοῦ.

95,5 πάρεστι κοινωνεῖν τῆς γνώμης διὰ τῆς ἐξετάσεως. κοινωνεῖν τῷ λόγῳ τοῖς Ἀθηναίοις, ἐπεὶ τοῦτο φθάσαι προδιωρθώσατο. οἶμαι ὥσπερ οἷον εἶπε.

95,6 οἶμαι δὲ ἂν ὡς τὸ οἶμαι δὲ μέχρι τοῦ αἰσχύνην εἴρηται διὰ μέσου. ἔστι γὰρ ἡ συναφὴ τοῦ λόγου πρὸς τὸ, ἡ γὰρ τῆς χώρας ἡμῖν. ἔστι δὲ αὕτη ἡ κατασκευὴ οὐ πρός τι, ἀλλ᾽ ὥσπερ ὅταν μέλλωμεν ἄρξεσθαι λέγειν, ποτὲ μὲν χωρὶς τοῦ γὰρ, ποτὲ δὲ μετὰ τοῦ γὰρ παρεχόμεθα τὴν ἀρχὴν, οὕτω κἀνταῦθα. οἶμαι δὲ ἐπειδὴ αὐτὸς Ἀδριανουπολίτης ἤτοι Σμυρναῖος ὢν μέλλει πολλάκις ὡς οἰκεῖον καὶ Ἀθηναῖον αὐτὸν καλεῖν τοῦτο, ὥσπερ προδιορθοῦται. ἔστι δὲ ὡς μεταξυλογία τοῦτο. ἐπειδὴ αὐτὸς Ἀδριανουπολίτης, ἤτοι Σμυρναῖος ὢν ὡς οἰκεῖον καὶ Ἀθηναῖον ἑαυτὸν καλεῖ, τοῦτο ὥσπερ προδιορθούμενόν ἐστι. καὶ μεταξὺ λογίας τοῦτο. ἐν γὰρ τοῖς μέσοις ἑαυτὸν καταριθμῶν ὥσπερ νῦν.

95,7 οὗ ὅπου. ἡ γὰρ τῆς χώρας ἡμῖν φύσις κοινωνεῖ τῷ λόγῳ τοῖς Ἀθηναίοις, ἡμῖν φάσκων, ἐπειδὴ προδιωρθώσατο τοῦτο. ἀπῄτει δὲ ἡ τέχνη ἔπαινον πρῶτον τοῦ οἰκιστοῦ· ἀλλ᾽ ἐπειδὴ ἄδηλός ἐστι, διὰ τὸ ἀρχαίαν εἶναι τὴν

πόλιν, ἀνάγκῃ τοῦτο παρῆκε, καὶ ἀπὸ τῆς θέσεως ἄρχεται. καὶ γὰρ καὶ αὐτὴ μέρος ὥσπερ τοῦ γένους τυγχάνει, οἷον πῶς γέγονε καὶ ποίαν ἔχει τὴν φύσιν. θαυμασίως δὲ τῇ φύσει τῶν ἀνδρῶν παραβάλλει τὴν φύσιν τῆς γῆς, μίαν γὰρ λέγει τῆς χώρας καὶ τῶν Ἀθηναίων τὴν φύσιν. αὔξει δὲ σφόδρα· τὸ γὰρ φιλάνθρωπον αὐτῆς τῷ σχήματι δείκνυσι. δεῖ δὲ γνῶναι ὅτι ὁ Χάραξ ἱστορεῖ τοὺς Ἀθηναίους ἀποίκους εἶναι τῶν Σαϊτῶν. ἔστι δὲ Σάις πόλις Αἰγυπτίων καὶ οἰκιστῆρα ἔσχεν Ἐρεχθέα. διὸ καὶ διφυᾶ προσαγορεύεσθαί φησιν ὄντα δίγλωσσον. ἕτεροι δέ φασιν ὅτι πρῶτος ἐδόξασεν ἔκ τε γυναικὸς καὶ ἀνδρὸς τοὺς γεννωμένους παράγεσθαι. καὶ διὰ τοῦτο διφυὴς ἐδοξάζετο. περὶ μὲν οὖν τούτου πολλὴ διαφορά. ἐκ δὲ τῆς ἀποικίας ὠνομάσθαι φησὶ πολιοῦχον τὴν Ἀθηνᾶν. ἔστι γὰρ ἡ Σάις Αἰγυπτίων φωνῇ παρ᾽ Ἕλλησιν Ἀθηνᾶ. καὶ τούτου παράγει μάρτυρα τὸ τὴν Ἀθηνᾶν ἐποχεῖσθαι κροκοδείλῳ πρὸς τῇ ἀκροπόλει, δηλοῦσαν τὴν ἀποικίαν ἐκ τοῦ Νείλου τυγχάνουσαν. ἡ γὰρ τῆς χώρας ἡμῖν ἀπῃτεῖτο οἰκίαν. τῇ τέχνῃ πρῶτον ἔπαινος. ἐπειδὴ, εἰ φανήσεται ὁ τοιοῦτος τῷ ἀρχαίαν εἶναι τὴν πόλιν, καὶ ὁ κατὰ τοῦτον παραιτεῖται ἔπαινος. ἄρχεται δὲ ἀπὸ τῆς θέσεως, ὅτι καὶ αὐτὴ μέρος ὥσπερ μέγας τοῦ γένους οὖσα τυγχάνει. θαυμασίως δὲ τῇ φύσει τῶν ἀνδρῶν ἐξομοιοῖ καὶ σχῆμα τῆς θέσεως τῆς χώρας.

95,8 καὶ οὔτε ἡ γῆ ἱστόρηται ἐπὶ τοῦ Χάρακος ἀποίκους Σαϊτῶν εἶναι τοὺς Ἀθηναίους. ἔστι δὲ Σάις πόλις Αἰγύπτου. ἑρμηνεύεται δὴ τοῦτο τῇ Ἑλληνίδι φωνῇ Ἀθηνᾶ. διὰ τοῦτο καὶ ἐπὶ κροκοδείλου ἔποχος παρ᾽ Ἀθηναίοις ἱστόρηται Ἀθηνᾶ, ὡς ἐκ τοῦ Νείλου τυγχάνουσα. πρῶτον δὲ Ἀθηναίων οἰκιστῆρα τὸν Ἐρεχθέα ᾄδουσιν, ὃν καὶ διφυῆ διὰ τὸ ἐξ ἑκατέρων γλωσσῶν εἶναι, Ἀττικῆς καὶ Αἰγυπτιακῆς, ἐκάλεσεν. ἕτεροι δὲ διφυῆ ἐκάλεσαν διὰ τὸ δεῖξαι πρῶτον αὐτὸν παράγεσθαι τοὺς γεννωμένους ἔκ τε ἀνδρῶν καὶ γυναικῶν.

95,10 ἄμφω δὲ ταῦτα ὅτι καὶ ἡ χώρα ἀξία τῶν ἀνδρῶν καὶ οἱ ἄνδρες τῆς χώρας, καὶ ὅτι αὐτοὶ ᾤκησαν αὐτὴν αἰεί. ὄψει ὄψει τὰ τῆς χώρας, μνήμῃ τὰ τῶν ἀνδρῶν τῶν προγόνων.

95,11 οἵ τε γὰρ οἰκήσαντες προέταξε τὴν φιλανθρωπίαν τῶν Ἀθηναίων. ἦν γὰρ καὶ ἀκόλουθον. διπλῆν γὰρ ταύτην ἀποφαίνει, τὴν μὲν τῇ πράξει τῶν

τρόπων, τὴν δὲ ἐν τοῖς κινδύνοις γινομένων πρόβολον. ἐπειδὴ δέ ἐστι καὶ ἄνευ ἔργων, φιλανθρωπίαν τινὰ ἐξηγεῖται, τὸ οὕτω ἡσυχίας ἐπιτήδειον, τὸ δὲ πρὸς ἐπικουρίαν τῶν ἀτυχημάτων ἁρμόδιον. τῆς αὐτῶν ἐπιεικείας πρᾳότητος.

95,12 ἐν παντὶ πράγματι. τῷ παρασχόντι ταύτην ἐνδείξασθαι. ἐν παντὶ τῷ παρασχόντι ἀντὶ τοῦ ἐν παντὶ τῷ χρόνῳ ἐν ᾧ ἐδέησεν ἐπιδείξασθαι τοὺς Ἀθηναίους τὴν ἑαυτῶν καλοκαγαθίαν ἤτοι φιλανθρωπίαν. τοῦτο γὰρ βούλεται αὐτῷ ἡ ἐπιείκεια σημαίνειν. εἰπὼν τὴν τῶν προγόνων ἐπιείκειαν μερίζει ταύτην εἵς τε τοὺς τρόπους αὐτῶν καὶ τὰς ὁμιλίας καὶ ὅτι οἱ κινδυνεύοντες οἱ πρὸ τούτων ἐσώζοντο. μέρος γὰρ καὶ τοῦτο ἐπιεικείας αὐτῶν, τὸ μή τινα παρορᾶν ἀπολλύμενον, ἀλλὰ χεῖρα ὀρέγειν.

95,14 προβόλου προμάχου. μοίρᾳ τάξει. ἐν προβόλου μοίρᾳ καὶ ἑξῆς, πρόκειται γὰρ ἀντ᾽ ἄλλου. ὡς πρὸς τὸ πρόβλημα τοῦτο ἐπήνεγκεν, ὅτι καὶ τὸ σχῆμα τῆς Ἀττικῆς ἔοικε προβόλῳ. οἰκεία δὲ ἡ λέξις ὡς ἐπὶ προβόλου καὶ τείχους, οἷον προβέβληται. προηγεῖται, ὥσπερ ἡγεμονεύουσα τῆς Ἑλλάδος. εἶπε δὲ τοῦτο ὡς πρὸς τὴν θέσιν· καταντικρὺ γὰρ τῆς Ἀσίας τυγχάνει. φυλακτήριον δὲ αὐτῆς φησι, δηλονότι τῆς Ἑλλάδος, διὰ τοὺς Ῥωμαίους, καὶ ὡς ἐπὶ τὸ πλεῖστον δι᾽ αὐτοὺς τοῦτο ἀεὶ λέγει. διὰ δὲ τοῦ εἰπεῖν τὴν γινομένην τάξιν ἐσήμηνε τὴν ἡγεμονίαν ὡς ὀφειλομένην τῇ πόλει, ἵνα δείξῃ καὶ τὸν ἡγεμόνα τῆς Ἑλλάδος καὶ τοὺς ἄνδρας τῶν ἄλλων ἀνδρῶν προέχοντας. τὸ δὲ ἔχουσα ἀντὶ τοῦ ἐπέχουσα. ἀντὶ ἄλλης πόλεως ἢ στρατιᾶς ἤ τινος τοιούτου, ἀναπληροῦσα τὸ φυλακτήριον. ἢ ἐν παντὶ χρόνῳ, ἐν ᾧ ἔστηκεν, ἐπιδείξασθαι τοὺς Ἀθηναίους τὴν ἑαυτῶν καλοκἀγαθίαν ἤτοι φιλανθρωπίαν .....

96,1 θεωροῦντι ἐστί.

96,2 πρώτη ἀρίστη γὰρ θέσις τῆς γῆς ἡ τοῦτο εὐτυχήσασα. πρώτη πρὸς ἥλιον καὶ νῦν τὸ ἐγκώμιον. πρώτη δὲ λέγει ἀπὸ τῶν δυτικῶν πόλεων. πρώτη δὲ λέγεται ἀπὸ τῶν δυτικῶν πόλεων. πρὸς ἥλιον ἀνίσχοντα ἤγουν ἀνατέλλοντα. προμήκης εἰς τὸ πέλαγος φασὶ τὴν Ἀττικὴν προχωρεῖν ἐντὸς τῆς θαλάττης, τὴν δὲ θάλατταν περιβάλλειν αὐτὴν ταῖς ἀγκάλαις.

διὸ καὶ οὗτος προϊών φησι πολλούς τινας ὅρμους ταύτην παρέχεσθαι κύκλῳ περὶ πᾶσαν ἑαυτήν.

96,3 ἔρυμα φύλαγμα. ὑπὸ τῶν κρειττόνων τῶν θεῶν. τοῦτο τοὺς κρείττονας οἰκιστὰς ἐμφαίνει τῆς πόλεως.

96,4 τοῦ γένους τῶν Ἑλλήνων. τοῦ γένους διηγεῖσθαι, τῆς Ἑλλάδος δηλονότι. τοῦτο δὲ ἀεὶ διὰ τοὺς Ῥωμαίους λέγει. προβαίνει γὰρ ἐμψύχως εἶπεν οἱονεὶ βαδίζει. ὃ δὲ κατὰ φύσιν ὑπάρχει τῷ τόπῳ, τοῦτο τῇ χώρᾳ ἐπέθηκε.

96,5 μέχρι πλείστου τόπου. ταῖς νήσοις ἐγκαταμίγνυται κύκλῳ γὰρ περὶ αὐτὴν ταύτας ἔχει.

96,6 ἤπειρος ἐν νήσοις τουτέστι κοινωνοῦσα ταῖς νήσοις ὥσπερ φιλίαν ἀσπαζομένην αὐτάς. ἔοικε δὲ νήσῳ ἡ Ἀττική· παρ᾽ ὀλίγον γὰρ ἐπικλύζεται ὡς νῆσος. δοκεῖ δὲ νοτιώτερον διαβολὴν ἔχειν τῷ κεῖσθαι ἐν νοτίῳ μέρει. οὐκ ἔστιν οὖν τόπου δηλωτικὸν, ἀλλ᾽ ἀντιπίπτοντος λύσις. ἀντέπιπτε γὰρ αὐτῷ ὅτι νῆσος οὖσα τῶν ὑδάτων ἐν σπάνει καθέστηκε. φησὶν οὖν ἐν ὑδροτέρᾳ καὶ τούτων. ἐπάγει γοῦν μετὰ βραχὺ τὸ καὶ πηγὰς ἀφθόνους ἔχειν τὴν πόλιν. κεῖται δὲ καὶ παρὰ Θουκυδίδῃ τὸ νόημα ἐπὶ τῆς διύγρου, ἔνθα λέγει «Χειμῶνος ἦν νοτιώτερον.» καὶ Ὅμηρος «Κατὰ δὲ νότιος ῥέεν ἱδρώς». τούτων ἐνίων νοτιωτέρα νοτιωτέρα λέγει, ἵνα δείξῃ ὡς ἐπὶ πλεῖστον τῆς θαλάττης ἐκτέταται, καί τινας τῶν νήσων ἐκ πλαγίου ἔχει. εἰσὶ δὲ οἳ φασὶ τὸ νοτιωτέρα ἀντὶ τοῦ ὑγροτέρα, ἵνα ᾖ λύσις τοῦ ἀντιπίπτοντος. εἶπε γὰρ ἄν τις αὐτῷ, πῶς τοιαύτη οὖσα σπάνιν ὕδατος ἔχει; φησὶν οὖν ὅτι ἐνυδροτέρα τινῶν ἐστι νήσων. εὕρηται δὲ τὸ νοτιωτέρα καὶ ἐπὶ διύγρου παρά τε τοῖς ἄλλοις πᾶσι καὶ Θουκυδίδῃ λέγοντι «Χειμῶνος νοτιωτέρα». καὶ παρ᾽ Ὁμήρῳ «Κατὰ δὲ νότιος ῥέεν ἱδρώς.» ἐρεῖ δὲ τοῦτο ὁ Ἀριστείδης καὶ ἔμπροσθεν περὶ τοῦ τῶν Περσῶν αἵματος, ὡς ἐν νοτίῳ ταῖς ναυσὶν ἦν. τὸ νοτιώτερα διαβολὴν ἔχει τοῦ κεῖσθαι τὴν Ἀττικὴν ἐν νοτίῳ μέρει. οὐκ ἐστὶν οὖν τόπου δηλωτικὸν, ἀλλ᾽ ἀντιπίπτοντος λύσις· ἀντέπιπτον γὰρ αὐτῷ ὅτι νῆσος οὖσα τῶν ὑδάτων ἐν σπάνει καθέστηκε· φησὶ γοῦν ἐνυδροτέρα καὶ τούτων, διὸ καὶ ἐπείγε μετὰ βραχὺ τὸ καὶ πηγὰς ἀφθόνους ἔχειν τὴν πόλιν. κεῖται δὲ κἀπὶ Θουκυδίδου τὸ νότιον ἀντὶ τοῦ διύγρου, ἔνθα λέγει «Χειμὼν ἦν

νοτιωτέρα.» νοτιώτερον ἀντὶ τοῦ κεκλιμένη πλέον τῶν νήσων εἰς τὸ πέλαγος καὶ ὡς ἂν εἴποι τις πλαγιωτέρα, σώζουσα τοὺς θαλαττεύοντας. τοῦτο γὰρ διὰ τοῦ «χεῖρα προτείνουσα» βούλεται. ἀντὶ πλέον τῶν ἄλλων προκεκλημένη εἰς τὸ πέλαγος καὶ σώζουσα τοὺς θαλαττεύοντας· τοῦτο γὰρ διὰ τοῦ «χεῖρα προτείνουσα» ἀπέφηνεν. τοῖς μέρεσι.

96,7 παντοδαποὺς δὲ ὅρμους καὶ λιμένας τινὲς λέγουσι λιμένας εἶναι ἀχειροποιήτους, ὅρμους δὲ τοὺς ᾠκοδομημένους. κακῶς δὲ εἶπε «τῆς θαλάττης καὶ ἑαυτῆς.» λιμὴν γὰρ γίνεται ἐν τῷ τέλει τῆς θαλάττης. λέγει γοῦν ὅτι ἡ Ἀττικὴ ποιεῖ λιμένας ἔκ θ' ἑαυτῆς καὶ τῆς θαλάττης. ὅπου γὰρ μόνη θάλασσα, οὐκ ἔστι λιμὴν οὐδὲ ὅρμος. λέγεται γοῦν ὅρμος καὶ ὁ λιμὴν, ὅτι τέθεικε τοῦτο ἐκ παραλλήλου. ἄλλοι δέ φασιν ὅτι ὅρμος μὲν καλεῖται ἔνθα προσοκέλλει τις τὸ πλοῖον, λιμὴν δὲ ἔνθα μετέωρος ἐπὶ τῶν πελαγῶν φέρεται. ὅρμος καὶ λιμὴν διαφέρει. ὅρμος μὲν γὰρ λέγεται ὁ τόπος ἐν ᾧ βάλλουσι τὸ ἄγκιστρον, ὡς ἀσφάλειαν τῆς νηὸς, λιμὴν δὲ ὁ χῶρος πᾶς ἐν ᾧ ἵστανται τὰ πλοῖα.

96,8 ἔτι δὲ ἀκτὰς ἄλλας καὶ γάρ εἰσιν ἔν τε ταῖς νήσοις καὶ ἐν αὐτῇ. ἢ μέρη τῆς θαλάττης καὶ ἑαυτῆς τὰς νήσους φησί. τοῦτο πρὸς τὸ κάλλος ἁρμόζει, ὅτι πρὸς ἀναψυχὴν πεποίηται καὶ τέρψιν.

96,9 οὐ πλέον διαλιπόντας γραμματικόν ἐστι τὸ σχῆμα. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. οὐκ ἀπέχουσιν οἱ πορθμοὶ ἀφ' ἑαυτῶν, εἰ μὴ ὅσον αἱ νῆσοι ἑαυτῶν διεστήκασι. τὸ γὰρ πυκνὸν καὶ συνεχὲς βουλόμενος δηλῶσαι τοῦτο εἶπε. πορθμὸς δέ ἐστι θάλασσα ἀμφίγειος, ὥσπερ ὁ ἰσθμὸς γῆ ἀμφιθάλασσος.

96,10 ὥστε καὶ παραπλεῖν καὶ ἤπειρον αὐτὴν δείκνυσι καὶ νῆσον καὶ παραθαλαττίαν. τὸ γὰρ παραπλεῖν ἐπὶ παραθαλαττίων λέγεται, τὸ δὲ περιπλεῖν ἐπίνησον, τὸ δὲ πεζεύειν ὡς ἐπὶ ἠπείρου. παραπλεῖν πλησίον. ὡς ἐπὶ τῶν παραθαλασσίων. περιπλεῖν κύκλῳ. ὡς ἐπὶ νήσων. πεζεύειν τὸ πεζεύειν κατ' ἄμφω νοητέον, καὶ διὰ τὰς νήσους καὶ διὰ τὴν Ἀττικήν. ἀπέδειξε γὰρ αὐτὴν ἐντὸς προήκουσαν τῆς θαλάττης· διὸ καὶ τὸ πελαγίους λέγει. εἰκότως δὲ ἐλήφθη τὸ πομπῇ. ὥσπερ γὰρ ἐν ταῖς πανηγύρεσι παντοδαπῶν θεαμάτων θέαι πρόκεινται πρὸς τὰς τῶν

θεατῶν βουλήσεις, οὕτω καὶ περὶ τὴν Ἀττικὴν συμβαίνει. πεζεύειν ὡς ἐπὶ ἠπείρου. πελαγίους ἔξω ἐν τῷ πελάγει.

96,11 ὥσπερ ἐν πομπῇ πανηγύρει. ἐν ταῖς πομπαῖς ὁ μὲν Διονύσου, ὁ δὲ Σατύρου, ὁ δὲ Βάκχου ἀνελαμβάνετο σχῆμα. τὸ δὲ αἱρουμένους ἐπιλεγομένη εἰς θέαν ὥσπερ εὐπομπεῖ, ὃ θέλει τις ὁρᾷ, οὐχ ὃ θέλει περίκειται σχῆμα. οὐ γὰρ ὁ πεζὸς τὸν ἱππέα δύναται μιμήσασθαι, οὐδ' ἔμπαλιν.

96,12 αἱ δὲ αἱ νῆσοι. πανταχόθεν ἐκ παντὸς μέρους αὐτῆς. Κυκλάδες καὶ Σποράδες περὶ τὴν Ἀττικὴν Κυκλάδες καλοῦνται διὰ τὸ πᾶσαν ὁμοῦ κυκλοῦν τὴν νῆσον τὴν Δῆλον. Σποράδες δὲ διὰ τὸ ἐσπαρμένως καὶ ὡς ἔτυχε κεῖσθαι. εἰσὶ δὲ αἱ μὲν Κυκλάδες τρεῖς πρὸς ταῖς δέκα, ἤγουν ἡ δωδεκάνησος λεγομένη, αἱ δὲ Σποράδες ὀκτώ. ἔχει δὲ καθ' ἓν μὲν μέρος τὰς Κυκλάδας, καθ' ἕτερον δὲ τὰς Σποράδας. Κυκλάδες μὲν ἅπασιν ᾀδόμεναι, Σποράδες δὲ Κρήτην, Κύπρον, Ῥόδον· οὐδὲν γὰρ αὗται περιλαμβάνουσαι νῆσον ὥσπερ αἱ Κυκλάδες τὴν Δῆλον, δι' ἣν καὶ Κυκλάδες λέγονται.

96,13 ὥσπερ τῆς θαλάττης ἀντὶ τοῦ κατὰ τὸν τόπον τῆς πόλεως, ἔνθα ἐστὶν ἡ θάλασσα· τὰς γείτονας τὰς Κυκλάδας. θέλει δὲ δεῖξαι τὴν Ἀττικὴν εἰκόνα τῆς οἰκουμένης σώζουσαν καὶ πᾶν σχῆμα αὐτῆς ἔχουσαν, ὡς δηλοῖ προϊών.

96,15 δύνανται αἱ νῆσοι. τοῖς βασιλείοις ἐν. δύνανται γὰρ ὅπερ τοῖς βασιλείοις καθαιροῦντος τὴν δόξαν τῆς Ἀττικῆς τοῦ λέγειν ταῖς νήσοις αὐτὴν καλλύνεσθαι, ἐπιφέρει τὸ ἄτοπον περιβολῇ διορθούμενος, καὶ φησὶν ὅτι ὥσπερ βασιλείοις τὸ κάλλος τῶν προπυλαίων κάλλος γίνεται, οὕτως αἱ νῆσοι κάλλος γίνονται τῆς Ἀττικῆς· καὶ οὐ δήπου διὰ τοῦτο ἀτιμότερα τῶν προπύλων τὰ βασίλεια. σελήνην σελήνῃ παρεικάζει τὴν Ἀττικὴν καὶ τὰς νήσους ἀστράσιν. ἐπειδὴ δὲ ποιητικόν ἐστι τὸ ἐπιχείρημα, ποιητῇ αὐτὸ περιάπτει. ἔστι δὲ παρεμβολὴ τὸ νῦν ἀναπόδοτος· ἔδει γὰρ εἰπεῖν ὅτι ὃν τρόπον οἱ ἀστέρες τὴν σελήνην περιέχουσιν, ὡς ποιητὴς ἂν εἴποι, τὸν αὐτὸν τρόπον καὶ αἱ νῆσοι τὴν πόλιν. ἀπεσιώπησε δὲ καὶ ἀναπόδοτον ἀφῆκε τῷ χιαστῷ σχήματι χρώμενος. τεχνικῶς δὲ καὶ ἐπήγαγε τὸ μεῖζον

κέρδος φέρουσαι, ἤτοι ἀντιλαμβάνουσαι, ἢ ὅσον παρέχουσι. κοσμοῦνται γὰρ, φησὶ, παρὰ τῆς πόλεως ἥπερ κοσμοῦσι τὸ προσοικεῖν. ἕτεροι δέ φασι τῷ φέρειν τὸν φόρον αὐτῇ. σελήνην τὴν Ἀττικὴν, ἀστέρας τὰς νήσους φησί. ἐγκλείουσι στεφανοῦσι. ἤγουν στεφανοῦσι. ποιητὴς ἂν εἴποι τις ἐπειδὴ τοῦτο ποιητοῦ τινός ἐστιν, εἴτε διὰ τὴν Ἀττικὴν εἴτε ἄλλως πως εἰρηκότος, διὰ τοῦτο τὸ «ποιητὴς ἂν εἴποι τις» λέγει. οἱ δὲ λέγοντες ὅτι οὐκ ἔστι τινὸς ποιητοῦ, ἀλλ᾽ ἐπειδὴ ποιητῇ ἥρμοττε τοῦτο καὶ οὐ λογοποιῷ, διὰ τοῦτο τοῦτό φησι ληροῦσιν.

96,16 μεῖζον φέρουσαι κέρδος παρὰ τῆς πόλεως. φέρουσαι ἀντὶ λαμβάνουσαι. ἢ ὅσον παρέχουσι αὐτῇ ἐκ τῶν φόρων καὶ τῶν ἄλλων ὧν εὐποροῦσιν.

96,17 γνησίαν ἐπὶ τῶν Ἑλληνικῶν ὅτε γὰρ οἱ Ἕλληνες ἤνθουν τὴν τῆς θαλάττης ἀρχὴν Ἀθηναῖοι εἶχον. δι᾽ ἃ δὴ καὶ μόνη ἀπὸ τῆς θέσεως ἰδιοποιεῖ τὴν ἀρχὴν τῶν νήσων τῇ πόλει. εἶτα ἐπειδὴ καὶ οἱ Λακεδαίμονες ἦρξαν τῆς θαλάττης, νόθους αὐτοὺς, οὐ γνησίους καλεῖ. τινὲς δὲ τὸ φέρουσαι ἔλαβον διὰ τὸν φόρον ὃν παρέχουσιν· ἵν᾽ ᾖ οὕτως, κέρδος δέχονται παρὰ τῆς πόλεως τὸ προσοικεῖν πλείονας παρέχουσι φόρους. ἐπὶ τῶν Ἑλληνικῶν καλῶς τοῦτο. ὁ γὰρ λόγος ἐπὶ τῶν Ῥωμαϊκῶν ἐλέχθη. ἅμα δὲ καὶ θεραπεύει διὰ τούτου Ῥωμαίους. ἐπὶ τῶν Ἑλληνικῶν καλῶς τοῦτο ἐπὶ τῶν Ἑλληνικῶν προσέθηκεν. ὁ γὰρ λόγος ἐπὶ τῶν Ῥωμαϊκῶν ἐλέχθη· ἅμα δὲ καὶ διὰ τούτου θεραπεύει τοὺς Ῥωμαίους. δι᾽ ἃ δὴ καὶ μόνης τῆς πόλεως ἀπὸ τῆς θέσεως ἰδιοποιεῖ τὴν ἀρχὴν τῶν νήσων τῇ πόλει. εἶτα ἐπειδὴ καὶ Λακεδαιμόνιοι ἦρξάν ποτε τῆς θαλάττης, νόθους αὐτοὺς, οὐ γνησίους καλεῖ. τινὲς τὸ φέρουσιν ἔλαβον διὰ τὸν φόρον, ὃν παρέχουσιν, ἵν᾽ ᾖ οὕτω· κέρδος δέχονται παρὰ τῆς πόλεως τῷ προσοικεῖν πλείονας παρέχουσι φόρους.

97,1 τοὺς δ᾽ ἄλλους νόθους ἐπειδὴ τότε Λακεδαίμονες ἦρξαν τῆς θαλάττης, νόθους αὐτοὺς καὶ οὐ γνησίους καλεῖ. ὥσπερ ὑποβολιμαίους ὑποβάλλοντας. οἱ ἐκποιητοὶ ἢ οἱ ὑποβαλλόμενοι, καὶ οἱ εἰσποιητοὶ ἤτοι οἱ ἐπὶ τῶν χαμαιριφῶν παιδίων, ἅπερ ἑαυτῶν ἀποβάλλουσιν αἱ γυναῖκες.

97,5 ψυχαγωγίας τέρψεως ψυχῆς. τρυφῆς ἀπολαύσεως. αὐτοὺς τοὺς ἐμπόρους. πλὴν εἰς ὅσον αὐτούς τις ἐπιμαρτύραιτο ὡς μὴ δυνάμενος

δεῖξαι λόγῳ τὸ τερπνὸν τοὺς πεπειρασμένους ἄγει μάρτυρας τῆς ἡδονῆς.

97,6 ἡ ψυχὴ προκαθαίρεται εἰκότως εἶπε τὸ προκαθαίρεται. οἱ γὰρ μυούμενοι πρῶτον προεκαθαίροντο· διὸ καὶ προτέλεια ἐλέγετο παρ᾽ αὐτοῖς. τρόπον οὖν ἕτερον καὶ οἱ τῶν Ἀθηνῶν ἐπιβαίνοντες ταῖς παρακειμέναις προεντυγχάνοντες νήσοις οἱονεὶ προκάθαρσιν τῶν ἔμπροσθεν φροντίδων ἔπασχον καὶ ἀρχὴν τῆς εὐφροσύνης ἐλάμβανον ἧς μετ᾽ ὀλίγον ἐξ Ἀθηνῶν ἀπολαύσειν ἔμελλον. προκαθαίρεται καθαρὰ λύπης καὶ φροντίδος γίνεται.

97,7 ὥσπερ ἐν ἱεροῖς προτελουμένη ἀντὶ τοῦ μυουμένη, ἵνα εἴπῃ προτέλεια μὲν τὰς νήσους, αὐτὴν δὲ τὴν Ἀττικὴν τελετήν. τὸ δὲ κοῦφον, ὅτι τὰ ἱερὰ εἶχόν τινα συνῳκοδομημένα, σημαίνοντα ὡς δεῖ μετέωρον γίνεσθαι τὸν μυούμενον. ὅθεν καὶ οἱ ἐν Αἰγύπτῳ τὰ πτερὰ τοῦ Κανώβου φασί. προτελουμένη προδιδασκομένη. μυουμένη. ἐπίδηλον δὲ ὥσπερ ἕτερον ἥλιον ὑπογράφει τῶν Ἀθηνῶν τὸ φῶς, ὅτι ὡς ὑψηλοτέρα ἐστὶν ἡ πόλις.

97,8 τὸ φῶς τοῦ ἡλίου. ἀφαιρούσης ἤδη τὴν πολλὴν ἀχλὺν οὕτως Ἀθηνᾶ πρὸς Διομήδην ἐν Ἰλιάδι φησὶν
Ἀλλ᾽ ἀχλὺν δ᾽ ἄν τι ἀπ᾽ ὀφθαλμῶν ἕλον, ὧν
πρὶν ἐπῆεν,
ὄφρ᾽ εὖ γινώσκῃς ἠδὲ θεὸν ἠδὲ καὶ ἄνδρα.
οὐκ Ἀριστείδου, ἀλλ᾽ Ὁμήρου τὸ μυθολόγημα, πλάττοντος τὴν Ἀθηνᾶν τῷ Διομήδει λέγουσαν
Ἀχλὺν δ᾽ αὖ τοι ἀπ᾽ ὀφθαλμῶν ἕλον, ἣ πρὶν
ἐπῆεν,
ἀφεῖλον.

97,9 καὶ καθ᾽ Ὅμηρον οὐκ αὐτοῦ, ἀλλ᾽ Ὁμήρου τὸ μυθολόγημα. ὡς ἐφόρου δὲ τῆς πόλεως τῆς Ἀθηνᾶς οὕτως αὐτὴν ὠνόμασε τὴν Ἀττικὴν χώραν τῆς Ἀθηνᾶς εἶναι χώραν.

97,10 ὥστε ἔοικεν ὀνείρατος εὐφροσύνῃ τὰ θεάματα διὰ τὸ ὑπερβάλλον τοῦτό φησι· πολλάκις γάρ τις ἐν ὕπνοις καὶ σατράπης καὶ βασιλεὺς γέγονεν. ἔνεστι δὲ τοῦτον τὸν λόγον καὶ ἄλλοθί που ἐπὶ ματαίοις εὑρεῖν. ὀνείρατος τὸ σφόδρα τερπνὸν δηλοῖ. πολλὴ γὰρ παρὰ τοῖς ὀνείροις ἡδονὴ

καὶ χαρὰ προσγίνεται τῆς προσηκούσης. καὶ γὰρ ἐν τοῖς ὀνείροις ἕκαστος μεγάλα νομίζει κερδαίνειν, ὁ μὲν ἔχειν χρυσὸν οἰόμενος, ὁ δὲ κτήματα, ἕτερος ἀρχὴν, ἃ μεθ' ἡμέραν οὐ πρόσεστιν. οὐ πρὸς τὸ ἀνυπόστατον δὲ τὴν εὐφροσύνην τῆς πόλεως παραβάλλων εἶπεν οὕτως, τοιοῦτον γάρ τι οἱ ὄνειροι, ἀλλὰ πρὸς τὸ ὑπερβάλλον τῆς εὐφροσύνης. ἀκολούθως δὲ καὶ χορείᾳ τὸ ἐξελίττειν ἐπήνεγκεν. χορείαν χορόν. ἐξελίττειν συστρέφειν. ἀνύττειν τελεῖν. οἷα θαυμαστικόν.

97,12 τοῖς δ' ὁρωμένοις τοῦτο ἐκ τοῦ ἐναντίου εἴρηται. ἐχρῆν γὰρ εἰπεῖν τοῖς λεγομένοις συμβαίνει καὶ τὰ ὁρώμενα. διὸ καὶ Μένανδρος μέμφεται τῷ Ἀριστείδῃ. τοὐναντίον ὤφειλεν εἰπεῖν· τοῖς λεγομένοις συμβαίνει καὶ τὰ ὁρώμενα. συμβαίνει συμφωνεῖ. τὰ λεγόμενα ἐν ταῖς ἱστορίαις. πάντα τὰ ἐν αὐταῖς.

97,13 ὁμοίως ἔχει τοῖς ὁρωμένοις. τοῦ ὁρωμένου. Λητώ τε γὰρ νῦν περὶ τῆς θέσεως διηγούμενος μικρὸν ὅσον καὶ περὶ τῶν θείων διηγήσεται. θεῖα δὲ καλεῖ τὰ περὶ θεῶν λεγόμενα τοῖς Ἀθηναίοις. λυσαμένη ἐμφαίνει διὰ τούτων τὴν δίωξιν τῆς Ἥρας ὑπὸ ζηλοτυπίας τοῦ Διὸς αὐτῇ συγγενομένου. πάλιν δὲ τῷ κατὰ πρόσληψιν ἐχρήσατο σχήματι, εἰπὼν ἐν ζωστῆρι. εἰ μὴ γὰρ ἀπεζώσθη ἐν τῷ τόπῳ, οὐκ ἂν ἐκλήθη ὁ τόπος ζωστήρ.

97,14 λιποῦσα τὴν ἐπωνυμίαν τῷ τόπῳ ἐξ ἐκείνου γὰρ ζωστὴρ κέκληται.

97,15 εἰς τὸ πρὸς ἕω πρὸς γὰρ τὸ ἑῶον μέρος τῆς Ἀττικῆς ἡ Δῆλος. τῆς Προνοίας Ἀθηνᾶς Προνοίας Ἀθηνᾶς ἱερὸν ἐν τῷ ἄκρῳ τῆς Ἀττικῆς ἦν. ἐποίησαν δὲ τοῦτο Ἀθηναῖοι ἢ διότι προνοεῖται ἡ θεὸς τῆς πόλεως, ἢ ὅτι τοῦ τῆς Λητοῦς τόκου πρόνοιαν ἔσχεν, ὅτε ἀπείργετο παρὰ τῆς Ἥρας ἐν γῇ ταύτην μὴ τεκεῖν, καὶ ἔδειξε τὸ Σούνιον, καὶ πρὸς τὴν Δῆλον ἐχειραγώγησε. βουλόμενος δὲ καὶ Ὑπερείδης δεῖξαι τᾶς νήσους πλησίον εἶναι τῆς Ἀττικῆς, φησὶν ἐν Δηλιακῷ ὅτι ἀπ' ἄκρας τῆς Ἀττικῆς, Λητὼ ἐπέβη τῆς νήσου. τῆς Προνοίας Ἀθηνᾶς ἡγουμένης καλῶς τὸ τῆς προσθήκης πρὸς τὸ προκείμενον εἶπε. διὰ τοῦτο γὰρ ἐκλήθη Πρόνοια Ἀθηνᾶ, ὅτι προενοήθη τοῦ τόκου τῆς Λητοῦς. καλῶς οὖν Ἀθηνᾶ προηγεῖται πρὸς τὸν τόκον συμβαλλομένη τῇ Λητοῖ, καὶ τὸ Σούνιον τὴν ἄκραν ἐπιτίθησι, καὶ πρὸς τὴν Δῆλον χειραγωγεῖ τὴν θεόν. τοῦτο καὶ

῾Υπερίδης ἐν Δηλιακῷ βουλόμενος δεῖξαι, ὅτι αἱ νῆσοι ἐγγύς εἰσι τῆς Ἀττικῆς, εἶπεν ὅτι ἀπ᾽ ἄκρας τῆς Ἀττικῆς ἡ Λητὼ ἐπέβη τῆς νήσου. Πρόνοια ἐκλήθη ἡ Ἀθηνᾶ, ὅτι τῆς Λητοῦς ἐν τῷ τίκτειν προνοησαμένη διὰ τοῦ Σουνίου τῆς Ἀττικῆς εἰς τὴν Δῆλον διεβίβασε. ἀπ᾽ ἄκρας τῆς Ἀττικῆς ἤγουν τοῦ Σουνίου. βουλόμενος δεῖξαι ὅτι καὶ αἱ νῆσοι πλησίον τῆς Ἀττικῆς, τοῦτο προσέθηκεν. ἐπιβᾶσα τῶν νήσων ὡς ἂν εἰ ἔλεγεν, ᾧ νῆσος ἀτυχὴς καὶ τόκον τῶν θεῶν ἀτυχήσασα. φησὶ δὲ τὴν Δῆλον πλανωμένην τέως ἀπὸ τοῦ τόκου Λητοῦς ῥιζωθεῖσαν στῆναι. διὸ καὶ Δῆλος ἐκλήθη, ὡς ἐξ ἀδήλου εἰς δῆλον βάσιν καταστᾶσα. εἰς ταύτην δὲ καὶ οὐκ ἄλλην ἦλθεν ἡ Λητὼ νῆσον. εὐλαβεῖτο γὰρ ὑπὸ Διὸς διωκομένη εἰς τόπον ἑστῶτα καταφυγεῖν, ἵνα μὴ ῥᾳδίως ἁλῷ. νῦν δὲ εἰς πλανωμένην καταφεύγει, ἵνα εἰ πάλιν ῞Ηρα ἐπέλθοι, τῇδε κἀκεῖσε πλανωμένης τῆς νήσου ἔχοι πρὸς ἄλλην εὐκόλως μεταβαίνειν.

97,16 τῶν νήσων τῶν Κυκλάδων. εἰς Δῆλον καταίρει λέγουσιν ὅτι ἡ Δῆλος ἐν βυθῷ τῆς θαλάττης οὖσα ὑπὸ Διὸς ἀναδοθεῖσα διὰ Λητὼ ἐπάγει, ἵνα ἐκεῖ τέξῃ. ἔτεκε δὲ τὴν Ἄρτεμιν πρῶτον, ἵνα μαιεύσῃ Ἀπόλλωνα. διὸ καὶ ἔφορος ἡ θεὸς τῆς λοχείας. τὸν πατρῷον Ἀπόλλω τῇ πόλει πατρῷον Ἀθηναῖοι τὸν Ἀπόλλω ἐκάλουν ὅτι Κρεούσης ἠράσθη, τῆς Ἐρεχθέως θυγατρὸς, ἀφ᾽ ἧς ἔσχεν Ἴωνα, ἀφ᾽ οὗ καὶ Ἴωνες. καὶ τὸν πατρῷον Ἀπόλλω πατρῷον ἐκάλουν οἱ Ἀθηναῖοι τὸν Ἀπόλλωνα, ὅτι ἠράσθη Κρεούσης, τῆς Ἐρεχθέως θυγατρὸς, καὶ τέτοκεν Ἴωνα, ἀφ᾽ οὗ καὶ Ἴωνες οἱ Ἀθηναῖοι. ἐμφαίνει δὲ ὅτι διὰ τοῦτο ἐτέχθη ὁ Ἀπόλλων, ἵνα πατρῷος γένηται θεός. ἄλλοι φασὶν ὅτι πρῶτοι τῶν ἄλλων ἁπάντων ἀνθρώπων εἶδον τὸν ἥλιον, ὡς αὐτόχθονες ὄντες. πατέρα οὖν ἑαυτῶν ἡγοῦνται τὸν Ἀπόλλωνα, ἤγουν τὸν ἥλιον. διὰ τὴν Κρέουσαν, τοῦ Ἐρεχθέως θυγατέρα, τινές φασι, πατρῷον λέγει ὅτι ἠράσθη ταύτης. καὶ τέτοκεν Ἴωνα, ἀφ᾽ οὗ εἰσὶν Ἴωνες οἱ Ἀθηναῖοι.

98,1 ἥ τ᾽ ἀπὸ τῆς Ἀσίας ἐπὶ τοὺς Ἕλληνας πρώτη διαβᾶσα δύναμις ἦν πρὸ Ξέρξου Δαρεῖος ἔπεμψε στρατιὰν μετὰ στρατηγῶν Ἀνταφέρνου καὶ Δάτιδος. τὴν Δαρείου φησί. διὰ τοῦτο καὶ πρώτην λέγει.

98,2 προσέσχεν ἔπλευσεν. ἀχθεῖσα ἀγομένη.

98,3 πρὸς δοῦναι δίκην ὧν ἐπεβούλευσε τοῖς Ἕλλησιν ἐν Μαραθῶνι γὰρ ἥττηται, ὡς προϊὼν ἐρεῖ. πρὸς τὸ δοῦναι δίκην Ἀρταφέρνην φησὶ καὶ Δᾶτιν, οὓς ἔπεμψε Δαρεῖος. ἐνδείκνυσι δὲ διὰ τούτων ὅτι πλησίον αἱ νῆσοι τῆς Ἀττικῆς δύο. ἐμψύχως δὲ εἶπεν, ὡς αὐτοῦ τοῦ τόπου ἑλκύσαντος αὐτοῦ εἰς ἑαυτὸν, ἵνα δίκην δοῖεν. ἦν γὰρ στενὸς ὁ ἐν Σαλαμῖνι· τῇ μὲν γὰρ θαλάττια ἦν, ἄλλοθεν δὲ ἕλος μικρὸν καὶ τόπος λιμνώδης. ἐν ἀρχῇ τῆς Ἑλλάδος ἀρχὴν τῆς Ἑλλάδος λέγει διότι καὶ ἡ παλαιὰ Ἑλλὰς ἀπὸ ταύτης ἤρχετο, Θηβαῖοι, Ἀργεῖοι, Πελοποννήσιοι καὶ οἱ ἄλλοι Ἕλληνες. μέσην δὲ διὰ τὴν τῶν Ἰώνων ὕστερον ἀποικίαν. οὕτω δ' ἐν ἀρχῇ ἀρχὴν μὲν πρὸς τὴν Πελοπόννησον τὴν παλαιὰν Ἑλλάδα, μέσην δὲ πρὸς τὴν Ἰωνίαν. ἕτερον δὲ τοῦτο σχῆμα τῆς Ἀττικῆς διηγεῖται, βουλόμενος αὐτὴν δεῖξαι ἀρχὴν καὶ μέσην, ἵν' ὡς ἀρχὴ καὶ τέλος οὖσα τιμηθῇ παρὰ πᾶσιν. ἢ καὶ γεωμετρικῶς ἐρρήθη, ὅτι ἐστὶν ἡ χώρα· ἐν ἀρχῇ τῆς Ἑλλάδος καὶ μέση· ἐν ἀρχῇ μὲν, ἐπειδὴ, ὡς καὶ αὐτὸς, κεῖται πρὸς ἥλιον ἀνίσχοντα· μέση δὲ, ὅτι τῆς Ἑλλάδος μέσης οὔσης τοῦ παντὸς αὕτη μέση ὅτι τῆς Ἑλλάδος.

98,5 καὶ ὥσπερ πόλιν ἡ οἰκεία χώρα προσοικεῖ ἀντὶ τοῦ περιοικεῖ, ὑπὸ γὰρ πάντων Ἑλλήνων περιέχεται. προσοικεῖν δέ φησι τὴν οἰκείαν τοὺς ἀγροὺς καὶ πᾶσαν κτῆσιν τὴν μέχρι τῶν ὅρων ἑκάστης πόλεως οὖσαν.

98,7 τὸ τῶν Ἑλλήνων πρόσχημα ὑπόκρισις. διότι μὲν ἐν ἀρχῇ τῆς Ἑλλάδος εἶπεν, ἐπήγαγε τὸ πρόσχημα, οἱονεὶ πρόσωπον καὶ προβολήν. διότι δὲ ἐν μέσῳ ἐπήνεγκε τὸ τοῖς βαρβάροις ἐστὶν ἐπὶ πλεῖστον ἀλλόφυλον. οὐ γὰρ οἷόν τε τὴν μέσην Ἑλλήνων οὖσαν γειτονεύειν βαρβάροις. ἐστὶν μόνη. ὅσον γὰρ τῇ φύσει—καὶ τοῖς ἤθεσι δῆλον ὅτε καὶ τῷ τόπῳ πλεῖστον ἀφέστηκεν.

98,8 τῶν ἀνδρῶν τῶν βαρβάρων. οὔτε γὰρ ποταμοῦ οὐ γὰρ ὡς Τάναϊς καὶ συνάπτει καὶ διορίζει τὴν Ἀσίαν τῆς Εὐρώπης, —ὥς φησι Διονύσιος, Εὐρώπην τῆς Ἀσίας Τάναϊς διὰ μέσον ὁρίζει, — οὕτω καὶ τὴν Ἀττικὴν ἄλλος τις ποταμός. ἰστέον δὲ ὡς τὸ διορίζον καὶ συνάπτει.

98,10 ἐπίσημον ὑπερέχον. ἐν γὰρ τῷ μέσῳ αἱ ἀσπίδες τὰ σήματα ἔχουσιν. ἢ τὸν λεγόμενον ὀμφαλόν.

98,11 καὶ πανταχόθεν κύκλῳ ὡς ἐπὶ ἀσπίδος εἶπε τὴν λέξιν. κυκλοτερὴς γὰρ ἡ ἀσπίς. κύκλους δὲ λέγει τὰ Ἑλληνικὰ γένη. ἐπειδὴ γὰρ ἑκάστη πόλις κυκλοῦται ὑπὸ τῶν ἰδίων τειχῶν ὥσπερ καὶ αὐτὴ ὑπὸ τῶν Ἑλληνικῶν γενῶν.

98,13 τῇ κοινῇ τοῦ γένους ἑστίᾳ κοινὴν τοῦ γένους ἑστίαν λέγει τὰς Ἀθήνας διὰ τὸ πρεσβυτάτην εἶναι τὴν πόλιν πασῶν τῶν Ἑλληνικῶν καὶ πάσας ἐντεῦθεν τὰς ἀρχὰς τοῦ γένους δοκεῖν ἔχειν. ὡς τῶν ἑστιῶν μέσων οὐσῶν τῶν οἰκιῶν. τοσοῦτον δὲ πέφευγεν πάλιν ἐμψύχως εἶπε τὸ τοσοῦτον δὲ πέφευγεν, οὐκ ἀνεχομένης τῆς Ἀττικῆς πλησίον εἶναι τῶν ἄλλων βαρβάρων. ἑτέραν δὲ Ἑλλάδα τὴν νῦν Ἰωνίαν λέγει.

98,14 ἑτέραν Ἑλλάδα τὴν νῦν Ἰωνίαν λέγει. τὴν Ἰωνίαν λέγει ἑτέραν Ἑλλάδα.

98,15 πλεῖστον βαρβάρων ἀφέστηκεν πολὺ, φησὶν, ἀφέστηκε τῆς βαρβάρου γῆς τῷ κάτω εἶναι παρὰ θάλατταν. ὑπερβολῇ δὲ ἐχρήσατο. ὥσπερ φύσει ταχθεῖσα ἡ πόλις εἰκότως ἐνταῦθα τὸ πόλις προσέθηκεν. ἐπειδὴ γὰρ διὰ μέσου εἶπε διὰ τὴν Ἰωνίαν, τὸ ἢ νῦν ἤδη πλεῖστον βαρβάρων ἀφέστηκε, προσέθηκε τὸ πόλις εἰς τὸ ταχθεῖσα, ἵνα μὴ τούτου ἀπόντος ἔμφασιν ἔχῃ τισὶ διὰ τὴν Ἰωνίαν λέγεσθαι.

98,17 εἰλικρινῆ δὲ καὶ καθόλου ἀχάριστοι γὰρ αἱ ἄλλαι διάλεκτοί εἰσιν, ὡς ἡ Δωρὶς εἰς α τὸ η ἀμείβουσα, ὡς ἐπὶ τοῦ ἁμέρα. παράδειγμα δὲ πάσης τῆς Ἑλληνικῆς ὁμιλίας εἶπεν. εὑρίσκεται γὰρ ἐν τῇ Ἀττικῇ διαλέκτῳ τινὰ καὶ τῶν ἄλλων διαλέκτων, οἷον Ἰωνικὰ καὶ Δωρικὰ, τῷ πάντως πρεσβυτέραν ταύτην εἶναι καὶ ἀπὸ ταύτης ἐκείνας ταῦτα λαβεῖν. καὶ τοῦτο σαφὲς ἐκ τῶν γραμματικῶν τεχνικῶν. δεῖ γὰρ τὸ παράδειγμα τοῦ οὗ παράδειγμα προϋπάρχειν. ἄλυπον ἐμμελῆ καὶ οὐ τραχεῖαν, οἷα ἡ τῶν βαρβάρων. παράδειγμα πάσης τῆς Ἑλληνικῆς ὁμιλίας φωνὴν εἰσηνέγκατο διὰ τοῦ παράδειγμα λέγειν δείκνυσιν αὐτὴν καὶ πρεσβυτάτην τῶν ἄλλων Ἑλλήνων καὶ κρείττονα διάλεκτον ἔχειν, καὶ τοὺς ἄλλους Ἕλληνας ὡς εἰς παράδειγμα ταύτην βλέψαντας, τὴν αὐτῶν δὲ ἀσκῆσαι. διὸ καὶ ἐν ταῖς αὐτῶν φωναῖς εὕρηταί τινα Ἀττικὰ ῥήματα. παράδειγμα δὲ πάσης τῆς Ἑλληνικῆς τὴν Ἀττικὴν λέγει, ἐπειδὴ εὑρίσκονται ἐν αὐτῇ τινα, ἅπερ ἐξ αὐτῆς ἔσχον αἱ ἄλλαι.

98,18 ἡ δ’ αὐτὴ θέσις ὥσπερ τὴν θέσιν τῆς χώρας, οὕτω καὶ τῆς πόλεως ἐπαινέσαι. καὶ φησὶν ὅτι ὥσπερ ἡ χώρα ἐν τῷ μέσῳ κεῖται τῆς Ἑλλάδος, οὕτω καὶ ἡ πόλις ἐν τῷ μέσῳ τῆς χώρας. διὰ τοῦ τοσοῦτον ἐπὶ θάλατταν ἐπικλίνουσα τοῦτο βούλεται παριστᾶν, ὡς οὔτε παραθαλάττιος αὕτη οὔτε ἠπειρωτική. δεῖ δὲ τὸν ῥήτορα πρὸς τὴν χρείαν ἁρμόττεσθαι, καὶ εἰ μὲν παραθαλάττιος ὑπάρχει ἡ πόλις, ἐπαινεῖν καὶ λέγειν ὅτι ἐπισπᾶται τὴν θάλατταν· εἰ δὲ μεσόγειος, πάλιν ἐν τῷ ἐπαίνῳ λέγειν ὅτι πέφευγεν αὐτὴν οὖσαν ταραχώδη.

99,1 τοσοῦτον πρὸς θάλατταν ἐπικλίνουσα οὐ γὰρ ἀκριβῶς ἐν μέσῃ τῇ Ἀττικῇ, ἀλλὰ μᾶλλον πρὸς θάλασσαν νεύει.

99,2 τρίτη δὲ αὕτη ἐστὶν ἡ ἀπόδοσις· οἷον τρίτη δὲ ἀκόλουθος τούτων ἀνέχει ἡ ἀκρόπολις. αἰνίττεται δὲ εἰς Θουκυδίδην· λέγει γὰρ οὗτος ὅτι πρὸ τοῦ Θησέως τὸ περὶ τὴν ἀκρόπολιν μέρος μόνον πόλις. οὗτος δὲ γενόμενος καὶ αὐξήσας τὸν περίβολον ἠνάγκασε τοὺς κατὰ κώμας οἰκοῦντας εἰς τὰς Ἀθήνας ἐμβῆναι. καὶ οὕτως ᾠκίσθη πᾶσα ἡ πόλις. ἀκόλουθον δὲ τὴν τρίτην εἶπε τὴν ἀκρόπολιν, διότι προενεκωμίασε τὴν χώραν τὴν Ἀττικὴν, εἶτα τὰς Ἀθήνας καὶ τρίτην τὴν ἀκρόπολιν, ἥτις τύπον ἔχει κορυφῆς ἀντὶ τοῦ ἐξέχει, ὑψηλή ἐστι. καὶ ὥσπερ αὕτη πρὸς τὸ πᾶν σῶμα μέση ἐστὶν, οὕτω καὶ ἡ ἀκρόπολις· ἀλλὰ καὶ ὑψηλή ἐστιν, ὡς αὕτη καὶ μέση τῆς πόλεως. ἐπειδὴ δὲ πᾶν ἄκρον ἔσχατόν ἐστι, προσδιωρίσατο, ὅτι οὐ λέγω τὸ ὕστατον, ἀλλὰ τὸ ὑψηλόν. περὶ δὲ τῶν ἀέρων αὐτῆς θέλων ἱστορῆσαι οὕτως φησίν· ἴσμεν ὅτι ὁ ἀὴρ ὁ διήκων μέχρι τοῦ οὐρανοῦ οὐ λεπτομερής ἐστι καὶ εὔκρατος, ὁ δὲ ἐπὶ γῆν παχύτερος. βουλόμενος οὖν τὸν ἀέρα ἐπαινέσαι αὐτῆς φησὶν ὅτι ἐπὶ τὴν ἀκρόπολιν ἀὴρ ἔσχατός ἐστιν, ὡς πρὸς τὰ ἄνω, ἀπὸ δὲ γῆς ὡς πρὸς ἡμᾶς λεπτομερέστατος καὶ εὔκρατος ὡς ὑψηλότερος. ὁ γὰρ εἰς ὕψος ἀὴρ τοιοῦτος. αὕτη ἐστὶν ἡ ἀπόδοσις, ἡ τρίτη δὲ ἀκόλουθος τούτων, ἀνέχει ἡ ἀκρόπολις, ἐπειδὴ πᾶν ἄκρον ἔσχατόν ἐστι, προσδιωρίσατο, ὅτι οὐ λέγει τὸ ἔσχατον, ἀλλὰ τὸ ὑψηλόν.

99,3 ἡ πάλαι μὲν πόλις, νῦν δὲ ἀκρόπολις πρὶν γὰρ τὴν νῦν οὖσαν πόλιν κτισθῆναι ἡ νῦν ἀκρόπολις ἐκαλεῖτο πόλις, ὡς ὁ συγγραφεύς φησι.

99,4 οὐχ ὡς ὕστατον εἶναι τῆς πόλεως αἱ γὰρ ἀκροπόλεις πᾶσαι ἐν τοῖς ἐσχάτοις εἰσὶ καὶ ὀρεινοτέροις μέρεσι τῶν πόλεων· διὸ καὶ ἄκραι πόλεις καλοῦνται, καὶ ἄκραι μόνον. ἡ δὲ τῶν Ἀθηναίων πόλις λόφον ἐν μέσῳ ἔχουσα, ἐν τούτῳ τὴν ἀκρόπολιν ἔχει, ὥσπερ τι φρούριον ἐρυμνόν. καὶ συμβέβηκεν ἅμα τε ταύτην εἰς ὕψος ἦρθαι καὶ μέσον τῆς πόλεως εἶναι. διὸ καὶ διὰ πάντων κάλλος λέγει, ἐπειδὴ δι' ἀμφοτέρων τούτων καὶ ἄλλης τινὸς ποικιλίας κεκόσμηται, καὶ ἔστιν ἄκρος ὅρος τῆς περὶ τὴν Ἀττικὴν εὐκαιρίας καὶ χάριτος, καὶ τῆς κατ' αὐτὸν εὐδαιμονίας ἔσχατος κολοφών. ἢ τὸ περὶ γῆν μὴ εἰς τὴν Ἀττικὴν ἐκληπτέον, ἀλλ' εἰς γῆν ἁπλῶς, ἵνα λέγῃ ὁ ῥήτωρ ὡς ἔνθα ἂν τῆς γῆς τοῦτο ἀμβαίη, κεφάλαιόν ἐστι τῆς κατ' αὐτὴν χάριτος.

99,5 ἄκρου καὶ μέσου ἄκρου λέγει διὰ τὸ ὕψος, μέσου δὲ διὰ τὸ ἐπὶ μέσου κεῖσθαι. τὸ δὲ διὰ πάντων κάλλος ἀντὶ τοῦ διὰ πάντων κεκαλλωπισμένον.

99,6 ὥσπερ γὰρ ἐπ' ἀσπίδος κύκλων ἰστέον ὅτι τὸ παλαιὸν αἱ ἀσπίδες κυκλοτερεῖς ἦσαν, καὶ πέντε τοὺς σύμπαντας κύκλους εἶχον μέχρι τοῦ ὀμφαλοῦ, εἴτε ἐκ σφυρηλάτου χαλκοῦ εἴτε ἄλλως πως ἐν χρώματι. διὸ καὶ εἰκότως χρῆται τῷ παραδείγματι. πέντε γὰρ κύκλοι κἀνταῦθα, ὅ τε τῆς οἰκουμένης, ὅ τε τῆς Ἑλλάδος, ὅ τε τῆς Ἀττικῆς, ὅ τε τῆς πόλεως, καὶ ὁ τῆς ἀκροπόλεως. ἔστι δὲ ἡ παραβολὴ ἀναπόδοτος, νοουμένης τῆς ἀποδόσεως. ποιοῦσι δὲ τοῦτο ἄλλοι τε πολλοὶ καὶ παρὰ Λιβανίῳ ἔστιν εὑρεῖν ἐν τῇ Ἀχιλλέως ἀντιλογίᾳ. λέγει γὰρ «Ὥσπερ οὖν ὑμῖν ἀπολαμβάνουσιν οὐκ ἂν ἀπέχρησεν οὐδετέρῳ.» ἴσως δ' ἄν τις πρὸς τὸ ἐμβεβηκότων ὑποστίξαι καὶ τὸ πέμπτος εἰς ὀμφαλὸν πληροῖ διὰ τὴν ἀκρόπολιν εἴποι λέγεσθαι, ἵν' εἴη, πέμπτος μὲν κύκλος τὰ τῆς ἀκροπόλεως τείχη, ὀμφαλὸς δὲ τὰ μεταξὺ τούτων. εἰ δὲ εἴποις ὅτι τὸ ὀμφαλὸς ἐπὶ τῆς ἀσπίδος λέγεται, ἐροῦμεν ὡς ἐπειδὴ ἀσπίδος εἶπεν, ἐτήρησε κἀνταῦθα τὴν τροπήν, ὥσπερ ὅταν λέγωμεν παραπλησίως νηὶ ἡ πόλις χειμάζεται, κυβερνήτου οὐκ ὄντος· ἵν' εἴη τὸ σχῆμα τοῦ λόγου ὅμοιον ὡς ἄνωθεν. λέγω δὴ τὸ «Ὥσπερ πελάγους ἀπείρου» καὶ τὰ ἑξῆς. ὁ τελευταῖος ὅρος τῆς περὶ γῆν εὐκαιρίας ἐπειδὴ αἱ ἀσπίδες κύκλους ἔχουσι πέντε, καὶ αὐτὸς δείκνυσιν ἔχουσαν τάξεως καὶ τὴν Ἀττικὴν βούλεται

δεῖξαι. καὶ πρῶτον μὲν κύκλου τὴν γῆν φησι, δεύτερον τὴν Ἑλλάδα, τρίτον τὴν χώραν, τέταρτον τὴν πόλιν, πέμπτον τὴν ἀκρόπολιν· ὃν καὶ κανόνα λέγει τῆς εὐκρασίας. τοῦτο γὰρ βούλεται σημαίνειν διὰ τὸ τελευταῖος ὅρος τῆς εὐκαιρίας.

99,9 τῆς δ' αὖ πόλεως ἡ ὁμώνυμος ἡ ἀκρόπολις. ἀλλ' ἐνταῦθα μὲν ἐπειδὴ τὸ μετὰ τὸν οἰκιστὴν μεμνῆσθαι τῆς θέσεως τῆς χώρας τεχνικόν ἐστι. λέγων δὲ τὴν θέσιν ἐμνήσθη τῆς ἀκροπόλεως, ἔμελλε δὲ διεξιέναι καὶ περὶ τῶν οἰκοδομημάτων, ὅπερ τοῖς ἐπιλόγοις ἁρμόττει, διὰ τοῦτο πάλιν ἐπὶ τὴν θέσιν ἀνέδραμε, ἵνα ἐν τῷ τέλει εἴποι τὰ τῶν οἰκοδομημάτων.

99,10 τὰ πρεσβεῖα τὴν τιμήν. πρεσβεῖα νῦν τὰ πρωτεῖα, ἀλλαχοῦ δὲ καὶ τὰ τίμια.

99,11 τὴν μὲν πρὸς γῆς τε καὶ θαλάττης φύσιν τὸ ἐκ φύσεως σχῆμα. ἤγουν τὸ ἐκ φύσεως ἐσχηματίσθη. μῆκός τι φεύγοντες κατὰ κοινοῦ τὸ φεύγοντες, οἳ καὶ τὸ μῆκος φεύγοντες, φεύγοντες δὲ καὶ τὸ παρελθεῖν ἃ μὴ τὸ εἰπεῖν κακὸν νομίζεται. ἀντὶ τοῦ φεύγοντες καὶ τὸ σιωπᾶν ὅσα δίκαιον εἰπεῖν· οὐ γὰρ ἐσιωπήσαμεν ταῦτα, φησὶν, ἀλλ' ὑμνήσαμεν.

99,12 ἃ μὴ χεῖρον ἀντὶ τοῦ μὴ ᾖ κακόν· οὐ γὰρ συγκριτικῶς νῦν εἶπε τὸ χεῖρον.

99,13 ἀλλὰ μὴν τόν γε μέρος βούλεται τῆς θέσεως εἶναι τὸ εὔκρατον τοῦ ἀέρος· πρὸς γὰρ τὴν θέσιν τοῦ κόσμου δεῖ καὶ τῶν ἀέρων εἶναι τὴν θέσιν. καλῶς δὲ εἶπε τὸ ὑπὲρ κεφαλῆς, ὅτι πᾶς ἀὴρ ὡς ἐπὶ τὸ πλεῖστον ἐπὶ τὴν κεφαλὴν εἱλεῖται. τοῦτο δὲ ὀνομάζει ὑπὲρ τῆς κεφαλῆς τὸ λεπτομερὲς βουλόμενος δεῖξαι.

99,14 ὥστε εἰ τῷ λόγῳ οὕτω τὸ ἑξῆς, εἴθε ὥσπερ σύμμετρός ἐστιν ὁ ἀὴρ καὶ ὁ καιρὸς τῆς πόλεως, οὕτω σύμμετρός ἐστι καὶ ὁ ἐγκωμιαζόμενος λόγος. εὐκτὸν εὐχῆς ἄξιον. ἁπάντων ἀπέχει τῶν δυσχερῶν ἤγουν τῶν ὑπερβολῶν καὶ ἐλλείψεων. τῶν δυσχερῶν τὰ δυσχερῆ τὰ λυπηρὰ φησί. δῆλον γὰρ ὅτι ἑκάστη χώρα ἔχει τῶν τεσσάρων ἴδιον, ἡ μὲν θερμότητα, ἡ δὲ κρύος, ἄλλη ξηρότητα, ἑτέρα δὲ ὑγρότητα. τούτων δὲ τὰ ὑπερβάλλοντα ἀεὶ λυπηρά. λέγει οὖν ὅτι μετέχει τῶν ἀγαθῶν ἡ Ἀττικὴ

ἀπεχομένους τοῦ πλήρης ἑκάστου λυπηροῦ. τὰ γὰρ ἄκρα τοῦ θερμοῦ καὶ ψυχροῦ ὑγροῦ τε καὶ ξηροῦ λυπηρά.

99,15 τῶν ἀγαθῶν μετρίων. τῶν μετρίων. ἑκάστης ὥρας. λυπηρὰ ἃ πρόσθεν δυσχερῆ ἐκάλεσε, ταῦτα νῦν λυπηρὰ λέγει. τεκμαίρεσθαι τὸ τῆς χώρας, φησὶν, εὔκρατον οὐ μόνον τοῖς ὡραίοις, φησὶν, ἔξεστι τεκμαίρεσθαι, τουτέστι ταῖς ὀπώραις. αὗται γὰρ ὡραῖα καλοῦνται, παρὰ τὸ ἐν τῇ καλλίστῃ τοῦ ἔτους ὥρᾳ γίνεσθαι. οὐ μόνον οὖν, φησὶ, τούτοις τοῖς ὡραίοις τὸ εὔκαιρόν ἐστι τῆς χώρας σκοπῆσαι, πολὺ τῶν ἐν ταῖς ἄλλαις ἐχόντων τὸ διάφορον, ἀλλ᾽ ὅτι καὶ διὰ χρόνου παραμένουσιν ἀσινεῖς ἐν τῷ ἐνιαυτῷ παντὶ, ὥσπερ ἐν ταῖς ἄλλαις ὥραις κατὰ τὸν ἴδιον καὶ οἰκεῖον τῆς ὀπώρας καιρόν. τοῦτο γὰρ βούλεται δηλοῦν διὰ τοῦ παρὰ τὴν ἐπωνυμίαν. νικῶσιν οὖν ἐνταῦθα τὰ μετὰ τὴν ὥραν εὑρισκόμενα τὴν ἐπωνυμίαν, ἤτοι τὴν τοῦ ἔτους ὥραν. ὡραῖοι οἱ καρποὶ γράφονται ἀπὸ τοῦ ἐν τῇ καλλίστῃ ὥρᾳ τοῦ ἔτους γίγνεσθαι. οὐ μόνον, φησὶ, γνωρίσαι τῷ κάλλει τῶν ὡραίων τὸ διάφορον τῆς χώρας πρὸς τὰς ἄλλας προσγίνεται, ἀλλ᾽ ὅτι καὶ διὰ χρόνου μένουσιν οἱ καρποὶ ἀσινεῖς, ὥσπερ ἐν ταῖς ἄλλαις χώραις κατὰ τὸν ἴδιον καὶ οἰκεῖον τῆς ὀπώρας καιρόν.

99,16 τοῖς ὡραίοις τοῖς κατὰ τὸν καιρὸν ἕκαστον καρποῖς. τοσοῦτον τοῦ παντὸς ἔτους κατέχουσι χρόνον ἐπιπολὺ γὰρ καὶ μετὰ τὴν ὥραν, καθ᾽ ἣν γίνονται, παραμένουσιν.

99,17 ἀλλὰ καὶ τῇ ἀποστάσει ἀπόστασιν λέγει τὸν χωρισμόν. ὅταν γὰρ θελήσομεν ἰδεῖν τί τὸ διεστηκότες αὐτοῦ ὡς ἐπὶ γραφῆς ἀκριβῶς θεώμεθα. ἐὰν οὖν, φησὶ, χωρισθῇς τῆς πόλεως, αἴσθῃ τὸ διάφορον ψύχους ἢ θέρους. τῇ γὰρ ἐπαναχωρήσει τινὸς πράγματος μανθάνομεν τὴν φύσιν τοῦ πράγματος, ἐν ᾧ τέως ἦμεν, ὁποία τίς ἐστι. τὴν δὲ στάθμην εἶπε διὰ τὴν ῥοπήν. τῇ ἀποστάσει τοῦ τόπου. ἐν στάθμῃ ζύγιον.

100,1 δεῦρο ἢ ἐκεῖσε κινηθεὶς πρὸς τὸ βόρειον ἢ νότιον, ἤτοι πρὸς Θρᾴκην ἢ Αἴγυπτον. ψυχρότατοι μὲν γὰρ οἱ κατὰ Θρᾴκην τόποι, θερμότατοι δὲ οἱ κατ᾽ Αἴγυπτον.

100,2 ὥστε ἐν τούτῳ μόνῳ νικᾶται ἡ γὰρ ἐπὶ τοῖς φαύλοις ἧττα νίκην ἐπὶ τοῖς καλλίστοις αὐτῇ μαρτυρεῖ. παραδόξως ἐπεχείρησε· δεικνύει γὰρ καὶ ἡ τὴν

τῆς νίκης ... ἄμεινα. Αἴγυπτος μὲν γὰρ θέρμῃ νικᾷ, ψύξει δὲ Θρᾴκη, καὶ τῆς μὲν τὸ θερμὸν, τῆς δὲ τὸ ψυχρὸν λυπεῖ.

100,3 οὗ τὸ νικᾶσθαι λυσιτελέστερον τοῖς ἀνθρώποις.

100,4 ὥστε καὶ τῶν ἄλλων γενῶν ἀφ' Ἡροδότου ἀφέληται τοῦτο. ὥσπερ δὲ ἀέρος ἀποικίαν ἔοικεν ἡμῖν ὑποτίθεσθαι, ὃ καί τινες αὐτοῦ εἰς κουφότητας ᾐτιάσατο.

100,7 τὰ λοιπὰ δύο ἤτοι δύσιν καὶ ἀνατολήν. οὐδ' αὖ τὰ λοιπὰ δύο ἀνατολὰς καὶ δύσεις. ἐμφαίνει δὲ μίαν οὖσαν κρᾶσιν. ἔνθα γὰρ μία κρᾶσις οὐκ ἔστι, λέγομεν ὅτι τὰ ἔνθεν λέγει τὰ ἔξω τῆς Ἀττικῆς. αὕτη γὰρ ἡ Ἀττικὴ μίαν ἔχει κρᾶσιν. ἄνευ τῆς προσθήκης προσθήκην τὴν πρός πρόθεσιν λέγει. τὸ γὰρ εἰπεῖν πρὸς ἄρκτον ἔμφασιν ἔχει ὡς οὐ καθαρῶς ἄρκτος ἐστὶν, ἀλλὰ πρὸς ταύτην μᾶλλον ῥέπει. προσθήκην τὴν πρός πρόθεσιν λέγει. τὸ γὰρ εἰπεῖν πρὸς ἄρκτον σημαίνει τὸ πολὺ τῆς χώρας ἀρκτῶον εἶναι. ἡ γὰρ πρόθεσις ἐπίτασιν δηλοῖ.

100,8 ὅσον τὸ ἄνω καὶ κάτω διὰ τούτων δείκνυσιν αὐτὴν τὸ μέσον τοῦ παντὸς ἐπέχειν. αἱ γὰρ ἐξ ἴσου ἀποστάσεις τὸ μέσον ἀφορίζουσι. τμήματα δὲ λέγει τὰς τέσσαρας ὥρας.

100,10 ὑπ' αὐτὴν ὡς εἰπεῖν τὴν ἀκρόπολιν τοῦ οὐρανοῦ τὸ ἐξαίρετον. εἰ γὰρ αἱ ἀκροπόλεις κρείττονές εἰσι τῶν πόλεων ὧν ἀκροπόλεις εἰσὶ, λόγον ἂν ἔχοι καὶ τὸ κρεῖττον μέρος τοῦ οὐρανοῦ ἀκρόπολιν οὐρανοῦ καλεῖν. εἰκότως δὲ εἶπε καὶ τὴν τοῦ Διὸς ἀρχήν. ὥσπερ γὰρ τὰς ἀκροπόλεις οἱ τύραννοι κατέχουσιν, οὕτω καὶ ὁ Ζεὺς, Ὀλύμπου κρατῶν, ἐν τῷ κρείττονι τούτου μέρει τὰ βασίλεια ἔχει. ὑπ' αὐτὴν ὣς εἰπεῖν καλῶς αὐτὸς ἐκάλεσε διὰ τοῦ ὡς εἰπεῖν· οὐ γάρ ἐστιν οὐρανοῦ ἀκρόπολις. ἀλλ' ἐπειδὴ ἡ ἀκρόπολις τὸ τίμιον νομίζεται, πρὸς τὸ τίμιον αὐτοὺς παρέβαλε καὶ λέγει ὅτι, εἰ ἦν ἀκρόπολις τοῦ οὐρανοῦ, ταύτῃ ἂν ἦν ὁμοία. κοῦφον γὰρ τὸ εἰπεῖν ἐν οὐρανῷ ἀκρόπολιν ἁπλῶς. ἀλλὰ τὸ κάλλιστον μέρος τοῦ οὐρανοῦ βούλεται διὰ τούτων παριστᾶν· τούτων γὰρ αἱ ἀκροπόλεις. καὶ ἐπειδὴ αἱ ἀκροπόλεις τοῖς κινδύνοις ἀνάκεινται, διὰ τοῦτο προσέθηκε Διὸς ἀρχήν. τὴν ἀκρόπολιν τοῦ Διὸς καλῶς αὐτὸς ἐκάλεσε διὰ τοῦ ὡς εἰπεῖν· οὐ γάρ ἐστιν οὐρανοῦ ἀκρόπολις. ἀλλ' ἐπειδὴ ἡ ἀκρόπολις τίμιον

νομίζεται, πρὸς τὸ τίμιον αὐτὸ παρέβαλε καὶ λέγει ὅτι, εἰ ἦν ἀκροπόλις τοῦ οὐρανοῦ, ταύτῃ ἦν ὁμοία· ἐπειδὴ δὲ ἡ ἀκρόπολις τοῖς τυράννοις ἀνάκειται, διὰ τοῦτο προσέθηκε τὴν Διὸς ἀρχήν.

100,11 ὡς ἀληθῶς γενομένην λῆξιν τῆς Ἀθηνᾶς λάχος, κλῆρον. ταύτην γὰρ ἐκληρώσατο Ἀθηνᾶ, ὅθεν καὶ τοὔνομα αὐτῇ δέδωκε. κλῆρον. κλῆρος γὰρ Ἀθηνᾶς ἡ πόλις ἥδε. ὅθεν καὶ τοὔνομα αὐτῇ δέδοται. κλῆρον. ὅτι αὐτὴν Ἀθηνᾶ ἔχει. τῶν ταύτης ἔργων τε καὶ θρεμμάτων τόπον οἰκεῖον ἔργα λέγει τήν τε σύνεσιν καὶ τὰς ἄλλας τέχνας. Ἀθηνᾶ γὰρ ἡ φρόνησις, φρονήσεως δὲ εὑρέματα αἱ τέχναι. θρέμματα δὲ καλεῖ τοὺς ἀνθρώπους κατὰ τὸν τῶν Ἐριχθονίων μῦθον. ἔχει δὲ λόγον καὶ θρέμματα Ἀθηνᾶς καλεῖν τοὺς σοφοὺς ἄνδρας, οἷς μεγάλα πρὸς σοφίαν συμβάλλεται τὸ τόπου τυχεῖν ἐπικαίρου, οἷος ὁ τῆς Ἀττικῆς. ἔργα λέγει τὴν σύνεσιν, θρέμματα δὲ τοὺς ἀνθρώπους διὰ τὸν Ἐριχθόνιον. τῶν ταύτης ἔργων τε καὶ θρεμμάτων ἔργων λέγει τῆς συνέσεως, Ἀθηνᾶς γὰρ ἡ φρόνησις· θρεμμάτων δὲ τῶν ἀνθρώπων διὰ τὸ Ἐριχθόνεα. τῶν δὲ περὶ γῆν ἀέρων ἀφεστάναι τὴν Ἀττικήν φησι. βούλεται γὰρ διὰ τούτων εἰπεῖν ὅτι αἰθέρος ἐστὶ μεταξὺ καὶ τῶν περὶ γῆν ἀέρων, ὅπερ οὐδέν ἐστιν ἕτερον ἢ νοεῖν ὅτι μόνου τοῦ αἰθέρος διὰ τὴν ὑπὲρ κεφαλῆς ἀπολαύει. οὐκ ἔστι δὲ καὶ ἀέρος. ἐπειδὴ δὲ παράδοξον τοῦτο ἐδόκει, ὥσπερ διορθούμενος τοῦτό φησιν, οὐδ᾽ αἰθέρι μᾶλλον εἴκασται. καὶ λίαν καλῶς, εἰ γὰρ αἰθὴρ τὸ τοῦ αἰθέρος λεπτομερέστατον, τοιοῦτος δὲ ὁ τῆς Ἀττικῆς ἀὴρ, εἰκότως καὶ οὗτος αἰθέρι τοῦτον ἀπείκασέ τε καὶ κέκληκε, συγκρίσει τοῦ λοιποῦ κατὰ γῆν ἀέρος.

100,12 θρεμμάτων τόπον οἰκεῖον οὐδὲ γὰρ ἥρμοττεν ἄλλος τόπος τούτοις ἢ οὗτος. τῶν περὶ γῆν ἀέρων οἱ γὰρ περὶ γῆν ἀέρες παχεῖς εἰσιν, ὥσπερ καὶ γεώδεις τὴν φύσιν. οὐδ᾽ αἰθέρι μᾶλλον εἴκασται ὁ γὰρ αἰθὴρ λεπτός· παραπλήσιος δὲ τούτῳ καὶ ὁ τῆς Ἀττικῆς ἀήρ.

100,13 οἷς ταῦτα ἔπρεπε δημιουργοῖς ἤγουν τοῖς θεοῖς. τοῖς δῆθεν θεοῖς φησιν. αὐτοὺς γὰρ καλεῖ τῆς χώρας δημιουργούς.

100,14 πολλὴ ῥᾳστώνη ἡδονὴ ἢ εὐκολία. πεδίων τε κάλλη καὶ χάριτας τοὺς ἀγρούς φησιν. ὡς ἐν ἐγκωμίῳ δὲ τὸ εὔφορον οὐκ ἔχων παριστᾶν —

λεπτόγεων γὰρ αὐτῶν πάντα φασὶ — τὰ κάλλη καὶ τὴν χάριν παρήγαγεν. ἐπειδὴ δὲ καὶ ἐντός εἰσι τῆς πόλεως πεδία, διὰ τοῦτο ἐπανορθούμενος φησὶ, μᾶλλον δὲ ἀπὸ τῆς ἀκροπόλεως.

100,15 τῶν δὲ ἀπὸ τοῦ τείχους ἀρχομένων τῆς πόλεως. ἐφ᾽ ἑκάστῃ τῇ θαλάττῃ τοῖς αἰγιαλοῖς ἐφορμούντων διὰ τοῦτο ἐφ᾽ ἑκάστῃ τῇ θαλάττῃ εἴρηκεν, ἐπειδήπερ ἡ Ἀττικὴ προμήκης οὖσα, ὡς ἔφημεν, διὰ πάντων τῶν αὐτῆς μερῶν θάλατταν ἔχει. τὸ ἐν κόλπων θαλαττίων τινῶν σχήματι ἢ διὰ τὸ διῃρῆσθαι τὰ πεδία λέγει, ὥσπερ οἱ τῆς θαλάττης κόλποι. ἢ καὶ κατ᾽ ἄμφω ὅτι διῄρηται καὶ προκέχυται παραπλησίως τοῖς κόλποις. ἑκάστῳ, φησὶ, τῆς θαλάσσης, ὡς πανταχόθεν περιεχομένης ὑπὸ τῆς θαλάττης, καὶ τῇ μὲν τῶν πεδίων ὅρον ἐχόντων τὴν θάλατταν, τῇ δὲ τὰ ὄρη, ἔνθα γίνεται ἡ χρυσῖτις ψάμμος καὶ ἀργυρῖτις ὡς εἰπεῖν τὰ μέταλλα. αἰνίττεται δὲ εἰς τὸ Λαύριον.

100,16 τοῖς αἰγιαλοῖς τὸ αἰγιαλοῖς ἑρμηνεία ἐστὶ τοῦ ἐφ᾽ ἑκάστῃ τῇ θαλάττῃ. ἐφορμώντων οἰκείως τῇ λέξει ἐχρήσατο ὡς ἐπὶ πλοίων τῷ αἰγιαλῷ ἐφορμᾶν τὰ πεδία. λέγει δὲ ἀντὶ τοῦ ἐπικειμένων. τοῖς περιέχουσιν τὴν Ἀττικήν. τὴν Ἀττικὴν ἐκ τοῦ ἄλλου μέρους.

100,17 καὶ μὴν οὐ μόνον τὸ φαιδρὸν ἐπαινεῖ, ἀλλὰ καὶ τὸ ὠφέλιμον. ἐμφαίνει δὲ τὸν λευκὸν λίθον, ἀφ᾽ οὗ φησι καὶ τῶν ναῶν καὶ τῶν ἀγαλμάτων τὴν κατασκευὴν γεγονέναι.

101,3 σπέρμα τῆς χάριτος ἑρμηνεία ἐστὶ τοῦ ἐν τοῖς πρώτοις τὸ σπέρμα τῆς χάριτος, ἣ καὶ προηγεῖται. λέγει γὰρ ὡς, ἐπειδὴ ἡ Ἀττικὴ θεῶν ἔργον ἦν, εἰκὸς ἔχειν τι τῆς δημιουργίας ἄξιον. ἔχειν οὖν τὴν ἐν τοῖς ὄρεσι λευκὴν λίθον, ἣν ἐν τοῖς πρώτοις δείκνυσι, τουτέστιν εἰς μεγάλα καὶ θαυμαστὰ συντελοῦσαν παρέχεται. σπέρμα δὲ λέγει τῆς πρὸς τοὺς θεοὺς τῆς χάριτος, ἤγουν ἀφορμὴν καὶ αἰτίαν τοῦ πῶς δεῖ τοὺς αὐτῆς εὐεργέτας ἀμείβεσθαι. ἢ τὸ σπέρμα πρὸς τὸ ὃ εἰκὸς ἔχειν τὴν χώραν ἐπαγόμενόν ἐστιν οὕτω· ὃ γὰρ εἰκὸς ἔχειν τὴν χώραν ὑπὸ θεῶν δημιουργηθεῖσαν, σπέρμα λέγω καὶ ἀφορμὴν τῆς πρὸς αὐτοὺς ἀμοιβῆς· ἤγουν ἐπειδὴ ὑπὸ θεῶν γέγονεν, ἔδει αὐτὴν ἔχειν τι δι᾽ οὗ τοὺς εὐεργέτας ἀμείψεται. ἔχει οὖν τὴν λευκὴν λίθον, δι᾽ ἧς νεὼ καὶ ἀγάλματα γίγνονται. ἐν τοῖς

πρώτοις πρῶτοι γὰρ αὐτοὶ ἐνομοθέτησαν ἀγάλματι καὶ ναοῖς τὸ θεῖον τιμᾶν. πρώτη τε αὕτη τὸ δωρηθὲν αὐτῇ παρὰ τῶν θεῶν ἀνταπέδου ταῖς λατομίαις τοῦ ὄρους εἰς ναῶν καὶ ἀγαλμάτων ἀποχρησαμένη κατασκευὴν, καὶ πρώτους φησὶν Ἀθηναίους τούτων κατάρξαι ἀνθρώποις.

101,4 διὰ τῆς φύσεως τοῦ τόπου. ἐπιτηδειοτάτη διὰ τὸ ἐκεῖθεν τὸν λευκὸν τέμνεσθαι λίθον, ἀφ' οὗ οἱ ναοὶ καὶ τεμένη τῶν δαιμόνων κεκόσμηνται.

101,5 τούτων τῶν νεῶν καὶ ἀγαλμάτων.

101,8 τὸ μήτε ὑπτίαν εἶναι διὰ πάσης σύζυγα ταῦτα· ὕπτιον δὲ τὸ ἀναπεπταμένον φησί. βούλεται δὲ αὐτὴν πάλιν δεῖξαι τῆς πάσης οἰκουμένης γῆς σώζουσαν σχῆμα· εἰ γὰρ μήτε ὑπτία μήτε ὄρειος, πῶς οὐκ ἂν, φησὶν, εἴποι τις εἶναι τελέας καὶ τῆς πάσης οἰκουμένης σώζουσαν μίμημα; βούλεται δεῖξαι σώζουσαν τῆς πάσης οἰκουμένης τὸ σχῆμα· εἰ γὰρ μήτε ὑπτία μήτε ὄρειος, πῶς οὐχὶ τελείας καὶ πάσης τῆς οἰκουμένης εἴποι τις αὐτὴν εἶναι μίμημα; πρὸς τὴν ἑκατέρου χρείαν χρείαν ἔχουσι γὰρ ἄνθρωποι ἑκατέρου, τοῦ τε ὀρεινοῦ καὶ τοῦ πεδινοῦ· τοῦ μὲν, ἵνα σπείρηται, τοῦ δὲ, ἵνα πρὸς τὰς λιθοτομίας συντελῇ καὶ πρὸς παντοίας ὕλης· τὰ ὄρη γὰρ ταῦτα πάντα παρέχεται.

101,11 σὺν ὥρᾳ εὐμορφίᾳ.

101,12 ἔξεστι δὲ ὁρᾶν καὶ τὰς φλέβας τὰ ἀργυρίτιδας ἔστι γὰρ ἐνταῦθά τινα τῶν ὀρῶν ἀργύρου πηγὰς καὶ ψηφίσματα παρεχόμενα, καὶ οὐ πάντας, ὡς οὗτος λέγει. ὅτι ἀργυρῖτις γῆ τῶν Ἀθηναίων καὶ ὁ ῥήτωρ δεδήλωκε πανταχοῦ καὶ ἐν αὐτοῖς τοῖς ἰδιωτικοῖς. δημόσια δὲ ἦσαν τῆς πόλεως κτήματα καὶ πολλοὶ ὑπῆρχον οἱ καὶ μέρος αὐτῶν μισθούμενοι. φλέβας δὲ εἶπε τροπικῶς ἀπὸ τοῦ ἡμετέρου σώματος. λέγει δὲ αὐτὰς καὶ νοτίδας, τουτέστιν ὑδατώδεις πανταχοῦ διατρεχούσας. εἶπε γὰρ διηκούσας.

101,14 ταῖς προσόδοις πρόσοδος σημαίνει τὴν ἑορτὴν καὶ τὴν εἴσοδον. ἄσπορος τὴν ἀνήροτον λέγει, ὡς ὄρειον. φησὶν οὖν ὅτι ἀμείνων αὕτη τῆς ἑτέρας τῆς σπειρομένης· κρείττων γὰρ ἡ ἀργυρῖτις.

101,15 ἐλευθερίας ἐφόδιον καὶ μεγαλοψυχίας ἐλευθερία ἐστὶν οὐ μόνον τὸ μὴ δοῦλον εἶναί τινα, ἀλλὰ καὶ τὸ πρὸς εὐεργεσίας ἑτοίμως ἔχειν καὶ

μηδενὸς φείδεσθαι, ὥσπερ καὶ τὸ μεγαλοψυχία. οὐ γὰρ μόνον μεγαλόψυχος ὁ μηδ᾽ ὑπὸ λύπης καὶ χαρᾶς ἡττώμενος, ἀλλὰ καὶ ὁ εὐεργετικός. λέγει οὖν ὡς, ἐπειδὴ Ἀθηναῖοι τοιοῦτοι τὴν φύσιν, εἰκὸς ἔχειν αὐτοὺς δι᾽ ὃ ταύτην δεικνύειν ἐστίν. ἐλευθερίας ἐλευθέριον ἐκάλουν οἱ παλαιοὶ τὸν μεγαλόψυχον, τὸν δὲ μικρολόγον ἀνελεύθερον. ἐπειδὴ δὲ οἱ Ἀθηναῖοι εὐσεβεῖς καὶ πρὸς εὐεργεσίας ἕτοιμοι, διὰ τοῦτο εἶπεν ὅτι ἐχρῆν αὐτοὺς καὶ γῆν εὐφορωτάτην ἔχειν καὶ μέταλλα τοιαῦτα.

101,16 ἔτι τοίνυν ἔξεστι. ῥεύματα ἄλυπα ἀντὶ τοῦ ἀβλαβῆ καὶ μὴ λυποῦντα ἀκαίρῳ φορᾷ χειμῶνος τὰς παρακειμένας χώρας, ὥσπερ τοὺς χειμάρρους ἀλλαχοῦ ἢ καὶ τοὺς ποταμοὺς τῇ τῶν ὑετείων ὑδάτων καταφορᾷ ἐλλιμναζομένους καὶ ἐξοιδοῦντας καὶ τοῦ οἰκείου ὑπερχεομένους ἐδάφους, καὶ οὐχ ὃ τῷ τυχόντι φθορᾶν, τῶν δὲ παρακειμένων καὶ γειτονούντων ἀπεργαζομένους χωρίων.

101,17 ὁ πάντων ἡμερώτατος ἡμερώτατον λέγει τὸν σῖτον, ὅτι ὑπὸ τοῦ ἡμερωτάτου τῶν ζώων, φημὶ τοῦ ἀνθρώπου ——— ὧν ὁ πάντων τὸν σῖτόν φησιν· οἱ δὲ τὸν ἄνθρωπον, ἐπειδὴ ὥσπερ βοτάνην φασὶν αὐτὸν ἐν τῇ Ἀττικῇ. διὸ καὶ αὐτόχθονες Ἀθηναῖοι. τὸν σῖτον, φασί τινες, λέγει, οἱ δὲ τὸν ἄνθρωπον, ἐπεὶ καὶ ὥσπερ βοτάνη φασὶν ἀναδοθῆναι αὐτόν.

102,1 ὥσπερ ἀπὸ τῶν τραγημάτων τὴν εὐωχίαν σεμνύνειν ἤγουν ὥσπερ ἀπὸ φαυλοτάτων τινῶν τὸ τῆς πόλεως αὔξειν ἐγκώμιον. ἔστι δὲ τὸ ἀπὸ τῶν τραγημάτων σεμνύνειν παροιμία ἐπὶ τῶν ἐκ φαύλων καὶ μικρῶν τὰ μεγάλα θαυμαζόντων. οἰκείως δὲ εἶπε τὸν καρπὸν, ὅτι τε περὶ καρπῶν διεξῄει καὶ ὅτι ἐν τῇ Ἀττικῇ ἀναδεδόσθαι φασὶν ὥσπερ τινὰ πόαν τὸν ἄνθρωπον. διὸ καὶ αὐτόχθονες οἱ Ἀθηναῖοι. ἀλλὰ ταῦτα μέν ἐστιν ἐπειδὴ μέλλει ἐπὶ τὸν ἄνθρωπον μεταβαίνειν καρπῶν μνημονεύσας, οὕτω πρὸς σύγκρισιν τοῦ αὐτόχθονος εἶπε. τοιοῦτο δὲ τὸ λεγόμενον, ὅτι ὥσπερ ὁ τὸ ἄριστον θαυμάζων ἀπὸ τῶν τραγημάτων οὐδὲν ἐπιδείκνυται γενναῖον, δέον ἀπὸ τῶν ἄλλων ἐπαινεῖν, οὕτω καὶ ἡμεῖς νῦν. παροιμία δέ ἐστιν ἐπὶ τῶν ἀπὸ τῶν ἡττόνων τὰ μείζω θαυμαζόντων καὶ ἔνδοξα.

102,2 καρπόν τε τὸν ἄνθρωπον.

102,3 κατελήλυθεν εἰς ἀρχήν τινα ἑτέραν τὸ περὶ ἀνθρώπου διεξελθεῖν λέγει.

102,4 ἄλλας μὲν γὰρ χώρας ἐλέφαντες λέοντας Ἰταλία διαφόρους ἔχει τῶν ἄλλων· ἵπποι δὲ Θετταλικοὶ ἄριστοι, ὥσπερ οἱ Λακωνικοὶ κύνες. λέοντας Ἰταλία διαφόρους ἔχει τῶν ἄλλων, ἐλέφαντας Ἰνδικὴ, ἵππους Θεσσαλία, κύνας Κρήτη. λέοντας ἡ Ἰταλία, ἐλέφαντας ἡ Ἰνδικὴ, κύνας ἡ Κρήτη, ἵππους Θετταλία.

102,5 ἃ τοὺς παῖδας ἀκούοντας ἐκπλήττει τὸ ἃ τοὺς παῖδας ἀκούοντας ἐκπλήττει διὰ τὴν Μορμὼ καὶ τὴν Λάμιαν λέγει. καὶ ἡ μὲν Λάμια Λίβυσσα γέγονε γυνὴ περικαλλής. ταύτῃ δὲ ὁ Ζεὺς ἐμίγη. καὶ ἡ Ἥρα ζηλοτυπήσασα ἀπώλλυ τὰ τικτόμενα ὑπ᾽ αὐτῆς. διὸ ἀπὸ τῆς λύπης αὐτὴ μὲν δύσμορφος γέγονε, τὰ δὲ τῶν ἄλλων γυναικῶν ἀναρπάζουσα παιδία διέφθειρεν, ἣν νῦν φαμὲν ἰδιωτικῶς στρίγλαν. ἡ δὲ Μορμὼ Κορινθία ἦν, ἣ καταφαγοῦσα αὐτῆς τὰ παιδία ἐν ἑσπέρᾳ ἀνέπτη κατά τινα πρόνοιαν. καὶ τοίνυν ὅτε βούλονται τὰ σφῶν παιδία αἱ γυναῖκες φοβῆσαι, ἐπιβοῶσι Μορμώ. φησὶ δὲ καὶ Θεόκριτος «Μορμὼ δάκνει.» ἐντεῦθεν δὴ παρήχθη καὶ τὰ μορμολύκια τὰ φόβητρα. νόει δὲ τὸ τὰς δὲ, διὰ τὴν Κόρινθον καὶ τὴν Λυβίην ἃ δὲ τοὺς παῖδας φοβεῖ καὶ ἐκπλήττει οἷον Λαμίας καὶ τὰ τοιοῦτα φάσματα. λέγει δὲ τὴν Μορμὼ, ἣν ἀκούοντα ὀρρωδεῖ τὰ παιδία. φασὶ ταύτην γυναῖκα εἶναι Κορινθίαν, ἥτις ἐν ἑσπέρᾳ τὰ παιδία αὐτῆς καταφαγοῦσα ἀνέπτη κατά τινα πρόνοιαν· καὶ λοιπὸν ὅτε βούλονται φοβῆσαι τὰ παιδία αὐτῶν αἱ γυναῖκες, ἐπιβοῶσι Μορμώ. καὶ ὁ Πλάτων λέγει τὸ μορμολύκεια, καὶ ὁ Θεόκριτος «Μορμὼ δάκνε με.» φασὶ δὲ νῦν τὴν Μορμὼ ὀνοσκελίδα. ἡ δὲ Λαμία γέγονε Λίβυσσα γυνὴ περικαλλής. ταύτῃ Ζεὺς ἐμίγη, καὶ Ἥρα ζηλοτυπήσασα ἀπώλλυ τὰ τικτόμενα ὑπ᾽ αὐτῆς. διὸ καὶ ἀπὸ τῆς λύπης αὐτὴ μὲν δύσμορφος ἐγεγόνει, τὰ δὲ τῶν ἄλλων γυναικῶν ἀναρπάζουσα παιδία αὕτη διέφθειρεν. τὴν Μορμὼ λέγει.

102,6 κατὰ τοὺς ἐν Ἰνδοῖς μύρμηκας ὑποπτέρους οὓς καὶ χρυσὸν ὀρύττειν φασὶ καὶ τὸ μέγεθος εἶναι ὡς ἀλώπεκες, καὶ πτερὰ ἔχειν. οὐ κατὰ τοὺς ἐν Ἰνδοῖς ἡ ἱστορία τούτους ἐπαινεῖ κατὰ μέγεθος καὶ ὅτι χρυσὸν ὀρύσσουσι καὶ ὅτι κατ᾽ ἀλώπεκα τὸ μέγεθος τυγχάνουσιν, ὡς Ἡρόδοτος ἐν τῇ τρίτῃ φησίν. οὐ κατὰ τούτους οὖν, φησὶν, ἀξιῶ κἀγὼ ἡ δὲ κάλλιστον τῆς ἡμετέρας χώρας σεμνύνειν ἤτοι τὸν ἄνθρωπον, ἀλλὰ κρειττόνως

δηλονότι. τούτους φησὶν, ὅτι χρυσὸν ὀρύσσουσι καὶ ὅτι κατ᾽ ἀλώπεκα τὸ μέγεθος τυγχάνουσιν· οὐ κατὰ τούτου ἀξιῶ κἀγὼ, φησὶ, τὸ κάλλιστον τῆς ἡμετέρας χώρας σεμνύνειν, τὸν ἄνθρωπον, ἀλλὰ κρεῖττον, ὡς δῆλον.

102,9 τῆς φύσεως τῆς ἀνθρωπείας.

102,10 τῶν τεμενῶν ναῶν τῶν θεῶν. κρατίστους ἐπειδὴ γὰρ ἡ Ἀττικὴ καὶ κρείττων τῶν ἄλλων ἐστὶν, εἰκὸς ἦν καὶ τοὺς ἐξ αὐτῆς φύντας τοιούτους εἶναι.

102,11 ἅτε καθά. οἰκείας αὐτῇ τῆς φορᾶς οὔσης, οὐκ ἐπεισάκτου τὰ γὰρ φυσικῶς ἔν τινι τόπῳ γιγνόμενα κρείττον᾽ ἐστὶ τῶν παρ᾽ ἄλλοις ἐπεισάκτων γιγνομένων.

102,12 οὐ γὰρ πλάνην καταλύσαντες εἰς τοὺς Ἡρακλείδας αἰνίττεται τοὺς προγόνους τῶν Λακεδαιμονίων. πλανώμενοι γὰρ μόλις εὗρον ὁδὸν πῶς εἰσέλθωσιν εἰς Πελοπόννησον. ἢ δι᾽ ἄλλους τινὰς τοῦτο λέγει. καὶ γὰρ καὶ Θουκυδίδης ἐν τοῖς τῆς συγγραφῆς προοιμίοις ἄλλους ὑπ᾽ ἄλλων ἀναστάτους τὸ πολλὰς γίγνεσθαι. σκότος δὲ λέγει τὴν ἄγνοιαν τοῦ πῶς δεῖ οἰκῆσαι. ὥσπερ οἱ Ἡρακλεῖδαι, οἱ τῶν Λακεδαιμονίων πρόγονοι· πλανώμενοι γὰρ μόλις εὗρον ὁδὸν εἰσελθεῖν εἰς Πελοπόννησον. καταλύσαντες οἰκήσαντες.

102,13 οὐδὲ δυοῖν δυστυχίαιν τὸ ἐκβληθῆναι λέγει καὶ ἐκβαλεῖν. καὶ Θουκυδίδης «Βιαζόμενοι ὑπό τινων ἀεὶ πλειόνων.» βιασάμενοι τὴν ἐπωνυμίαν ἐκαλοῦντο γὰρ ἐκ τῶν τόπων εἰς οὓς μετῴκουν ἀποβάλλοντες τὸ πρῶτον ὄνομα. ὥσπερ ἀπὸ τῶν Ἀθηναίων ἄποικοι οὐκ ἔτι ἐλέγοντο Ἀθηναῖοι, ἀλλ᾽ οἱ μὲν Αἰδέσιοι, οἱ δὲ Χῖοι, οἱ δὲ Μιλήσιοι. μετεβάλλοντο γὰρ τῷ τόπῳ τὴν ἐπωνυμίαν. ὥσπερ οἱ ἀπὸ τῶν Ἀθηναίων ἄποικοι οὐκ ἔτι ἐλέγοντο Ἀθηναῖοι, ἀλλ᾽ οἱ μὲν Χῖοι, οἱ δὲ Μιλήσιοι.

102,14 εἴξαντες ἤγουν βιάσαντες. εἴξαντες μὲν τοῖς τὸ «εἴξαντες μὲν τοῖς κρείττοσιν, ἐκβαλόντες δὲ τοὺς ἥττους» ἑρμηνεία ἐστὶ τοῦ «δυοῖν δυστυχίαιν.»

102,15 ἀλλ᾽ ὥσπερ τὸ ἐκ τῶν πηγῶν ὕδωρ ὡς ἐπὶ γαστρὸς εἶπε κόλπων, τουτέστιν ἄνευ σπέρματος. σιωπᾷ δὲ τοῦ Ἡφαίστου τὸν μῦθον, ὅτι τῆς

Ἀθηνᾶς ἐρασθεὶς καὶ διώκων αὐτὴν ἀφῆκε τὸ σπέρμα ἐπὶ τῆς γῆς καὶ οὕτως ἀνεδόθη ὁ πρῶτος ἄνθρωπος. διὸ εὐφήμως ἐπήνεγκεν «αὐτὸς δὲ αὐτοῦ λαβὼν τὴν ἀρχήν.» γένος δὲ καλεῖ τὸν ἄνθρωπον. τὸ γένος οὕτω.

102,17 καθάπερ θέαν καταλαβόντες ἐν ταῖς Ἀθηναίων ἑορταῖς ὅστις προὔλαβεν ἕτερον ἐκάθητο ἐν τῷ θεάτρῳ, ἀπὸ λίθων κατεσκευασμένῳ. λέγει οὖν θέαν τὸν τόπον ἀφ' οὗ καθήμενός τις ἐθεᾶτο τὰ γιγνόμενα. θέαν τὴν καθέδραν φησί. μισθοῦ γὰρ ἐκαθέζοντο παρὰ Ἀθηναίοις οἱ ξένοι, ὡς ἔγνωμεν ἐν τῷ περὶ στεφάνου, ἔνθα λέγει «Ἀλλ' ἐν τοῖν δυοῖν 'βιλοῖν ἐθεώρουν ἄν.» οὐ τῷ μᾶλλον ἀντὶ τοῦ οὐχ ὅτι αὐτόχθονές εἰσι, τοὺς ἄλλους ξένους νομίζουσιν, ἀλλ' ὅτι προὔλαβον καὶ κατέσχον τὴν χώραν ἄλλοθεν ἥκοντες. οὕτω δὲ, φησὶ, κρίνουσιν, οἱονεὶ ἀφορίζουσι· φθάσαντες γὰρ τοὺς ἄλλους ἐνοικῆσαι, τοὺς δευτέρους ἐλθόντας ξένους ἀφορίζουσι καὶ νομίζουσι.

102,18 τῶν χωρίων τόπων. ἀφορίζοντες χωρίζοντες ἀφ' ἑαυτῶν. φθῆναι φθάσαι.

103,1 μᾶλλον δὲ αὐτοὶ τοὺς δευτέρους ἔδειξε κρείττους τῶν πρώτων τὸ κατὰ κρίσιν γίνεσθαι πολίτας, οὓς καὶ δημοποιήτους καλεῖ, περὶ δὲ τούτων λέγει τῶν διὰ ψηφισμάτων γινομένων πολιτῶν, ἃ διαφέρουσι, δηλονότι ἐπὶ κακίᾳ, ἐπειδὴ οἱ μὲν ψηφισθέντες ἐγένοντο πολῖται, οἱ δὲ ψηφισάμενοι βίᾳ τὴν ἀλλοτρίαν κατέσχον καὶ αὐτῶν ἐποιήσαντο πατρίδα.

103,3 οὐ κριθέντες ἄξιοι τῆς πολιτείας ὥσπερ οὓς οὗτοι ποιοῦνται.

103,4 ὥσπερ ὅπλων ἀπορίᾳ τῷ φανέντι χρησάμενοι πολλάκις γὰρ ἐν ἀνάγκῃ ἀμυντηρίων ἀποροῦντες τῷ εὑρεθέντι χρώμεθα λίθῳ ἢ ξύλῳ. εὐγένειάν τε καὶ πολιτείαν ἐκ παραλλήλου τὸ αὐτὸ τίθεται. πολιτείαν δὲ λέγει τὸ πολίτας εἶναι.

103,5 αὐχῆσαι καυχηθῆναι. δυοῖν ὄντοιν ὀνομάτοιν ἤγουν ξένοι καὶ πολῖται. δυοῖν ὀνομάτοιν δύο ὀνομάτων, οἷον ξένοι, πολῖται, ἐπήλυδες καὶ αὐτόχθονες. κύριόν ἐστι τῇ χώρᾳ οἰκεῖον καὶ κατ' ἐπωνυμίαν.

103,6 εἰκότως καὶ τὸ ἑτέρου. οὔκουν ἐξούλης γε μόνοις—ἢ τῆς μητρός τινι ἐξούλης ἐστὶν ὄνομα δίκης. λέγεται δὲ κατὰ τῶν ἐκβαλλόντων τοὺς μὴ προσήκοντας ὁτῳοῦν πράγματι. ἐξούλειν γὰρ ἔλεγον Ἀττικοὶ τὸ ἐξωθεῖν καὶ ἐκβάλλειν βίᾳ. οὔκουν γε μόνοις ὑμῖν τοῖς Ἀθηναίοις αὐτόχθοσιν οὖσιν οὐδεὶς ἂν λάχῃ καὶ κληρώσηται ἐξούλης, ἤγουν ἐξελεύσεως τῆς γῆς, οὐ μᾶλλόν γε ἢ λάχοι τινὶ ἐξελάσεως τῆς μητρός. ἐξούλη ἐστὶν ὄνομα δίκης κατὰ τῶν ἐκβαλόντων τοὺς πολεμίους ἐπὶ νομῆς μόνης τοῦ δημοσίου, καὶ κατὰ τῶν μὴ ἀποδιδόντων τὰς καταδίκας. μητρὶ δὲ παραβάλλει τῶν Ἀθηναίων τὴν γῆν. τὸ δὲ «Οὐ μᾶλλόν γε ἢ τῆς μητρός τινι» ἀντὶ τοῦ ὥσπερ οὐδὲ δικάζεταί τις περὶ ἐξούλης μητρὸς πρός τινα, οἱονεὶ περὶ ἐξελάσεως. ἐξούλης δικάζεταί τις, ὅταν φάσκῃ κτῆμα κατέχεσθαι τὸ ἐπιβάλλον αὐτῷ· οὐδεὶς οὖν ἐν ὑμῖν μόνοις λάχοι δίκην ἐξούλης τῆς γῆς, οὐ μᾶλλον ἢ λάχοι τις ἄν τινι δίκην τῆς μητρὸς ἐξούλης. εἰ οἷόν τ’ ἐστὶν εἰπεῖν εἰ ὅλως προσήκει τοῦτο λέγειν περὶ ὑμῶν.

103,11 οἱ πλεῖστοι οἱ πλεῖστοι καὶ οὐ πάντες εἶπεν, ἐπειδὴ καὶ Ἀρκάδες αὐτόχθονες λέγονται. χρόνῳ τὴν ἀρχαίαν φύσιν διαφθείραντες ἤγουν τὸ πολὺν χρόνον οἰκεῖα ἀποβεβληκότες τὸ ξένον καλεῖσθαι.

103,12 ἐν συνοικίᾳ συνοικίαν καλοῦσι τὴν ἀπὸ πολλῶν ξένων οἰκουμένην γῆν, ὡς Αἰσχίνης συνοικίαν εἶπεν, ἔνθα πολλοὶ διελόμενοι μένουσιν. συνοικίαν καλοῦσι τὴν ἀπὸ πολλῶν ξένων οἰκουμένην· ὡς Αἰσχίνης συνοικίαν εἶπεν, ἔνθα πολλοὶ διελόμενοι μέλλουσι. φησὶ τοίνυν ὅτι ὥσπερ ἐν μεγάλῃ οἰκίᾳ, οὗ πολλοὶ μένουσιν, ἀπὸ τοῦ οἰκήματος τούτου εἰς ἕτερόν τις μετέρχεται. ἐκ περιόδων ἐκ περιστροφῆς τοῦ χρόνου.

103,13 οἱ τελευταῖοι τῶν ἄνω οἰκισάμενοι ἤγουν οἱ τοὺς πρόσθεν οἰκοῦντας ἐκβάλλοντες καὶ αὐτοὶ οἰκήσαντες ὕστερον. οἱ τελευταῖοι τῶν ἄλλων οἰκησάμενοι οἱ ἐκβαλόντες τὴν πρώτην οἰκοῦντας. τὸ δὲ παραιτησάμενος ἀντὶ τοῦ ἐξιλεωσάμενος· θεραπεύει γὰρ ὡς ἐπίφθονον. στρατόπεδον δὲ καλεῖ τὰς πόλεις ὡς ἐπὶ σκηνῶν. παραιτησάμενος ἀφείς.

103,14 μόνοις δὲ τοῖς ταύτης ἐγγόνοις τοῦτό φησιν, ὅτι σύμβολον Ἀθηναῖοι τῆς ἀρχαιογονίας. ἔσω δὲ τόπῳ. καίτοι αὐτῶν ἀποίκοις ἐκδίδοσιν, οὐ παρ’ ἄλλων λαβόντες. ἀκίνητον δὲ ἑστίαν ὡς πρὸς τὴν σκηνὴν εἶπε καὶ πρὸς

τοῦτο ἀπέδωκε τὴν λέξιν· ἔχει γὰρ καὶ τὸ ἴδιον, ἔχει καὶ τὸ βέβαιον τούτου τὸ ἀκίνητον. λέγει δὲ ὅτι τὸ πρυτανεῖον σύμβολόν ἐστι τῆς πόλεως· οὐδὲ γὰρ αἱ κῶμαι τοῦτο ἔχουσιν. ἀκίνητον οὖν αὐτὸ ἔχουσιν Ἀθῆναι, οὐ παρ᾽ ἄλλου λαβοῦσαι, τουτέστιν οὐ δεξάμεναι παρ᾽ ἄλλης πόλεως. πῦρ δὲ ἦν ἄσβεστον καὶ ἀδιαλείπτως καιόμενον ἐν Ἀθήναις ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς καθ᾽ ἱστορίαν τοιαύτην. γνόντες Ἀθηναῖοι τὸν Ἥφαιστον ἐρασθέντα τῆς Ἀθηνᾶς καὶ μὴ τυχόντα, εἶτα διὰ τοῦτο μετ᾽ ὀργῆς ἔχοντα πρὸς τὴν πόλιν, ἄσβεστον ὑφῆπτον τὸ πῦρ, τρόπον τινὰ νέμοντες αὐτὸ μετασχεῖν τῆς θεοῦ, καὶ ταύτῃ γε δὴ ἐξιλεούμενοι αὐτόν.

103,15 ἡ πόλις ἐστὶ κυρία οἰκεία καὶ κατὰ φύσιν προσήκουσα. κομιδῇ γε ἐν ὀλίγαις αὐτόχθονες γὰρ Ἀρκάδες. ἢ κομιδῇ γε τοῦτό φησιν, ἐπεὶ καὶ Ἀρκάδες αὐτόχθονες. φαμὲν οὖν ὅτι καὶ Ἀρκάδες τὸ μὲν αὐτόχθονες εἶναι συγχωρεῖ, πρώτους γε μὴν ἀνθρώπους ἀλλαχοῦ γενεῶν οὐ συγχωρεῖ.

103,16 ἑστίαν ἀκίνητον πρυτανείου δικαίως νέμει ἑστίαν ἀκίνητον ἅπαντες ἐνταῦθα τὸ πῦρ φασι, διά τινων ληρημάτων τοῦτο πιστούμενοι· οὓς αὐτὸς χαίρειν ἐάσας οὕτω λέγω· καὶ μόνη πόλεων νέμει καὶ παρέχει τοῖς πολίταις ἑστίαν καὶ οἴκησιν πρυτανείου καὶ κοινοῦ ἀκίνητον καὶ ἀμετάβλητον· τουτέστιν οἱ ταύτης πολῖται ἀρχαίαν καὶ διάφορον ἔχουσι πολιτείαν καὶ κυρίως καὶ κατὰ φύσιν πολιτεύονται, καὶ οὐχ ὥσπερ οἱ ἐν ταῖς ἄλλαις πόλεσιν. ἐκεῖνοι γὰρ νόθον ἔχουσι πολιτείαν διὰ τὸ μὴ αὐτόχθονες εἶναι. ἔγνωμεν ἐν τῇ ἱστορίᾳ ὡς τὴν ἀρχὴν οὐκ ἦν πῦρ ἐπὶ τῆς γῆς, εἰ μὴ ὁ Προμηθεὺς ὑποκλέψας τοὺς κρείττονας μετέδωκε τοῖς ἐπὶ γῆς ἐν τῷ νάρθηκι· οἱ νῦν Ἀθηναῖοι, ἅτε δὴ ὄντες αὐτόχθονες, παρέσχον πρῶτον τοῦ πυρός· διὸ καὶ λέγει ἀκίνητον, ὅτι παρ᾽ οὐδενὸς λαβόντες ἀλλ᾽ ἢ παρ᾽ αὐτῶν τῶν κρειττόνων εἶχον. ὁ δὲ νοῦς οὗτος· πάντες οἱ ἄλλοι ἄνθρωποι οἰκοῦσι τὴν πόλιν δίκην σκηνῆς, ἀπορίᾳ πατρίδος τῇ παρατυχούσῃ χρησάμενοι. τῶν δὲ ταύτης τῆς χώρας, ὅ ἐστι τῆς Ἀττικῆς, ἀποίκων ἡ πόλις ἐστὶ κυρίως πατρίς· κυρίως δὲ, ἐπειδὴ οὐκ ἄποικοι τινῶν, ἀλλ᾽ αὐτόχθονες Ἀθηναῖοι καὶ μόνη πόλις, φησὶν, Ἀττικὴ πλὴν Ἀρκαδίας τοῖς ἀποίκοις ἑαυτῆς ἑστίαν, ὅ ἐστι πῦρ ἀκίνητον, μένει, ἀλλὰ ἀπὸ τῶν θεῶν κομισαμένους ἐκ τοῦ πρυτανείου δικαίως νέμει. τὸ

δὲ πρυτανεῖον ἦν τόπος τῆς Ἀθηνᾶς. ἢ οὕτως· ὅτι ἐφύλαττε τὸ πῦρ, ἐξ οὗ καὶ ἄποικοι μετελάμβανον, τὸ πρυτανεῖον, διπλῆν ἔχει σημασίαν. ἢ γὰρ τὸ τοῦ πυρὸς ταμεῖον ἢ τὸ τῶν πυρῶν, ὅ ἐστι τοῦ σίτου, ταμεῖον. ἔχομεν ἀπὸ τῆς ἱστορίας, ὅτι οὐκ ἦν τὸ πῦρ ἀρχῆθεν ἀνθρώποις, ἀλλ' ὁ Προμηθεὺς ἔκλεψε παρὰ τῶν θεῶν καὶ τοῖς ἀνθρώποις κατήγαγεν ἐν νάρθηκι. οἱ Ἀθηναῖοι γοῦν ὡς αὐτόχθονες καὶ πρῶτοι φανέντες καὶ πρῶτον ἀπὸ τοῦ γίγαντος ἐδέξαντο τὸ πῦρ· ἔνθεν τι καὶ ἀκίνητον αὐτὸ ἔχειν λέγεται. τὸ δὲ πρυτανεῖον τόπον εἶναι λέγουσι τῆς Παλλάδος ἱερὸν, ἐν ᾧ ἐφυλάττετο τὸ πῦρ, ἐξ οὗ καὶ οἱ ἄποικοι Ἀθηναίων μετελάμβανον. διττὴν δὲ ἔχει τὴν σημασίαν· ἢ γὰρ τὸ τοῦ πυρὸς ταμιεῖον ἢ τῶν πυρῶν ἤτοι τοῦ σίτου λέγει. πολλῶν δὲ ἐπιρρεόντων πολλὰ λέγει τὴν ἀρχαιότητα τῆς χώρας παριστῶντος, τὸ εὔκρατον, τὸ εὐήλιον, τὸ τῶν λόγων εὔφορόν τε καὶ πάμφορον· ἐν αὐτῇ γὰρ μόνῃ καὶ πᾶσα παιδεία καὶ πασῶν πόλεων διαφέρουσι· μετὰ δὲ τὴν γένεσιν τοῦ ἀνθρώπου ἀκολούθως συνάπτει τὸν περὶ τροφῆς λόγον. ἔδει γὰρ γεννηθέντα τὸν ἄνθρωπον δεηθῆναι τροφῆς. δείκνυσιν οὖν ἑτέρου δεόμενόν ἐστι, καὶ ὁ ἄνθρωπος τῆς τροφῆς καὶ ἡ τροφὴ τοῦ ἀνθρώπου· διὸ καὶ ἐπάγει «πάντων αὐτὸ ἕκαστον ἐπειγόντων» ἀντὶ τοῦ ἕκαστον τῶν πάντων τοῦτο εἰπεῖν ἐπειγόντων, τουτέστιν ὅτι καὶ πρώτη ἄνθρωπον ἤνεγκεν Ἀττικὴ, καὶ πρώτη τροφὴν κατάλληλον ἐξευρεῖν τὸν σῖτόν φημι, αἱροῦμαι διὰ τῶν δευτέρων τῇ φύσει, τουτέστι τῆς τροφῆς. τὸ πρῶτον βεβαιοῦν, ὅ ἐστι τὸ γενέσθαι ἐν αὐτῇ πρῶτον ἄνθρωπον. εἰ γὰρ καὶ τροφὴν πρώτη ἐξεῦρε καὶ ἄνθρωπον ἤνεγκε πί εῖται τῶν ἀνθρώπων δὲ τὸν βίον, τὴν τροφήν. τὸ φύσει δεύτερον τὸν σῖτον. ἤγουν τὸν σῖτον. τὸ πρὸ αὐτοῦ βεβαιοῦν τὸν ἄνθρωπον. ἢ τὸ γενέσθαι πρῶτον ἐν τῇ Ἀττικῇ τὸν ἄνθρωπον τὸ καὶ ἐξ αὐτῆς γενέσθαι τὰς τροφάς.

104,1 ἑξῆς ἀποδοῦναι τοῦ κατὰ τὸν ἄνθρωπον λόγου. ἐκόσμει καθίστη.

104,2 ἃ μητρὸς ἦν ἔργα ποιοῦσα τὸ μὴ μόνον τῆς γενέσεως αἰτίας γενέσθαι, ἀλλὰ καὶ τροφὴν παρασχεῖν. οὐ περιεῖδεν, ὥσπερ ἀλλοτρίας τῆς τροφοῦ δεηθέντας ἐπειδήπερ ἐξ ἐκείνης ἦσαν, μητρὸς δὲ ἔργα, μὴ προσμένειν τὸν παῖδα ζητῆσαι τροφὴν, ἀλλὰ φυσικῶς αὐτοῦ προνοεῖσθαι, διὰ τοῦτο καὶ ἡ χώρα προσοικοῦσα τοὺς ἄνδρας οὐ τοῦτο μόνον ὁρμεῖν ἐνόμισεν, ἀλλὰ

καὶ τροφὴν παρέσχεν· εἰ δὲ οὐ τοῦτο ἐποίει, ἔμελλον δεηθήσεσθαι αὐτῷ, ὥσπερ δέονται ἀλλοτρίας τροφοῦ, εἰ μὴ μητέρα ἔχοντες παῖδα.

104,3 τὰ δεύτερα τὰ σπέρματα. καὶ γίνεται δὴ πανήγυρις ὡς ἀληθῶς ἱερὰ καὶ ὑπὲρ γῆς ἁπάσης τῆς οἰκουμένης ἐνταυθοῖ πανήγυριν καλεῖ τὸν ἀγῶνα, ἱερὸν δὲ, ἀντὶ τοῦ θεῖον. ἐπειδὴ θεοὶ ἦσαν οἱ περὶ τῶν δωρεῶν τῆς πόλεως ἀμιλλώμενοι. ἀντὶ τοῦ ἀγὼν ἦν θεῖος, ἀλλ᾽ οὐ ... καλῶς δὲ εἶπεν ὑπὲρ πάσης οἰκουμένης· παρὰ γὰρ Ἀθηναίων οἱ ἄλλοι τὰς δωρεὰς ἐδέξαντο, καὶ μάλιστα τοῦ σίτου. ἢ καὶ τὴν τῶν θεῶν ἐκκλησίαν πανήγυριν καλεῖ. πανήγυρις συναγωγὴ θεῶν.

104,4 ὑπὲρ γῆς ἁπάσης τῆς οἰκουμένης διὰ γὰρ Ἀθηναίων οἱ ἄλλοι ἐδέξαντο ἅπαντα. παρὰ γὰρ Ἀθηναίων οἱ ἄλλοι ἅπαντα ἐδέξαντο, καὶ μάλιστα τὸν σῖτον. ἐν θεωρίᾳ ἀγῶνι. ἐν ἀγῶνι.

104,5 ἔρρωτο ἰσχυρὰ ἦν. θεοὶ δὲ συμφέροντες παρεῖχον ἀντὶ τοῦ ὁμονοοῦντες διὰ τὸν Δία. Ἀθηνᾶ γάρ τοι ἐλαίαν ἔδωκε, συκῆν δὲ καὶ ἄμπελον Διόνυσος, Ζεὺς κριὸν, Ἑρμῆς αἶγα, καρποὺς Δήμητρα, καὶ ἄλλος ἄλλο τι. οἱ μὲν φυτὰ Ἀθηνᾶ ἐλαίας, Διόνυσος ἀμπέλους. Ἀθηνᾶ ἐλαίαν, Διόνυσος ἄμπελον.

104,6 οἱ δὲ σπέρματα ἡ Δημήτηρ. Δημήτηρ τὸν σῖτον. οἱ δὲ βοσκήματα ὁ Πάν. Ἑρμῆς τὸ πρόβατον. ὧν ἔμελλεν ἡ φορὰ τὸ τοῦ ἀνθρώπου σῶμα κοσμήσειν οὐχ ἧττον ἢ τὸ οἰκεῖον τὰ γὰρ τῶν προβάτων ἔρια οὐχ ἧττον ταῦτα ἢ ἡμᾶς κοσμεῖ διὰ τῶν ἐσθήτων.

104,7 τοῖς μὲν τὴν ἐπέτειον καὶ πρώτην ἀεί τοῖς προβάτοις· κατ᾽ ἐνιαυτὸν γὰρ αὐξανόμενα κείρεται.

104,8 τοῖς δὲ τοῖς ἀνθρώποις. εἰς ὅσον ἐξικνοῖτο μέχρις ἂν οἷόν τε διαρκεῖν· καὶ γὰρ οὐκ ὀλίγα ἔτη φοροῦσι τὰς χλαίνας ἄνθρωποι. ἔφαινον ἐδείκνυον. τὰς μὲν πυρὶ συγκεραννύντες ὡς τὴν χαλκευτικὴν, καὶ τὰς ἄλλας, ἃς ἔδειξεν Ἥφαιστος. ὡς ἐχάλκευτο καὶ διὰ τοῦ Ἡφαίστου.

104,9 τὰς δὲ καὶ πυρὸς χωρὶς ἡ Ἀθηνᾶ σκυτοτομικὴν καὶ τεκτονικήν. καίτοι ταῦτα οὐ μόνον ἰστέον ὅτι τὸ ταῦτα καὶ τὸ φύντων καὶ τὸ φανέντων ταυτόν ἐστι· δέον γὰρ οὕτως εἰπεῖν· καίτοι ταῦτα οὐ μόνον τοῦ πλήθους

ἕνεκα αὐτῶν· ὁ δὲ φύντων καὶ φανέντων εἶπεν, ἐπειδὴ ἐν τῇ Ἀττικῇ πάντα ἔφυσαν καὶ ἐφάνησαν. τῶν ἐνταῦθα καὶ φύντων καὶ φανέντων καρπῶν, φυτῶν, τεχνῶν, ζώων καὶ τῶν ἄλλων.

104,10 ἔχει δίδωσι τῇ πόλει. ἀλλὰ καὶ τεκμήρια ... ερ οὐκ ἔστι δυνατὸν ποιῆσαί τινα δίκην κατὰ τοῦ ἐλαύνοντος αὐτὸν ἀπὸ τῆς ... οὕτως οὐδὲ οἱ Ἀθηναῖοι μέλλουσι ποιήσειν δίκην κατὰ τοῦ ἐξελαύνοντος αὐτοὺς τῆς ἰδίας πόλεως.

104,11 τοῦ πρώτου λόγου αὐτόχθονας εἶναι.

104,12 ταῦτα ὅ τε ἄνθρωπος καὶ τὰ ἄλλα πάντα. πλήθει τε ὑπερφέρειν κρείττω ἀριθμοῦ εἶναι. σημεῖα τῆς ἀληθείας ἀλλήλοις ἑξῆς εἶναι ἐπὶ χρήσει γὰρ τοῦ ἀνθρώπου ταῦτα γέγονε, καὶ εἰς τὸ χρῆσθαι τούτοις ὁ ἄνθρωπος γέγονεν, ὥστε ἑκάτερον δίκαιον ἦν δι' ἑκάτερον γενέσθαι· ὃ δὴ καὶ γέγονεν.

104,13 πρώτους τε γὰρ ἐπενόησεν εἰς ἐγκώμιον ἀνενεγκεῖν τὸ γινόμενον, πανταχόθεν αὔξων τὸν ἔπαινον. καὶ μὴν τοῦτό γε ἀμήχανον τὸ σχῆμα ἀντίστροφον. ὅπερ πιστοῦται τὴν ἀλήθειαν, ἐξ ἀμφοτέρων τῶν μερῶν συντρέχει.

104,14 τοῦτό γε τὸ τυχεῖν δεηθέντας. τυχεῖν ὧν ἐδέοντο.

104,15 πάλιν γὰρ εἰς ταυτὸν ἐπανέρχεται τὸ θεοφιλεῖς, ἐξ ὧν ἔτυχον, καὶ ἐξ ὧν ἔφυσαν πρῶτοι. πρῶτοι μὲν γὰρ φύντες ἐδεήθησαν· δεηθέντες δὲ ἔτυχον· ἔτυχον δὲ θεοφιλεῖς ὄντες· θεοφιλεῖς δ' ἦσαν, ἐπειδὴ πρῶτοι ἔφυσαν· ὥστε ἀπὸ τοῦ πρώτους αὐτοὺς φῦναι ἤρξατο ὁ λόγος, καὶ εἰς τοῦτο πάλιν ἀνέκαμψεν. καὶ μὴν τούς γε θεοὺς ἀμφοτέρων ὁ νοῦς τοιοῦτος· δυοῖν ἕνεκεν ἀναγκαῖον ἦν τοὺς θεοὺς ταῖς δωρεαῖς πληρῶσαι ταύτην· καὶ πρῶτον μὲν, ὅτι τοὺς ἐν αὐτῇ φύντας πρώτους ὄντας ἔδει καὶ δεηθῆναι· δεύτερον δὲ, ὅτι τοὺς πρώτους τεθέντας ἔδει καὶ τῆς προσηκούσης ἀξιοῦσθαι τιμῆς. ἐναρέτους δὲ αὐτοὺς καλεῖ τῷ πρώτους εἶναι· ἀνωτέρω γὰρ εἶπε πρώτους τε γὰρ φύντας, καὶ ἑξῆς.

104,17 τοῦτο δὲ τῆς τιμῆς προσυπακουστέον τὸ ἕνεκεν. τὸ δὲ σχῆμα ἀριθμητέον. λαβόντες δὲ οὕτω τὴν μετάδοσιν αἰνίττεται τοῦ σίτου καὶ τῶν ἄλλων·

ὡσανεὶ ἔλεγεν· οὕτως οἶδεν εὐεργεσία πρὸς κρείττονας ἄγειν τὴν μίμησιν.

105,2 αὐτὸ δὴ τοῦτο γῇ κρύψαντες παροιμία ἐπὶ τῶν φθονούντων καὶ μὴ μεταδόντων τοῖς ἄλλοις τῶν παρὰ σφίσιν αὐτοῖς ἀγαθῶν τὸ γῇ κρύψας ἔχει. ἐξαρκεῖν ἀρκετὸν εἶναι. ἀλλὰ τοσοῦτον ἀπέσχον τοῦ φοβηθῆναι ἀντιπῖπτον λύει, ὥς τινος ἀντιλέγοντος· εἶτα οὐκ ἐφοβοῦντο μὴ γένοιντο αὐτοὶ ἴσοι ἐν τούτῳ· φησὶν οὖν ὅτι τὸ μεταδοῦναι τῶν ἄλλων ἑαυτοὺς καλλίους ἀπέδειξεν. οἱ μὲν γὰρ μὴ κατ᾽ ἀρετὴν διαφέροντες φοβοῦνταί τινας εὖ ποιεῖν, ἵνα μή πως ἐκεῖνοι παραπλήσιοι τούτοις φανῶσιν, οἱ δὲ ταῖς ἀρεταῖς ἐνειλημμένοι τοσοῦτον εὖ ποιοῦσι τοὺς ἄλλους, ὅσον εἰκὸς τῶν ἐξ ἴσου μετεχόντων αὐτοῖς τῶν ἀγαθῶν προέχοντας δείκνυσθαι κατ᾽ ἀρετήν· τότε γὰρ τὸ διάφορον φαίνεται, ὅτε τῶν αὐτῶν εὐποροῦσιν ἑκάτεροι.

105,4 δοκεῖ δέ μοι καὶ Ἡρακλῆς καλῶς τὸ δοκεῖ· ὅτι θεὸν εἶπεν ἀνθρώπους μιμησάμενον μετὰ τῶν θεῶν αὐτῶν καταστήσασθαι, δι᾽ ἣν γέγονεν ἀθάνατος, λέγει δὲ τὴν διάνοιαν αἰνιττόμενος ὥσπερ καὶ τὴν πόλιν οὖσαν καὶ ἐσομένην ἀθάνατον. σημεῖον δέ φησι τοῦ μιμήσασθαι Ἡρακλέα τὴν πόλιν. διὰ δὲ τοῦ οὐ μόνον τῶν ἐκείνους πρὸς τοὺς ἄλλους τοῦτο βούλεται παριστᾶν, ὅτι οὐδεμίαν φιλίαν ἔσχον πρὸς ἄλλους τινὰς ὁ Ἡρακλῆς καὶ ὁ Θησεὺς, οἵαν πρὸς ἑαυτοὺς, οὐδὲ ἄλλοι πρὸς ἄλλους μεγάλην καὶ τοιαύτην ἐκτήσαντο φιλίαν, — αἰνίττεται δὲ εἰς Πάτροκλον, καὶ Ἀχιλλέα, καὶ Ἁρμόδιον, καὶ Ἀριστογείτονα — οἵαν ἔσχεν Ἡρακλῆς καὶ Θησεύς. τὸ δὲ ἑξῆς οὕτως· σημεῖον τοῦ τὸν Ἡρακλέα τὴν πόλιν ἐζηλωκέναι ἡ πρὸς Θησέα φιλία, ἥτις οὐ μόνον τὰς πρὸς ἄλλους ἐκείνοις γενομένας φιλίας παμπληθεῖς ὑπερέσχεν, ἀλλὰ καὶ τοῖς ἄλλοις πρὸς ἄλλους. κατὰ κοινοῦ δὲ τὸ παμπληθεῖς ἔσχεν.

105,6 ὑπὲρ ἁπάντων ἀνθρώπων μόνος γὰρ εὐεργέτης τοῦ τῶν ἀνθρώπων γέγονε γένους. καθήρας τὸν κόσμον ἁπάντων, ὡς εἰπεῖν, τῶν δυσκόλων· διὸ καὶ ἴσα θεοῖς ἐτίμησαν ἄνθρωποι· θεοῦ γὰρ ἔργον τουτί. καὶ τὸ σημεῖον ἐναργές τοῦ ποιήσασθαι ταύτην παράδειγμα.

105,7 οὐ μόνον τῶν ἐκείνοις—παμπληθὲς ὑπερέχουσα ὑπερέχουσα γενομένων ἐν φιλίᾳ.

105,8 ἀνθ᾽ ὧν αὖ καὶ πρώτη πόλεων—ταῖς τῶν θεῶν τιμαῖς πρῶτοι γὰρ Ἀθηναῖοι, Ἡρακλέους θανόντος, ναὸν ἱδρύσαντο, καὶ πρῶτον τοῦτον ξένων ἐμύησαν τὰ Ἐλευσίνια. πρῶτοι γὰρ οἱ Ἀθηναῖοι Ἡρακλέους ἔδος ἵδρυσαν καὶ τὰ Ἐλευσίνια μυηθῆναι ἐποίησαν.

105,9 ἐκεῖνον τὸν Ἡρακλῆν. τοὺς παῖδας αὐτοῦ. τοὺς παῖδας διετήρησε μόνη ἵνα μὴ ὑπ᾽ Εὐρυσθέως ἀπόλωνται. ἀντὶ τοῦ ὑπεδέξατο· καὶ ἐπειδὴ μνησθεὶς Ἡρακλέους καὶ τῶν ἀπογόνων ἐκείνου ἔμελλε λέγειν, ὅπως αὐτοὺς εἰς Πελοπόννησον Ἀθηναῖοι κατήγαγον. ἰδιάζον δέ ἐστι κεφάλαιον τὸ περὶ τῆς καθόδου τῶν Ἡρακλειδῶν καὶ βούλεται αὐτὸ ὕστερον εἰπεῖν, διὰ τοῦτο νῦν αὐτὸ παρέλιπεν.

105,10 ὁ λόγος γὰρ ὥσπερ ῥεῦμα φέρων ὑπήνεγκε βίᾳ μετ᾽ ὀλίγον γὰρ ταῦτα ἄξιον, καὶ οὐ νῦν εἰρῆσθαι.

105,11 πέμπουσι δὴ θείᾳ πομπῇ γῆν ἡ Δημήτηρ παρέδωκε τοῖς Ἀθηναίοις τὸν σῖτον οὕτω· Πλούτωνος ἁρπάσαντος ἐκ Σικελίας τὴν θυγατέρα Δήμητρος καὶ Διὸς, τὴν Περσεφόνην, τὴν καὶ Κόρην, Δημήτηρ πανταχοῦ περιῄει ζητοῦσα αὐτήν· ἐλθοῦσα δὲ εἰς Ἀττικὴν καὶ παρὰ Κελεοῦ καὶ Τριπτολέμου τὸν ᾐρκότα μαθοῦσα, μισθὸν αὐτοῖς ἀποδίδωσι τὸν σῖτον, πρῶτον ἀθέσμως συγγενομένῃ Κελεῷ, τῷ Τριπτολέμου πατρί. δέδωκε δὲ καὶ ἅρμα δρακόντων ὑπόπτερον, ᾧ ἐποχούμενος Τριπτόλεμος ἐκασταχόσε τῆς γῆς τὸν σῖτον ἔσπειρε. καλῶς δὲ καθάπερ θεωρικοῦ εἶπεν, ἐπεὶ καὶ αὐτὸς πένησιν ἐδίδοτο πᾶσι, καὶ πλουσίοις καὶ πολίταις, καὶ ξένοις, καθάρας τὸν κόσμον πάντων, ὡς εἰπεῖν, τῶν δυσκόλων· διὸ καὶ ἴσα θεοῖς ἐτίμησαν ἄνθρωποι. θεοῦ γὰρ ἔργον τουτί. ἡ Δημήτηρ δέδωκε τὸν σῖτον τοῖς Ἀθηναίοις οὕτως. ὅτι ὁ Πλούτων ἥρπασεν ἀπὸ Σικελίας τὴν Κόρην, τὴν θυγατέρα τῆς Δήμητρος καὶ Διὸς, περιενόστησε Δημήτηρ ζητοῦσα αὐτήν. καὶ δὴ ἐν τῇ Ἀττικῇ ἦλθε, καὶ ὑπεδέξατο αὐτὴν ὁ Κελεὸς, καὶ μισθὸν τῆς ξενίας δίδωσιν αὐτῷ τὸν σῖτον. πομπὴν δὲ λέγει τὴν πέμψιν τὴν ἐπὶ διαδόσει τοῦ σίτου· καλῶς δὲ καθάπερ θεωρητικὸν εἶπεν, ἐπεὶ καὶ αὐτὸ πᾶσι πένησι διεδίδοτο καὶ πλουσίοις, καὶ πολίταις καὶ ξένοις.

τρόφιμον δὲ τὸν Τριπτόλεμόν φησι, ὃς υἱὸς ἦν Κελεοῦ ὑπὸ Δήμητρος τραφεὶς, ὡς ἐνταῦθα εἶπεν. δύο οὖν ἡ λέξις σημαίνει, καὶ τὸν θρέψαντα καὶ τὸν τραφέντα· θρέψαντα τὸν δεσπότην, ὡς παρὰ Μενάνδρῳ· τραφέντα δὲ, ὡς ἐνταῦθα τὸν Τριπτόλεμον. θείᾳ πομπῇ θεοῦ γὰρ ἔργον ὡς ἀληθῶς τοῦτο ἦν.

105,12 ἐπιστήσαντες τῇ πομπῇ. τῶν Δήμητρος, ὡς λέγεται, τροφίμων ἕνα Κελεὸς γὰρ καὶ Τριπτόλεμος πρῶτοι παρ' αὐτοῖς ἐτράφησαν. ἰστέον ὡς οὐχ ἁπλῶς ὁ δεσπότης τρόφιμος λέγεται, ἀλλὰ τρόφιμον τὸν τοῦ δεσπότου υἱόν φασιν οἱ προήκοντες ἡλικίᾳ τούτου δοῦλοι, οἱ, ὡς ἂν εἴποι τις, παιδοκόμοι· τοῦτο γὰρ αὐχοῦντες οἱ γεραίτεροι τῶν δούλων τοὺς τῶν δεσποτῶν παῖδας καλοῦσιν, οὓς ἔνιοι καὶ δεσποσύνους φασὶ, τοὺς ὡς ἂν νῦν ἡ χυδεία λέξις αὐθεντοπώλους καλέσῃ. καὶ τὸ ἅρμα πτερωτὸν εἶναι φήμη· κατέσχεν τὸ μυθικὸν ἡρμήνευσε τὸ τάχος ἅρματι πτερωτῷ παραβαλών. λέγεται γὰρ ὅτι Δημήτηρ τῷ υἱῷ τοῦ Κελεοῦ, τῷ Τριπτολέμῳ, παρέσχεν ἅρμα ἐξ ὄφεων πτερωτῶν, ἵνα ἐπὶ τούτου ὀχούμενος διδῷ τοῖς ἄλλοις ἀνθρώποις τὸν σῖτον, καὶ ταχέως πληρώσαι τοῦ σίτου τὴν γῆν. καὶ ὅμως Ἀριστείδης οὕτως ἔδοξεν, εἶναι πτερωτὸν τὸ ἅρμα, ὅτι ταχέως ἄνω τε καὶ κάτω κατήρχετο. Φιλόχορος δὲ ἱστορεῖ ὅτι ἡ ναῦς, ἔνθα ἦν ὁ Τριπτόλεμος, διὰ τοῦτο ἐνομίσθη ὑπόπτερος, ἐπειδὴ ἐξ οὐρίας ἐφέρετο. δρομαῖοι δὲ ἀναλύοντες τὸν μῦθον φασὶ τούτου. ἅρμα γὰρ δρακόντων φασὶν, ὅτι τῷ πλοίῳ ὄνομα ἅρμα. πτερωτὸν δὲ εἶναι τῶν δρακόντων τὸ ἅρμα, διὰ τὰ ἅρμενα, ἐπεὶ καὶ Ἡσίοδός φησι πτερὰ νεὼς τὰ ἅρμενα.

105,13 πρόσαντες δυσχερές. πρόσαντες οὐδ' ἄβατον ἦν αὐτῷ οὐ μόνον ἡ ἄρνησις ἐν ἀρχῇ τιθεμένη ἰσχὺν ἔχει κἀν τοῖς ἔπειτα, ἀλλὰ καὶ ὕστερον τιθεμένη ἰσχὺν ἔχει ἐν τῇ ἀρχῇ, ὥσπερ ἐνταῦθα. οὐ γὰρ εἶπε καὶ οὐ πρόσαντες, οὐδ' ἄβατον ἦν αὐτῷ. φησὶ δὲ καὶ Πίνδαρος «Ἄδικον οὔθ' ὑπέροπλον ἅβαν δρέπων.» οὐδ' ἄβατον τι.

105,14 διὰ ψιλοῦ τοῦ ἀέρος ἀντὶ τοῦ διὰ γυμνοῦ, οὗ οὐκ ὄρος ἐκώλυεν, οὐ ποταμός. ψιλὸς γὰρ καὶ ὁ ἀὴρ εἴρηται, ὡς μηδὲν τούτων ἔχων.

105,15 καὶ καταδεῖξαι τὰς Χάριτας ταχείας εἶναι τὴν φύσιν οὐ μόνον γυμνὰς τὰς Χάριτας χράφουσιν, ὅτι δεῖ τὴν χάριν ἐπίδηλον εἶναι, ἀλλὰ καὶ πτερωτάς· δεῖ γὰρ ταχέως αὐτὰς γίνεσθαι, ἵνα μὴ τοῦ χρόνου τὸ μῆκος τὴν ἐντεῦθεν τέρψιν ἀμβλύνῃ. οἱ γραφεῖς τὰς Χάριτας γυμνὰς γράφουσιν, αἰνιττόμενοι ὅτι δεῖ τὴν χάριν ἄδολον εἶναι· τὸ γὰρ γυμνὸν καὶ φανερὸν ἄδολον. ὁ δὲ ῥήτωρ ἔφη· ὃ διὰ τὸ τοὺς Ἀθηναίους τοῖς ἄλλοις τὰς εὐεργεσίας θᾶττον ἐπιφέρειν, ταχείας ἀπέδειξαν ἔργῳ τὰς χάριτας. εὖ γὰρ ποιοῦντες ἔφθανον τὴν ἐπιθυμίαν τῶν εὖ παθεῖν δεομένων καλῶς εἶπε δεομένων, καὶ οὐ δεησομένων. ἐπειδὴ γὰρ ὁ σῖτος οἰκεία τροφὴ τοῖς ἀνθρώποις, τρόπον τινὰ αὐτοῦ ἐδέοντο, εἰ καὶ μὴ ᾔδεσαν. ἔφθανον δὲ τὴν ἐπιθυμίαν λέγει, ἐπειδὴ, εἰ ἔγνωσαν, παρ' Ἀθηναίοις εἶναι τὸν σῖτον, ἐπεθύμησαν ἂν αὐτοῦ μετασχεῖν· πρὶν οὖν τοῦτο γενέσθαι, Ἀθηναῖοι μετέδωκαν.

105,17 αἱ παρὰ τῶν Ἑλλήνων ἀπαρχαὶ ἀπαρχὰς οἱ Ἕλληνες εἰς τὴν Ἀττικὴν ἔπεμπον στάχυας ἀπὸ τῶν Ἑλληνικῶν· καὶ τοῦτο σημεῖον καὶ δεῖγμα τοῦ λόγου αὐτοῦ ποιεῖται, καὶ τὰς τοῦ θεοῦ μαντείας τούτου ἀντὶ τοῦ ἀπόδειξιν λαμβάνει.

105,18 ἐπὶ τῶν προτέρων χρόνων ὅτε τὰ τῶν Ἑλλήνων ἤνθει· ἐπὶ γὰρ τοῦ Ἀριστείδου ἀπέρρη. ἔτι δὲ αἱ τοῦ θεοῦ μαντεῖαι, δι' ὧν λοιμοῦ ἐνσκήψαντος τοῖς Ἕλλησιν, ἔχρησεν ὁ θεὸς μὴ πρότερον ἂν πεπαῦσθαι τὴν νόσον, εἰ μὴ σὺν τῇ μητροπόλει τῶν καρπῶν προηροσίας θύουσι τῇ Δήμητρι, δεικνὺς ἐντεῦθεν πρώτους Ἀθηναίους δεδέχθαι τὸν σῖτον. προηροσία γὰρ θυσία ἦν ἐπὶ τῇ πρώτῃ ἀρόσει τῆς γῆς γινομένη, ἣν Ἀθηναῖοι τότε ἔθυσαν, ὅτε παρὰ Δήμητρος τὸν σῖτον ἔλαβον. ἀγῶνας δὲ λέγει τὰ Ἐλευσίνια εἰς τὴν Δήμητραν τελούμενα, ἐν οἷς ὁ νικῶν ἀστάχυας ἐλάμβανεν· εἰς ἀμοιβὴν γὰρ τοῦ σίτου τὴν ἑορτὴν ἐποίησαν. λοιμοῦ ἐνσκήψαντος τοῖς Ἕλλησιν ἔχρησεν ὁ Ἀπόλλων μὴ πρότερον παύσασθαι τὴν νόσον, μηδὲ ἄλλοις, εἰ μὴ πρὸ πάντων θύσωσιν Ἀθηναῖοι προηροσίαν. καὶ δὴ ποιήσαντες Ἀθηναῖοι τὴν καλουμένην προηροσίαν ἔθυσαν, καὶ ὁ λιμὸς ἐπαύσατο. τοῦ θεοῦ τοῦ Ἀπόλλωνος.

105,19 πρώτην ἔχειν αὐτούς.

105,20 τίθησι δὲ καὶ ἀγῶνας πρώτη καὶ τοῦτο εἰς ἀπόδειξιν ἔλαβε τοῦ λόγου· ἀγὼν γὰρ ἐτελεῖτο Ἐλευσινίοις, ἐν ᾧ ὁ νικῶν ἀστάχυας ἀπεφέρετο ἆθλον. ἔδειξε δὲ διὰ τῶν λέξεων ὅτι πρὸς ἀπόδειξιν ἔλαβε τὸν ἀγῶνα· τὸ γὰρ πιστουμένη ἀντὶ τοῦ ἀποδεικνῦσα ἔθηκε. οὕτω δ' ἐπὶ καὶ τοὺς θεοὺς ἐτίμησαν ἀγάλμασι καὶ θυσίαις, καὶ τοῖς ἄλλοις ἀνθρώποις πρᾴως προσηνέχθησαν, καὶ ὡς θεὸς αὐτοῖς, καὶ αὐτοὶ τοῖς ἄλλοις ἀνθρώποις ἐγένοντο. τίθησι περὶ Δήμητρα. ἀγῶνας τὰ Ἐλευσίνια. ἐκ τῶν εὐεργεσιῶν ἃς εὐεργέτηται παρὰ Δήμητρος· λέγω τὸν σῖτον.

105,21 πιστουμένη βεβαιοῦσα.

106,1 πρόγονοι δὲ τοῦ κοινοῦ βίου πᾶσιν ἀνθρώποις ἦγουν τῆς κοινῆς τῶν ἀνθρώπων οὐσίας· ἐπειδὴ, ὡς ἔφη πρῶτον, ἐνταῦθα ἄνθρωπος γέγονε· καὶ τῆς τροφῆς· ἐπειδὴ ὁ σῖτος τοῖς ἄλλοις ἐντεῦθεν δέδοται.

106,2 ἄλλα καλλίω τὰς περὶ τοὺς θεοὺς πανηγύρεις.

106,4 καὶ τοῦτο μὲν ἐνταυθοῖ λῆξαν τελέως ἡμῖν διήνυσται τὴν μὲν οὖν περὶ τοῦ σίτου ὄνησιν, ὅπως τε αὐτοὶ τοῦτον ἔλαβον καὶ τοῖς ἄλλοις ἔδοσαν, ἀξίως καὶ ἀνενδεῶς εἰρήκαμεν, τὰ δὲ μετὰ ταῦτα ἔχει τινὰ δυσκολίαν καὶ ἀπορίαν πότερα δεῖ πρότερα διηγεῖσθαι, πότερα τὰ περὶ τῶν θεῶν· καὶ γὰρ ταῦτα συνάπτειν εἰκὸς τοῖς προειρημένοις· καὶ γὰρ τὸ τοῦ σίτου θεῶν ἔργον ἦν εἰς αὐτούς· ἢ τὴν τῶν Ἀθηναίων φιλανθρωπίαν· καὶ γὰρ ἀκόλουθον ἦν περὶ ταύτης εἰπεῖν διηγουμένους ἄρτι τὴν τοῦ σίτου σφῶν αὐτῶν εἰς ἅπαντας διάδοσιν. οὕτω δὲ τούτων ἐχόντων, καὶ προσήκοντος ἑκάστου ἐφεξῆς θεῖναι, ἔτι ἄπειρόν ἐστι τὸ μετὰ τὸ εἰπεῖν θάτερον προσῆκε θατέρου μνησθῆναι· οἷον εἰ μετὰ τὰ θεῖα τῆς φιλανθρωπίας αὐτῶν, ἢ μετὰ τὴν φιλανθρωπίαν τῶν θείων. τὸν τοῦ γένους τόπον ἐνταῦθα ἀναπαύσας, ὃν διὰ τῆς θέσεως τοῦ τόπου διηνύσατο, ἐντεῦθεν ἐπὶ τὸν τῆς ἀνατροφῆς πρόεισι· πλὴν ἔοικε καὶ τοῦτο τὸ γένος εἶναι κοινὸν τὸ ἐπιφερόμενον καὶ τῆς ἀνατροφῆς. πλείω δὲ τμήματα λέγει, ἐπειδὴ αὐτὰ ἐπιμερίζεται τὰ τῆς ἀνατροφῆς. εἰσὶ δὲ αἱ πράξεις ἀκολούθως, ὃ διὰ τοῦ ἐφεξῆς ἐσήμανε· μετὰ γὰρ τὸ γένος ἡ ἀνατροφὴ, ἤτοι αἱ πράξεις.

106,5 διττὰ φέρει καὶ πλείω τμήματα τὸ τμήματα καὶ πρὸς τὸ διττὰ καὶ πρὸς τὸ πλείω λάμβανε· λέγει δὲ διττὰ τὰ θεῖα καὶ τὴν ἄλλην τῶν Ἀθηναίων φιλανθρωπίαν· πλείω δὲ αὐτά τε ταῦτα, καὶ ἃ μόνοι καὶ μετ᾽ ἄλλων εἰργάσαντο ἔργα. τοῖς μὲν εἰρημένοις ἕκαστον ἐφεξῆς φέρει τὰ ἐντεῦθεν. φέρει. ἐν μέρει ἤγουν μερικῶς. ἐν μέρει δὲ εἰπεῖν, εἰ σώζοντα τοῦτο δὲ σαφῶς πέφρασται· ὁ δὲ νοῦς τοιοῦτος· ὅτι μετὰ τὰ ῥηθέντα πολλά ἐστιν ἀκόλουθα ἐκείνοις εἰς τὸ λεχθῆναι· οἷον ἀκόλουθόν ἐστιν εἰπεῖν μετὰ τὴν καρπῶν διάδοσιν τὴν ὑπὲρ τῶν κινδυνευόντων ἀντίληψιν. βουλόμενοι γὰρ Ἀθηναῖοι, εὐσεβεῖς ὄντες, τοὺς ἄλλους εὐεργετῆσαι τοὺς καρποὺς διέδοσαν. ἀλλὰ καὶ βουλόμενοι πάντας σώζεσθαι ὑπὲρ τῶν κινδυνευόντων ἐπολέμησαν. ὃ σημεῖον καὶ τοῦτο τῆς δυσσεβείας. ἀλλ᾽ οὐκ ἔστι μοι, φησὶ, καὶ τοῦτο δῆλον, εἰ ἁρμόττει καὶ τοῖς λόγοις ταύτην σῶσαι τὴν ἀκολουθίαν. καὶ γὰρ ἀνωτέρω Ἡρακλέους μνησθέντι, καὶ τῶν ἀπογόνων ἐκείνου ἥρμοττεν εἰπεῖν, καὶ ὅπως αὐτοὺς Ἀθηναῖοι κατήγαγον· ἀλλ᾽ ἐπειδὴ οὐχ ἥρμοττε τῷ λόγῳ, διὰ τοῦτο αὐτὸ παρέλιπεν· ὑποκατιὼν δὲ τῶν Ἡρακλειδῶν ἐμνήσθη. μνησθεὶς τοίνυν κἀνταῦθα πόλεως θέσεώς τε καὶ χώρας, ἔμελλε καὶ περὶ τῶν οἰκοδομημάτων διεξιέναι· ἀλλ᾽ ἐπειδὴ τοῖς ἐπιλόγοις ἥρμοττε τὸ κεφάλαιον, παρέλιπεν αὐτό. διὸ καὶ τἄλλα πάντα ἐάσας περὶ τῶν θείων διεξέρχεται. εἰ σώζοντα φέρει ταῦτα.

106,7 κράτιστον δ᾽ ἴσως περὶ τῶν θείων γῆς γὰρ πανταχοῦ θεοὺς προτιμᾶσθαι. οἷον ὅτι πολλὰ ἐποίησαν οἱ θεοὶ εἰς τὴν Ἀθηναίων πόλιν, ἢ τὰ παρὰ τῶν θεῶν λεγόμενα, ἢ τὰ παρ᾽ αὐτῶν δεδομένα τοῖς Ἀθηναίοις.

106,8 ἔτι δὲ ὧν καθ᾽ αὑτούς τε ἔτι δὲ ὧν μᾶλλον οἱ θεοὶ κατώρθωσαν. ἐν κοινωνίαις δὲ εἰργάσαντο εἶπεν, ἢ μετὰ θεῶν, ὡς ἐπὶ τῆς Ξέρξου ναυμαχίας, ἢ μετὰ ξυμμάχων· τῶν γὰρ πολέμων τοὺς μὲν κατ᾽ ἰδίαν, τοὺς δὲ μετ᾽ ἄλλων κοινῇ πεποιήκασι. καθ᾽ ἑκάστους δέ φησι τοὺς χρόνους, ἐπειδὴ οὐκ ἦσαν ἀεὶ οἱ αὐτοὶ Ἀθηναῖοι, ἀλλὰ διάφοροι κατὰ χρόνους· καὶ διὰ τοῦτο ἑκάστη τῶν πράξεων τηρεῖ τὸν ἔπαινον. καθ᾽ αὑτούς τε μόνους. ἐν κοινωνίαις συμμαχίαις. ἦγουν μεθ᾽ ἑτέρων. οἱ καθ᾽ ἑκάστους ἀεὶ τοὺς χρόνους ὄντες.

106,10 ὃ καὶ μόνον εἰπεῖν ἴσως ἐξήρκει δεῖξαι τὴν παρ᾽ αὐτῶν εἰς αὐτοὺς εὔνοιαν.

106,11 περὶ γὰρ μόνης ταύτης τῶν ὑφ᾽ ἡλίῳ πόλεων ἤρισαν οἱ δύο θεοὶ οὗτοι, Ἀθηνᾶ καὶ Ποσειδῶν περὶ Ἀθηνῶν ἡμιλλήσαντο, εἰπόντες ὡς, ὅστις πρότερον ἐν αὐτῇ δείξειέ τι, ταύτης κύριος ἔσται. ὡς ἐπὶ πολέμου εἶπε, τὸ περιμάχητον ταύτης παραστῆσαι βουλόμενος. καταλαμβάνουσι δὲ εἶπε· οἱ γὰρ θέλοντες τυραννεῖν, τὰς ἀκροπόλεις καταλαμβάνουσιν, ὡς βέβαιον φυλακτήριον. ἐπειδὴ δὲ τὸ ὄνομα τῆς τυραννίδος διαβέβληται, εἶπε τὸ ὥσπερ. καταλαμβάνουσι τὴν ἀκρόπολιν ὥσπερ ἐπὶ μοναρχίᾳ οἱ γὰρ τυραννῆσαι βουλόμενοι πόλεων καταλαμβάνουσι τὴν ἀκρόπολιν. οἱ γὰρ τυραννῆσαι βουλόμενοι πόλεως, πρώτην καταλαμβάνουσι τὴν ἀκρόπολιν, ὡς ἰσχυρότερον μέρος, ἵν᾽ ἀκαταγώνιστοι ὦσιν.

106,12 σχεδὸν, ὡς εἰπεῖν, οἱ πρῶτοι τῶν θεῶν καὶ ἐπαινεῖ διὰ τοῦ πρῶτοι τὴν Ἀττικὴν, καὶ ἀνεπαχθῆ Διὶ τὸν λόγον καὶ Ἥρᾳ ποιεῖ διὰ τῆς παρενθήκης τοῦ σχεδόν. οἱ πρῶτοι τῶν θεῶν Ποσειδῶν καὶ Ἀθηνᾶ.

106,13 τὴν δευτέραν δευτέραν λέγει τιμὴν τὸ αὐτοῖς Ἀθηναίοις ἐπέτρεψε τὴν κρίσιν. ἔλαβον δὲ κριτὰς τοὺς Κέκροπος παῖδας. ἐπιτρέψαντες δικασταῖς καὶ κριταῖς αὐτοῖς δέον δικάζειν καὶ κρίνειν εἰπεῖν, δικασταῖς καὶ κριταῖς εἶπε πρὸς τὸ αὐτοῖς.

106,14 νομίσαντες χάριεν καὶ κοῦφον ἐπ᾽ ἀμφότερα ἐν τοῖς παιδικοῖς κριθῆναι ἐπειδὴ ἐν ταῖς δίκαις ἄδηλόν ἐστι τὸ πέρας, καὶ τὸ μὲν αὐτοῦ λυπηρὸν, ἧττα, τὸ δὲ ἡδὶ, τὸ νικᾶν, πρὸς μὲν τὸ ἡδὺ τὸ νικᾶν, αὐτόθεν ἔχον τὸ ἡδὺ, τὸ χάριεν εἴρηκε, πρὸς δὲ τὴν ἧτταν, τὸ κοῦφον. ἔστι δὲ τὸ ἐπ᾽ ἀμφότερα ἓν μέρος λόγου, ὃ πρὸς τὸ χάριεν καὶ κοῦφον ἐπήγαγε. τὸ δὲ παιδικοῖς εἶπεν, ἐπειδήπερ, ὅταν οἱ ἐρώμενοι τὴν κρίσιν ποιῶνται περὶ τῶν ἐραστῶν ἥ τε νίκη πᾶσα χαρίεσσα γίνεται καὶ τὸ νικᾶσθαι φορητόν· καὶ γὰρ αἱ τῶν ἐρωμένων ὕβρεις καὶ πληγαὶ πολλάκις ἡδίους τῶν παρ᾽ ἄλλων ἐπαίνων κρίνονται. κοῦφον ἀντὶ τοῦ κουφιστικόν· ἔστι δὲ ἐκ παραλλήλου τὸ αὐτό· οἷον χάριεν καὶ κοῦφον. ἐχρήσατο δὲ καὶ Θουκυδίδης τῇ λέξει. ἐπ᾽ ἀμφότερα τὸ νικῆσαι καὶ ἡττηθῆναι. ἐν τοῖς παιδικοῖς ἐρωμένοις. ἐν τοῖς παιδικοῖς κριθῆναι παιδικὰ τὰ ἐρώμενα

λέγει· ἔστι δὲ ἐπὶ καλοῦ ἡ λέξις. κέχρηται δὲ Κρατῖνος καὶ ἐπὶ γυναικὸς ἐν Ὥραις. κριθῆναι δὲ, περὶ ὧν ὁ ἔρως αὐτοῖς ἐνέπεσεν· ἢ ὑπὸ τῶν ἐρωμένων κριθῆναι, ὡς Ἀπόλλων καὶ Βορρᾶς ἐπέτρεψε τῷ Ὑακίνθῳ τὴν κρίσιν.

106,15 τοῦ τε ῥοθίου ὁ ἐν ἀκροπόλει. ὃ ἐν ἀκροπόλει Ποσειδῶν ἐξέφηνε. οὐκ εἶπεν ὕδωρ ἁλμυρὸν, ἀλλὰ ῥόθιον, τιμῆσαι βουλόμενος. τοῦτο γὰρ ἔδειξεν ὁ Ποσειδῶν, θαλλὸν δὲ ἡ Ἀθηνᾶ. νικᾷ μὲν Ἀθηνᾶ πρώτη γὰρ Ἀθηνᾶ τὴν ἐλαίαν. πρώτη γὰρ ἔδειξε τὴν ἐλαίαν. ὅτι ἐλαίας κλάδου. ἄλλοι δέ φασιν ὅτι Ζεὺς ἀπέστρεψε τοὺς ἄνδρας καὶ τὰς γυναῖκας ἐν μέρει ψηφίσασθαι, εὑρέθησαν αἱ ψῆφοι ἴσαι. καὶ ἀκηκοὼς ὁ Ζεὺς εἶπεν ὅτι ὁ οἶκος τοῦ τότε βασιλέως οὔπω ἐψηφίσατο· καὶ ψηφισαμένου τὸν οἶκον αὐτοῦ, εὑρέθησαν θυγατέρες τρεῖς, καὶ αὐτὸς εἷς· καὶ πλειόνων οὐσῶν τῶν γυναικῶν, ἀπεδόθη τῇ Ἀθηνᾷ ἡ πόλις. καὶ καταδείκνυσι τὸν θαλλὸν νίκης εἶναι σύμβολον ἆθλον γὰρ νίκης ἐν Ὀλυμπίᾳ ὁ θαλλὸς ἦν.

106,16 οὐ μὴν κατέλυσε τὸν ἔρωτα ἀνέστησε γὰρ τῇ Ἀττικῇ τὴν θάλατταν. ἀντέστησε γὰρ τῇ Ἀττικῇ τὴν θάλατταν, καθάπερ οἱ τῶν ἐραστῶν μανικοὶ, ὁπότε τῶν παιδικῶν ἀποτυχόντες πόρρωθεν ἵστανται, καὶ ψυχαγωγοῦνται τῇ θέᾳ. καταλῦσαι δὲ ὡς ἡττημένῳ τὸν ἔρωτα· οὐδὲ μετὰ ταῦτα ἐπαύσατο τοῦ ἐρᾶν.

106,18 ἡ μὲν γὰρ σοφίᾳ νικᾶν ἔδωκε τῇ πόλει φρονήσεως γὰρ ἔφορος ἡ θέος. ὁ δὲ ταῖς ναυμαχίαις, οὐ μόνον τοὺς ἀνταγωνιστὰς νικᾶν, ἀλλὰ καὶ τοὺς τῶν αὐτῶν μετασχόντας ἀνταγωνιστάς φησι τοὺς τὴν ὁμοίαν ἐσχηκότας τέχνην. λέγει δ' ἀντὶ Αἰγινήτας· αὐτοὶ γὰρ μετ' αὐτοὺς ᾔδεσαν τὰ ναυτικά. ὁ γοῦν Ἡρόδοτος ἐν τοῖς Περσικοῖς καὶ τὰ πρωτεῖα αὐτοῖς δίδωσιν· οὗ χάριν Ἀριστείδης καθ' Ἡροδότου ἔγραψεν· ἄλλοι δὲ ἀνταγωνιστὰς τοὺς Λακεδαιμονίους φασί· πεζομάχοι γάρ· ἢ Κορινθίους καὶ Κερκυραίους, ἐπεὶ καὶ αὐτοὶ ἐμελέτησαν τὰ ναυτικά. εἶτα καθ' ὑπερβολὴν εἶπεν ὅτι ἀλλὰ καὶ εἴ τις ἐνίκησε ναυτικὰ, οὗτος ὑπ' Ἀθηναίων ἡττήθη. τοὺς τῶν αὐτῶν δὲ μετασχόντας φησὶν, οἱονεὶ τοὺς συνευρεθέντας τοῖς Ἀθηναίοις, καὶ ὠφελίμους τὸ ναυμαχεῖν παρ' αὐτῶν, καὶ τούτους ὑπεραίρειν ὁ Ποσειδῶν ἐχαρίσατο τῇ πόλει τῶν Ἀθηναίων.

τοὺς ἀνταγωνιστὰς τοὺς ἀντίπαλον ναυτικὸν ἔχοντας, εἴτε Ἕλληνές εἰσιν εἴτε βάρβαροι.

106,19 τοὺς τῶν αὐτῶν μετασχόντας τοὺς μετ᾽ αὐτῆς ναυμαχήσαντας ἄλλοις. κρείττων γὰρ αὐτῶν ἐφάνη τῇ μάχῃ.

106,20 ὁ μὲν περὶ τούτων ὁ τῶν ναυμαχιῶν. ἤγουν τῶν ναυμαχιῶν. αὐτίκα τὸ αὐτίκα λέγει, ἐπειδὴ προϊὼν ἐρεῖ ὅπως τε πρὸς τοὺς Πέρσας ἐναυμάχησαν, καὶ ὅπως πρὸς τοὺς ἄλλους Ἕλληνας. τὰς ψήφους τῆς νίκης.

107,1 τὴν ἐπωνυμίαν τῇ πόλει δίδωσιν τὸ καλεῖσθαι Ἀθήνας. καὶ κατεσκευάσατο ὡς κτῆμα ἑαυτῆς ὥσπερ πιστουμένη τῇ ἐπωνυμίᾳ τὸ κτῆμα. διαρκῆ δὲ ἀντὶ τοῦ διαρκοῦσαν, οὐ πρὸς πόλεμον μόνον, ἀλλὰ καὶ εἰρήνην.

107,2 λόγους τε ἅπερ εἰρήνης εἰσὶν ἔργα. νόμων τάξεις καθ᾽ ἓν γὰρ τῶν πραγμάτων ὁ νόμος.

107,3 πολιτείαν δυναστείας ἀπηλλαγμένην τοιαύτη γὰρ ἦ δημοκρατία. ἀφ᾽ ὧν τούτων πάντων. ἀπὸ τῶν λόγων· πρὸς τοῦτο γὰρ ἀποδέδωκε. βίων δὲ παραδείγματα, ἢ τρόπους πολιτείας καὶ ἤθη χρηστὰ, ἢ τέχνας καὶ ἐπιτηδεύματα· οἷον βίου παραδείγματα γραμματικοῦ, φιλοσόφου, ῥητορικοῦ, ἢ στρατιωτικοῦ καὶ γεωργικοῦ. μαθήματα πάντα σοφία, ποίησις, ῥητορικὴ τὰ ἄλλα. φιλοσοφία, ποίησις, ῥητορικὴ, αἱ ἄλλαι τέχναι.

107,4 βίων παραδείγματα εἰσῆλθεν οἱ μὲν γὰρ φιλοσοφεῖν εἵλοντο, οἱ δὲ ἐν δικαστηρίοις χρῆσθαι τῇ γλώττῃ, ὡς οἱ ῥήτορες, καὶ οἱ ἄλλοι ἄλλο τι. ἔστι δὲ ὅμοιον τοῦτο τῷ μαθήματα πάντα εὑρέθη. ὅπλων τε χρῆσιν διδάξασα πολεμικὴ γὰρ ἡ Ἀθηνᾶ.

107,5 πρώτους πρῶτοι γὰρ Ἀθηναῖοι ὁπλοφορεῖν εὗρον. ᾧ νῦν ἡμεῖς ἐκείνην σχήματι ἔνοπλον γὰρ ἔγραφον Ἀθηναῖοι τὴν Ἀθηνᾶν. σχήματι καλῶς τὸ σχήματι. οὐ γὰρ βούλεται τῇ ἱστορίᾳ μαχέσασθαι, ὅτι Βελλεροφόντης ἐφεῦρε τὸν μέλλοντα. πάρεδρον δὲ τῆς θεοῦ τὸν Ἐρεχθέα φησὶν, ἐπειδὴ ἐν τῇ ἀκροπόλει ὀπίσω τῆς θεοῦ ὁ Ἐρεχθεὺς γέγραπται ἅρμα ἐλαύνων·

πρῶτος γὰρ οὗτος ἅρμα τέλειον, ὅ ἐστι τέθριππον, ἔζευξε. σὺν τῇ θεῷ δὲ εἶπεν ὅτι αὐτῆς Ἀθηνᾶς τὴν κατασκευὴν ὑποβαλούσης αὐτῷ. ἵππων ἀμιλλητηρίων τῶν ἐν ἱπποδρομίοις.

107,6 ὁ τῆσδε τῆς θεοῦ πάρεδρος ὁ Ἐρεχθεύς. πάρεδρον τῆς θεοῦ φησὶ τὸν Ἐρεχθέα. ἐπειδὴ ἐν τῇ ἀκροπόλει, φησὶν, ὀπίσω αὐτῆς γέγραπται ἅρμα ἐλαύνων, ὡς πρώτης τοῦτο τῆς θεοῦ δεξάμενος, ἐπειδὴ τρόπον τινὰ υἱὸς αὐτῆς ἐδόκει. διώκων γὰρ αὐτὴν Ἥφαιστος ἀπεσπερμάτισεν. ἅρμα τέλειον τέτρωρον, τὸ ὀκτὼ ἵππους ἔχον.

107,7 τὴν τελείαν ἱππικὴν ἅρμα τέλειον, τέτρωρον, ἤγουν ὅ τι ὀκτὼ ἵππους ἔχει. ἐπὶ δὲ τούτοις χορεῖαι καὶ τελεταὶ χορείας καλεῖ τοὺς ὕμνους τῶν θεῶν. ὡς καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου, τελετὰς δὲ, τὰ μυστήρια· γνωστέον δὲ ὅτι οὐ μόνον εἰς ἀμοιβὴν τῶν θεῶν ταῦτά φησιν, ἀλλὰ καὶ ἀπόδειξιν ἔχει τῆς παρὰ τῶν θεῶν εὐεργεσίας. τελεταί μυστήρια.

107,8 πανηγύρεις τὰ Διονυσιακὰ, τὰ Παναθήναια, τὰ Ἐλευσίνια. πανηγύρεις λέγει τὰ Διονύσια, τὰ Παναθήναια, τὰ Ἐλευσίνια· ἄλλαι δὲ δι' ἄλλων, φησὶ, θεῶν. διαφόρους γὰρ βούλεται δεῖξαι τὰς δωρεὰς, καὶ ἐκ διαφόρων δεδομένας, καὶ ταῖς τιμαῖς τῶν θεῶν ἀκολουθεῖν τὰ δῶρα, ὅτι ὅσον, φησὶν, εὐσεβέστερον Ἀθηναῖοι διέκειντο, ἀγάλμασι τιμῶντες τὸ θεῖον, τοσούτου πλέον εὐεργετήθησαν παρ' αὐτῶν. αἰτία δὲ τοῦτο τοῦ πῶς ἐγένοντο αἱ πανηγύρεις. εἰς δύο δέ ἐστι νοούμενον τὸ ῥητόν· ἢ γὰρ, ὅτι τὰ δῶρα τῶν θεῶν ἠκολούθει τοῖς Ἀθηναίοις, ἐπειδὴ καὶ αὐτοὶ ὡς καλῶν ἄλλοις μετεδίδοσαν, ὥσπερ αὐτοῖς οἱ θεοὶ, ἃ καὶ λαμβάνοντες Ἀθηναῖοι παρὰ τῶν θεῶν καὶ αὐτοὶ ἠμείβοντο αὐτοῦ δι' αὐτῶν. ἐκ γὰρ τῶν εὐεργετημάτων καὶ τὴν ἀμοιβὴν ἐποιοῦντο. ἐτύγχανε γοῦν ἐν τοῖς Ἐλευσινίοις ἀγῶσιν ἄσταχυς τὸ ἆθλον. ἐπιβάλλοντα δὲ λέγει τὰ ὀφειλόμενα. ὡς καὶ τῶν θεῶν ὀφειλόντων δέχεσθαι παρ' αὐτῶν. ἐδίδαξαν δὲ, φησὶ, τοὺς Ἀθηναίους οἱ θεοὶ ἀρετὴν καὶ δικαιοσύνην τῷ παρ' αὐτοῖς δικάζειν. ἐγύμνωσε γὰρ νῦν τὸ θεώρημα, διὰ τοῦ εἰπεῖν ὅτι καὶ ὧν ἤρισαν, πρὸς ἀλλήλους τοὺς διδασκάλους ἔχειν Ἀθηναίους τοὺς θεούς· προσυπακουστέον δὲ τῷ ὧν ἤρισαν πρὸς ἀλλήλους τὸ πραγμάτων, ἵν' ᾖ ὧν ἤρισαν πρὸς ἀλλήλους πραγμάτων. τὸ δ' ἐπιστρέφοντες πάντας ἀνθρώπους πρὸς τὴν πόλιν ἀντὶ τοῦ ἀποβλέπειν ποιοῦντες καὶ ἐλπίζειν.

οὕτω γοῦν καὶ τὸν Ὀρέστην εἰσάγει παρ' Ἀργείοις ἀποτυχόντα τῶν δικαίων, καὶ πρὸς τὴν πόλιν ἐλθόντα καὶ ἀπολαύσαντα. ἄλλαι δι' ἄλλων θεῶν ἐπιδημίας Δημήτηρ γὰρ, ὡς ἔφημεν, ἐλθοῦσα τὸν σῖτον δέδωκε. διὸ καὶ Ἐλευσῖνι ἔστησαν αὐτῇ ἀγῶνα εἰς ἀμοιβὴν τῆς εὐεργεσίας· Διόνυσος δὲ, ἐκ Θηβῶν ὁρμηθεὶς, συγγέγονεν ἐν τῇ Ἀττικῇ Ἰκαρίῳ, καὶ αὐτῷ τὴν ἄμπελον δέδωκεν. ὅθεν καὶ τούτου πανήγυρις ἐν τῇ Ἀττικῇ ἐτελεῖτο. παρέσχε δὲ καὶ ἄλλως τῶν θεῶν ἄλλο τι. ταῖς γὰρ τιμαῖς τῶν θεῶν αἷς ἐτίμων τὴν πόλιν.

107,9 τὰ δῶρα αἱ πανηγύρεις. διδόντων καὶ λαμβανόντων ἐκ τῶν αὐτῶν τῶν ὁμοίων· ὁμοίως γὰρ παρεῖχόν τε καὶ ἐλάμβανον. ἥρμοττε γὰρ τῇ πόλει παρὰ τῶν θεῶν ἃς ἔφην εὐεργεσίας λαμβάνειν, καὶ τοῖς θεοῖς παρὰ τῆς πόλεως ἑορτάζεσθαι. οὐ μόνον δ' ὑπὲρ τῆς πόλεως θεοὶ τοῦτο τὸ νόημα πρόσθεν εἰπὼν, ἐπειδὴ ἀνάγκη ἦν προσθεῖναι τὸ ἕτερον· τότε δὲ ὁ καιρὸς οὐκ ἐδίδου· ἄλλα γὰρ κατήπειγε· διὰ τοῦτο πάλιν ἐχρήσατο, ἵνα ταῦτα, ἃ νῦν λέγει, προσθήσῃ· τοῦτο δὲ πολλαχοῦ τῶν αὐτοῦ λόγων ποιεῖ.

107,11 ἐπιστρέφοντες ἐφέλκοντες.

107,12 πάντων καλλίστων. τῶν καλλίστων, φιλανθρωπίας, δικαιοσύνης. δείγματα τύπους. καθάπερ οἱ τοὺς παῖδας προδιδάσκοντες ἐκεῖνοι γὰρ, ἐάν τε λόγοι ὦσι τὰ διδασκόμενα ἐάν τε ἄλλη τις ἐπιστήμη πῶς δεῖ ποιεῖν, ὑφηγοῦνται τουτοισίν. καθάπερ οἱ διὰ σημείων δηλονότι προδιδάσκοντες, καὶ στιγμὴν δέ. τῶν ἄκρων δὲ λέγει, τῶν ἐξεχόντων διδασκάλων.

107,13 πανταχοῦ ἤγουν ἐν πᾶσι πράγμασι. τῶν ἄκρων τῶν ἐντελεστάτων εἰς ταῦτα νῶν.

107,14 τοῖς ζηλοῦσιν αὐτούς. τὴν γιγνομένην ἀρετὴν ἀντὶ τοῦ ἠθικήν· ἣ καὶ διδακτὴ καὶ ἔθει καὶ ἀγωγῇ βελτίστῃ τὸ κράτος λαμβάνουσα. οἷς χρῆν ἑπόμενοι τοῖς θεοῖς. τοῖς θεοῖς δηλονότι, καὶ ταῖς ἐκ τούτων διδασκαλίαις. τούτοις γὰρ χρῆν δίκαιον καὶ ὅσιον πείθεσθαι.

107,15 τὰ σπέρματα αἱ ἀρχαί.

107,16 λαγχάνει Ποσειδῶν Ἄρει τὴν ὑπὲρ τοῦ παιδός Ἁλιρρόθιος, ὁ Ποσειδῶνος, Ἀλκίππην, τὴν Ἄρεος, φθείρας παρανόμως ὑπ᾽ αὐτοῦ τέθνηκεν. ὅθεν συνίστησι, δικαστήριον ἐξ ἁπάντων τῶν θεῶν κατ᾽ αὐτοῦ Ποσειδῶν. κέκληται γοῦν ὁ τόπος, καὶ ὅτι ὀρεινός ἐστι, καὶ ὅτι Ἄρης ἐνταυθοῖ καταδεδίκασται, Ἄρειος πάγος, ἐμφαίνων διὰ τῆς προσηγορίας τήν τε τοῦ Ἄρεος κρίσιν καὶ ὅτι ἀρετῆς ἐργαστήριόν ἐστιν, ἐπειδὴ ἐν αὐτῷ θεοὶ ἐκρίθησαν. ἐδικάζοντο δὲ ἐνταῦθα αἱ φονικαὶ δίκαι μόναι. Ἁλιρρόθιος, υἱὸς Ποσειδῶνος, ἠράσθη Ἀλκίππης, τῆς Ἄρεως θυγατρὸς, καὶ εὑρὼν ὑδρευομένην αὐτὴν ἐπεχείρησε βιάσασθαι· ἡ δὲ τῷ πατρὶ ἀπήγγειλεν· ὁ δὲ ἀπιστῶν, καὶ βουλόμενος θεατὴς γενέσθαι, ἀπέστειλε πάλιν ὑδρεύσασθαι. αὐτὸς ὑπάρχει κατάσκοπος· καὶ λαβὼν αὐτὸν ἐπιχειροῦντα ἀνεῖλε· καὶ ἐγκαλεῖ Ποσειδῶν Ἄρει περὶ τοῦ φόνου τοῦ παιδὸς, καὶ γίνεται ἐν Ἀθήναις ἡ κρίσις, δικαζόντων τῶν θεῶν. ἐκλήθη Ἄρειος πάγος ὁ τόπος, ἔνθα ἡ δίκη γέγονε, διὰ τὸν Ἄρεα ἐκεῖ πήξαντα τὸ δόρυ. οἱ δὲ ἐκ τούτου κεκλῆσθαι φασίν· ἐπεὶ ὁ Ἄρης τὰς Ἀμαζόνος θυγατέρας ἀνῃρημένας ὑπὸ Ἀθηναίων ἰδὼν, ἐστράτευσε κατ᾽ αὐτῶν, καὶ ἐν τούτῳ τῷ τόπῳ καθήμενος ἐπολιόρκει τὴν πόλιν. ἄλλοι δὲ ἁπλῶς λέγουσι, διὰ τὸ πολλοὺς ἐκεῖσε γενέσθαι φόνους. οἱ δὲ φόνοι Ἄρεως εἶναι νομίζονται. τινὲς δὲ τὸν μῦθον ἀναπτύσσοντες οὕτω λέγουσιν, ὅτι ὀργιζόμενος ὁ Ἁλιρρόθιος ὑπὲρ τῆς ἥττης τοῦ πατρὸς ἐπεχείρησε κόψαι τὴν ἐλαίαν, καὶ πληγεὶς ὑπ᾽ αὐτοῦ ἐτελεύτησεν· ὅθεν ὁ Ποσειδῶν κατηγορεῖ τοῦ Ἄρεως, ὡς δεσπότου τοῦ σιδήρου. ἄριστα δὲ ὁ Χάραξ ἰῶ φησὶν ὅτι πάγος πᾶς ὑψηλός ἐστι τόπος. ἐπεὶ οὖν ἐνταῦθα παρὰ τοῖς Ἀθηναίοις ἐκρίνετο τὰ φονικὰ, ὑψηλὸς δὲ ἦν ὁ τόπος, ἐλέγετο πάγος, ὡς ὑψηλὸς, Ἄρειος δὲ, διὰ τὸν φόνον, ὃς σιδήρῳ ἀποτελεῖται. Ἄρης ὁ φόνος· ἀφ᾽ οὗ καὶ ἔναρα, τὰ ὅπλα. καὶ ἔναροι, οἱ πεφονευμένοι ὡς ἄν τις εἴποι μεταβαλὼν φόνιος τόπος· ὡς καὶ χαρώνιον ἡ τοῦ δεσμωτηρίου ἐλέγετο θύρα· ἀφ᾽ ἧς οἱ πρὸς Χάρωνα ἀγόμενοι τῶν καταδίκων, τουτέστιν οἱ τὴν ἐπὶ θανάτῳ δεχόμενοι ψῆφον, ᾔεσαν.

107,17 τὴν ὑπὲρ τοῦ παιδὸς δίκην. νικᾷ ἐν ἅπασι τοῖς θεοῖς πάντες γὰρ κατεδίκασαν Ἄρην.

107,19 εἴ τις ὑπερβολὴν ζητοίη δικαίου δικαστηρίου. τοῦ δικαίου.

107,20 ὥσπερ τὰ ὕδατα, ὅσα μαντικὰ οἷον τὸ τῆς Κασταλίας. ὥσπερ τὸ ἐν Δελφοῖς ὕδωρ τὰς μαντείας ἀνεδίδου, ἐν ᾧ ἐκαθέζετο ἡ ἱέρεια. ὅσα μαντικὰ ἀντὶ τοῦ ποιοῦντα μαντεύεσθαι· διὰ δὲ τὴν Κασταλικὴν τοῦτο εἶπε τῆς Βοιωτίας· πνεύματα δὲ εἶπε τοὺς θεωρουμένους, οὓς ἀλλαχοῦ θεομάντεις καλεῖ. πνεύματα οἷα τὰ Τροφωνίου· ἢ πνεύματα λέγει, τοὺς θεοφορουμένους, οὓς καὶ θεομάντεις ἄλλοθί που καλεῖ.

108,1 τῆς παρὰ τοῖς θεοῖς γνώσεως. ὡς δυνατὸν ἐγγυτάτω ἀνθρώπου διάνοιαν δεῖ σωθῆναι γνώσει θεοῦ. ἐπεὶ ὅσον δήποτε μιμήσεταί τις θεῶν, οὐ δύναται δὲ γενέσθαι ὅμοιος αὐτῷ, διὰ τοῦτο εἶπεν, ὅσον δυνατὸν αὐτοῦ, ὅσον ἐξισχύει τις ἄνθρωπος ὤν· καλῶς δὲ τὸ ἐγγυτάτω· οὐ γὰρ τὸ ἀνθρώπινον δίκαιον εἶναι δύναται τοῖς θεοῖς παραπλήσιον.

108,2 τοσούτῳ τετίμηται παρὰ πάντων τῷ συγκεχωρηκότι πάντες γὰρ συγχωροῦσιν ἐνταυθοῖ τὸ δίκαιον εἶναι. ὥσθ᾽ οἱ μὲν ἡττώμενοι στέργουσιν ὁμοίως τοῖς κεκρατηκόσιν οὐδὲ γὰρ ἀντειπεῖν δύνανται, τὸ μὴ εἶναι ἄλλο τι ὑπὲρ αὐτῶν δικαστήριον. οἰκείως εἶπεν· εἴ γε ὥσπερ ὁ νικήσας καρτερεῖ τῇ νίκῃ, οὕτω καὶ ὁ νικηθεὶς στέργει τὴν ἧτταν. ἴσως δὲ διὰ τοῦτο ἔστεργον, ὅτι δώδεκα ἦσαν οἱ θεοὶ καὶ περιττὴ οὐχ εὑρίσκετο ψῆφος. διὰ τοῦτο καὶ οἱ Ἀρεοπαγῖται ἓξ, διὰ τὸ τέλειον εἶναι τὸν ἀριθμὸν, κατὰ μίμησιν τοῦ τῶν θεῶν μέτρου.

108,3 ἀρχαὶ δὲ πᾶσαι, καὶ συνέδρια, τά τε ἄλλα διάφορα δικαστήρια ἦσαν ἐν Ἀθήναις διαφόρων ἐγκλημάτων, βασιλεὺς, Εὐμολπίδαι, θεσμοθέται, καὶ οἱ ἕνδεκα καλούμενοι· ἃ πάντα οὐδὲν ἐδόκει πρὸς τὸν Ἄρειον πάγον. συνέδρια βουλευτήρια· ἐπιφέρει δὲ τὸν μέγιστον, τὸν δῆμον ἐκκλησιάζοντα. καὶ τὸ μέγιστον, ὁ δῆμος ὃ γὰρ οὗτος ψηφίζεται, ἀναντίρρητόν ἐστιν.

108,4 εἴκοντες συγχωροῦντες, καὶ τῶν πρωτείων αὐτῷ ἀφιστάμενοι. μεταβολὴ τοῦ χωρίου τούτου μόνου ἤδη σχεδὸν οὐχ ἥψατο μεταβολὴ οὐκ ἐγένετο τῶν Ἀρεοπαγιτῶν, οὐδὲ ἐπὶ τῶν ἁπάντων τῶν δικαστηρίων κατακαυθέντων.

108,5 ἤδη σχεδὸν οὐχ ἥψατο τὸ σχεδὸν λέγει, ἐπειδὴ οὐ τὴν αὐτὴν ἰσχὺν εἶχεν ὁ Ἄρειος πάγος ἐν τῷ Ἀριστείδου χρόνῳ, οἵαν πρόσθεν, ὅτε τὰ τῶν

Ἀθηναίων ἔρρωτο. ἀγωνιστήριον δικαιοσύνης. τοῖς θεοῖς τὸ θεοῖς οὐ μόνον διὰ τοὺς κρίναντας, ὧν ἔφημεν, νοεῖν δεῖ, ἀλλὰ καὶ διὰ τοὺς κριθέντας, ἵν' εἴη καὶ τὸ οἷς ὅμοιον τοῦτο. τὸ θεοῖς εἰ καὶ καθολικὸν φαίνεται λέγεσθαι, ἀλλὰ διὰ τοὺς κρίναντας τὸν Ποσειδῶ καὶ τὸν Ἄρην νοεῖν χρή. τὸ δὲ οἷς ἐξ ἐκείνου λέγει διὰ τοὺς καθ' ἑκάστους χρόνους ἐνταυθοῖ κρίνειν λαχόντας. ἦσαν δ' οὗτοι τῶν ἄκρων ἐπὶ σοφίᾳ.

108,6 οἷς ἐξ ἐκείνου καθήκει οἷον ἀπὸ τοῦ τῶν θεῶν· τουτέστι καὶ ἐκείνοις δικαστήριον ἀνεδόθη, οἷς ἁρμόζει δι' ἐκείνου τοῦ γένους, δηλονότι τῶν θεῶν.

108,7 ἑτέρα δὲ γίνεται κρίσις ὕστερον μικτὴ τοῖς ἀγωνισταῖς τὴν τοῦ Ὀρέστου καὶ Ἐριννύων δίκην δώδεκά φασι θεοὺς δικάσαι, οὐ παρούσης τῆς Ἀθηνᾶς, ὧν τοὺς μὲν ἓξ ψήφους θεῖναι δικαιώσεως ταῖς Ἐριννύσι, τοὺς δ' ἄλλους ἓξ τῷ Ὀρέστῃ· ἐλθούσης γοῦν τῆς Ἀθηνᾶς, καὶ συμψηφισαμένης τοῖς ὑπὲρ αὐτοῦ, καὶ τῶν ψήφων γενομένων πλειόνων τῇ ὑπεροχῇ, νικᾷ ὁ Ὀρέστης· οὐδὲ γὰρ ἦν εἰκὸς θνητὸν θεοῖς ἐξισοῦσθαι. Ὀρέστου καὶ Ἐριννύων· μικτὴ δὲ, ὅτι ἐκ θνητοῦ ἦν καὶ θεῶν· ἡ προλαβοῦσα θεῶν ἦν μόνον. μικτὴ τοῖς ἀγωνισταῖς Ὀρέστης γὰρ καὶ Ἐριννύες ἐκρίνοντο. θεία δὲ καὶ αὕτη τοῖς δικασταῖς θεοὶ γὰρ ταύτην ἐδίκαζον.

108,8 πρὸς τὰς νῦν προσοίκους τῷ τόπῳ θεὰς σεμνὰς φασὶ γὰρ ὡς Ὀρέστης ἐξιλεούμενος αὐτὰς εὐμενεῖς αὐτῷ τοῦ λοιποῦ εἶναι πλησίον τοῦ Ἀρείου πάγου ἱερὸν αὐτῶν ἐποίησεν. ἐπειδὴ λέγεται ἡττηθείσας τὰς δαίμονας καταδῦναι ἐν τῷ τόπῳ. τινὲς δέ φασιν ὅτι ἀφοσιούμενος Ὀρέστης ἱερὸν αὐτὸς ἐκεῖ ἐποίησεν· τόπῳ δὲ λέγει τῷ Ἀρείῳ πάγῳ· φασὶ γὰρ μετὰ τὴν δίκην τοὺς Ἀθηναίους ἐκεῖ οἰκοδομῆσαι τῶν θεῶν ἱερὸν πρὸς εὐμένειαν αὐτῶν. τὸ δὲ σημεῖον εὐφήμως εἶπεν· ἀλλαχοῦ γὰρ Εὐμενίδας αὐτὰς καλεῖ. προσοίκους πλησίους.

108,9 δοὺς ὥσπερ ἔφεσιν εἰς τὴν πόλιν ἔφεσίς ἐστιν ὄνομα δίκης, ὅταν τις τὰ ἐλάττω δικαστήρια καταλιμπάνει, καταφεύγει ἐπὶ τὸ μεῖζον. τοῦτο δὲ καὶ ἐπὶ τὸν Ὀρέστην συνέβη. καταδικασθεὶς γὰρ ἐν Ἄργει, ὡς Εὐριπίδης φησὶν, ὕστερον Ἀπόλλωνος προστάξαντος ἀφικνεῖται Ἀθήναζε. τὴν ἐξ

Ἄργους αὐτοῦ φυγὴν ἔφεσιν ἐκάλεσε, τουτέστιν ἔκκλητον. λέγεται δὲ ὅτι ἐκεῖ καταδικασθεὶς εἰς Ἀθήνας μετέστη. ἔφεσις δέ ἐστιν ἡ ἀπὸ μικροῦ δικαστηρίου ἐπὶ τὸ μεῖζον μετάστασις.

108,10 οὖσαν εἶναι. δέον εἶναι εἰπεῖν, οὖσαν εἶπε, τρέψας τὴν σύνταξιν πρὸς μετοχὴν, εἰ καὶ ἀγνοοῦντές τινες τὴν αἰτιατικὴν ἀντὶ γενικῆς φασιν. τυχὼν τῆς θεοῦ τῶν μανιῶν ἀπαλλάττεται ἡ γὰρ προστεθεῖσα αὐτῆς ψῆφος, ὡς ἔφημεν, σωτηρίαν αὐτῷ εἰργάσατο. τῆς Ἀθηνᾶς. φασὶ δὲ ὅτι τῶν ἓξ θεῶν προστεθέντων ταῖς Ἐριννύσι, καὶ τῷ ε τῷ Ὀρέστῃ μετέωρον ἔχουσαν τὴν ψῆφον. Ἀθηνᾶν ὕστερον προστεθεῖσαν νικῆσαι αὐτὸν πεποίηκεν εἰκότως. ὑπὲρ οὗ γὰρ τῷ ἐκεῖσε κρίσιν ἠγάπησεν, ἀντὶ χάριτος χάριν αὐτῷ εἰσενήνοχεν. εἰ δέ τις εἴποι, πῶς τὸ ἱερὸν ἔχον τὸν θεὸν νενίκηκεν, ἐρεῖς ὅτι, ἐπειδὴ θνητὸς ὢν τὰς ἴσας τῶν θεῶν ψήφους ἐδέξατο, διὰ τοῦτο νενίκηκεν. ἄλλοι δέ φασιν ὅτι διὰ τοῦτο Ἀθηνᾶ αὐτῷ προσετέθη, ἐπειδὴ ἠλέησεν αὐτὸν ἀτυχοῦντα. τινὲς δὲ, ἐπειδὴ ἀπὸ πατρὸς μόνον ἐδόκει τοῦ Διὸς γεγενῆσθαι καὶ οὐκ ἀπὸ μητρὸς, εἰκότως οὖν προσετέθη αὐτῷ τῷ ἐπαμύναντι τῷ πατρὶ, καὶ διὰ τὸν πατέρα κινδυνεύοντι.

108,11 περὶ μὲν δὴ γένους τῶν Ἀθηναίων. δόξειε τοῦτο συμπέρασμα εἶναι τοῦ γένους καὶ τῆς ἀνατροφῆς. ἕτερον μέρος τὴν φιλανθρωπίαν. λέγει γὰρ ὧν μέρος ἐγκέκραται, μέρος ἀνατροφῆς καλέσας τὰ εἰρημένα. ἰδὼν δὲ καὶ αὐτὸς ἐδήλωσας, ὅτι γένος ἐστὶν ἐν τῷ λόγῳ, διὰ τοὺς λέγοντας ὅτι πόλις οὐκ ἔστι γένος. ἄρχεται δὲ ἐντεῦθεν ἀπὸ τῶν πράξεων. μερίζονται δὲ εἰς εἰρήνην καὶ πόλεμον. εἰσβάλλει οὖν εἰς τὴν τῶν φευγόντων ὑποδοχὴν, ὃ μέρος ἐστὶν ἐν εἰρήνῃ πράξεων· καὶ λέγει πρῶτον μὲν τοὺς καταφυγόντας, ὕστερον δὲ τοὺς ἀποικισθέντας.

108,13 τοῖς πρὸ ἡμῶν εἰποῦσι. Ἰσοκράτους, Θουκυδίδου, καὶ ἄλλων. ὧν μέρος ἓν γέγραπται τοῖς εἰρημένοις ἐπειδὴ νῦν περὶ τῆς τῶν ἀτυχούντων ὑποδοχῆς μέλλει εἰπεῖν, ἔστι δὲ ἡ ὑποδοχὴ φιλανθρωπία, εἴρηκε δὲ ὄπισθεν τὴν τοῦ σίτου μετάδοσιν, ἣ μέρος φιλανθρωπίας ἦν, διὰ τοῦτο νῦν λέγει, ὧν μέρος ἓν γέγραπται τοῖς εἰρημένοις. ἢ διότι περὶ τῆς τῶν Ἡρακλειδῶν ὑποδοχῆς βούλεται εἰπεῖν, ἐμνημόνευσε δὲ τούτου, ὡς ἐν

παρόδῳ, λέγων· ἀνθ᾽ ὧν ἂν καὶ πρώτη πόλεων ἐτίμησεν ἐκείνην ταῖς τῶν θεῶν τιμαῖς, καὶ τοὺς παῖδας διετήρησε μόνη

108,14 ὅσῃ τινι καὶ οἵᾳ τῇ περιουσίᾳ τῆς φιλανθρωπίας εἰς ἅπαντας ἐχρήσαντο ἐπειδὴ δὲ περὶ τοῦ σίτου καὶ ἄνω εἶπεν, ὅπως διένειμαν πάντων οἱ Ἀθηναῖοι. τοῦτο δὲ φιλανθρωπίας. τῇ περιουσίᾳ μεγέθει.

108,15 ἄνειμι δὲ κἀνταῦθα μικρὸν καὶ γὰρ τὸ περὶ θεῶν εἴρηται ἤδη. διὸ εἶπεν ἄνειμι μικρόν.

108,16 οὐδ᾽ ἐκεῖνοι τοῦ σίτου τὴν κοινωνίαν τοῖς ἀνθρώποις ἔκριναν ἐξαρκεῖν ἀντὶ τοῦ οὐχ ἡγήσαντο ἔτι μόνον εὐεργετήσαντες, ἀρκούντως ἔχειν τὴν παρ᾽ αὐτῶν χάριν.

108,17 ὁδῷ προῆεσαν αὔξοντες τὴν φιλοτιμίαν μερίζει τὴν φιλανθρωπίαν ταύτην εἰς δύο, εἵς τε τὴν ὑποδοχὴν τῶν καταφευγόντων καὶ εἰς τὴν ἀποικίαν, ἣν ὕστερον αὐτοῖς πεποίηνται.

108,18 ὥσπερ οἱ τὰ σπέρματα οἱ γὰρ πολλὴν γῆν σπεῖραι βουλόμενοι καὶ πλείω τὰ σπέρματα καταβάλλουσιν, ὥσπερ οἱ ὀλίγην ἐλάχιστα. οἷον οἱ βάλλοντες ἐν γῇ κόκκον καὶ ποιοῦντες ἐξ αὐτοῦ δέκα.

108,20 οὐδ᾽ ἄοικον ἐπὶ καιρῶν οὐ γὰρ ἀεὶ οἰκοῦσιν, ἀλλ᾽ ἐὰν ἀτυχῶσι. ἐπὶ καιρῶν εὐφήμως εἶπε τὴν δυστυχίαν, ὅτι ἐν ταῖς συμφοραῖς εὗρον οἰκοῦντας Ἀθήνας· καὶ Δημοσθένης ἐν Φιλιππικοῖς «Καιροῦ μὴν δὴ πρὸς ταῦτα πάρεστι Φιλίππῳ τὰ πράγματα.»

109,1 κατ᾽ ἄνδρα σχεδὸν οἱ γνωριμώτατοι ἐπειδὴ τὸ κατ᾽ ἄνδρα εἰπεῖν οὐδὲ ἦν θαυμαστὸν, οὐδὲ σεμνὸν εἰς ἐγκώμιον, προσέθηκε τὸ οἱ γνωριμώτατοι, περὶ Ὀρέστου καὶ Οἰδίποδος λέγων καὶ τῶν ἄλλων. κατ᾽ ἄνδρας ἀντὶ τοῦ κατὰ ἕνα· ἐπὶ τὸ ἧττον δὲ ἦλθεν ἀπὸ πόλεως εἰς ἕνα ἐλθών· εἶτα ἐπεὶ οὐδὲ μέγα τὸ εἰπεῖν κατὰ ἕνα οὐδὲ σεμνὸν εἰς ἐγκώμιον, προσέθηκεν οἱ γνωριμώτατοι. ἐμφαίνει δὲ τὸν Ὀρέστην, τὸν Οἰδίπουν.

109,3 συμμέτρους γῇ ἀξίους. μὴ ὅτι μὴ μόνον. μὴ ὅτι τῶν ἰδίᾳ λέγω ἀντὶ τοῦ τοσούτων δυσχερές ἐστι τῶν μεταστάντων κατ᾽ ἄνδρα μνησθῆναι, ὅτι

κατὰ πόλεως εἰπεῖν πάντας ἅμα οὐκ εὐχερές. τῶν ἰδίᾳ λέγω μεταστάντων τοῦτο γὰρ πάνυ χαλεπόν.

109,4 ἃ δ' ἐστὶ τῶν παλαιῶν ἐντιμότατα καὶ γὰρ ἴσως τοῦτο δοκεῖ ῥᾴδιον. ὥσπερ ἀρχὴ τοῖς πολλοῖς διηγεῖσθαι Ἰσοκράτης γὰρ ἐν τῷ Πανηγυρικῷ, καὶ Δημοσθένης καὶ Λυσίας ἐν ἐπιταφίοις, καί τινες ἄλλοι ἀπὸ τῶν Ἡρακλειδῶν, τὴν τῆς πόλεως ἄρχονται λέγειν φιλανθρωπίαν. οἱ πολλοὶ ἀπὸ Ἡρακλέους ἤρχοντο, ὡς καὶ ὁ Ἰσοκράτης Ἀθηναῖος. λείπει δὲ τὸ μετὰ ταῦτα ἐρῶ· ἵν' ᾖ· ἃ δέ ἐστι τῶν παλαιῶν ἐντιμότατα, καὶ ὥσπερ ἀρχὴ τοῖς πολλοῖς διηγεῖσθαι, ταῦτα ἐρῶ. καὶ ἔστιν ἔλλειψις τὸ σχῆμα. διηγεῖσθαι ταῦτα εἶπω δηλονότι. Ἡρακλέους ἀπελθόντος ἐξ ἀνθρώπων διὰ τί, φησὶ, περὶ τῶν Ἡρακλειδῶν βουληθεὶς εἰπεῖν, μὴ ἀπ' αὐτῶν κατήρξατο, ἀλλ' ἀπὸ τοῦ Ἡρακλέους; λέγομεν ὅτι ἡ ἀναχώρησις αὐτοῦ ἡ ἀπὸ τοῦ βίου αἰτία ἐγένετο τοῦ διωγμοῦ τῶν παίδων αὐτοῦ. εὐφήμως δὲ εἶπεν ὡς ἐπὶ θανάτου· ἐκέρασε γὰρ τὸν λόγον, καὶ τῶν μὲν λεγόντων ὅτι ἀπέθανε, τῶν δὲ λεγόντων ὅτι ἀπηθανατίσθη, οὔτε παντελῶς ἐπίστευσεν οὔτε ἀντεῖπε τῇ ἱστορίᾳ, ἀλλὰ μέσον ἐχώρησεν.

109,5 ἀπελθόντος ἐξ ἀνθρώπων ἤγουν θανόντος. ἱδρύεται στερεοῖ.

109,6 καθάπερ καὶ πρόσθεν τοῖς μυστηρίοις ἐτίμησε πρῶτον ξένων Ἀθηναῖοι τὰ Ἐλευσίνια ἄγοντες, ἃ πρὸς τὴν Δήμητραν ἐποίουν, ἐπειδὴ παρ' αὐτῇ τῇ ἑορτῇ Ἡρακλῆς ἐπελθὼν ἐδεῖτο καὶ αὐτοῖς μυηθῆναι. νόμιμον δὲ ἦν μὴ ξένον τινὰ μυεῖν. αἰσχυνθέντες τὴν αὐτοῦ ἀρετὴν ἐποίησαν τὰ λεγόμενα μικρὰ μυστήρια πρὸς τὴν Δήμητρος Περσεφόνην, ἐν οἷς πρῶτον αὐτὸν ἐμύησαν, ὕστερον δὲ καὶ τοὺς Διοσκούρους. ἐπεὶ δοκεῖ κοινὸν εἶναι τὸ τιμᾶν θεοὺς, καὶ τῶν ἄλλων πόλεων τῇ διαφορᾷ τὴν ὑπερβολὴν ἐδήλωσε. μυστηρίοις δὲ λέγει τοῖς Ἐλευσινίοις, οὐκ ἐξὸν δὲ παρ' Ἀθηναίοις τὰ μυστήρια ξένους μυεῖν. ἐπιδημήσαντος δὲ ἐν τῷ καιρῷ τῶν μυστηρίων Ἡρακλέους, αἰσχυνθέντες οἱ Ἀθηναῖοι ἐμύησαν αὐτόν· οὕτω καὶ πρώτη ἔστησεν αὐτῷ ἀγάλματα καὶ τιμάς. θεὸς ὢν ἐκεῖνος. θεὸς ὢν καὶ δοκῶν ἐχρῆν εἰπεῖν δοκῶν καὶ ὤν. ἀντέστρεψε δὲ τὴν λέξιν. καλῶς δὲ εἶπε· πολλοὶ γὰρ εἰσὶ μὲν, οὐ μέντοι δοκοῦσιν. ἄλλως τε τὸ δοκῶν μᾶλλον θεὸν αὐτοῖς ἔδειξε· τὰ μὲν γὰρ κρυπτὰ τοῖς ἀνθρώποις δοξάζομεν μόνον περὶ αὐτῶν, ἀλλ' οὐκ ἀκριβῶς ἐπιστάμεθα. ἐξ ἐκείνου δὲ, τουτέστι

τοῦ χρόνου ἀφ᾽ οὗ τετίμηται παρ᾽ Ἀθηναίοις. πρεσβυτάτους δὲ τῶν θεῶν τοὺς περὶ τὸν Κρόνον, καὶ Δία, καὶ Ῥέαν, καὶ Ποσειδῶνα, καὶ Ἀθηνᾶν, καὶ ἄλλους. ἐξ ἐκείνου τοῦ μυηθῆναι τῶν μυστηρίων.

109,7 τοὺς πρεσβυτάτους ἄρα τῶν θεῶν τοὺς περὶ Κρόνον, καὶ Ῥέαν, καὶ Δία, καὶ Ποσειδῶνα, καὶ τοὺς ἄλλους. ἦρξε τιμᾶν ἀντὶ τοῦ ἔγραψε. τὸ δὲ ἐπήλυδας ἀντὶ τοῦ νεωτέρους. Ἡρακλέα δὲ λέγει καὶ Διόνυσον. ἵνα δὲ μὴ δόξῃ ἄτοπά τι ποιεῖν καινοτομεῖν θεοὺς φησὶν ὅτι πολιτευομένη μετὰ τῶν θεῶν ἐγίνωσκε τούτων τὸ βούλημα. ἐκεῖνοι γὰρ, φησὶν, ἐδέχοντο καὶ ταύτην οὐκ ἐλάνθανον.

109,8 τοὺς ἐπήλυδας τοὺς οὐ φύσει θεοὺς, ἀλλὰ διὰ τὴν ἀρετὴν εἰς τοῦτο ταχθέντας, Ἡρακλέα καὶ Διόνυσον, καὶ τοὺς ἄλλους.

109,11 τούς τε Θηβαίους Θηβαῖος ἦν Ἡρακλῆς διὰ τὴν μητέρα, τὴν Ἀλκμήνην, Ἀργεῖος δὲ διὰ τὸν πατέρα, τὸν Ἀμφιτρύωνα· διὸ καὶ τοὺς ἄλλους εἶπε, δηλῶν τοὺς Ἀργείους. Θηβαῖος γὰρ ἦν ὁ Ἡρακλῆς διὰ τὴν μητέρα, τὴν Ἀλκμήνην· Ἀργεῖος δὲ διὰ τὸν Ἀμφιτρύωνα. διὸ εἶπε καὶ τοὺς ἄλλους, τουτέστι τοὺς Ἀργείους. Τανταλίδης γὰρ, ἢ μᾶλλον Περσίδης.

109,12 αὐτῷ μὲν οὖν ταύτην ἀποδεδώκει τὴν χάριν ὠφείλετο γὰρ αὐτῷ τοιούτῳ γε ὄντι. βούλεται λοιπὸν καὶ τὴν καταφυγὴν εἰπεῖν τῶν Ἡρακλειδῶν καὶ ὑποδοχὴν τῶν Ἀθηναίων.

109,13 δι᾽ ἣν καὶ ὅσων παρὰ τῶν ἄλλων ἔτυχεν Ἡρακλῆς ὥσπερ πάλιν ἀντέπιπτεν αὐτῷ· ἀλλὰ καὶ παρὰ τῶν ἄλλων, φησὶν, Ἡρακλῆς τετίμηται· ἀλλὰ ταύτην μᾶλλον ἐτιμήσατο. ἁπάσας τῆς πόλεως χάριτας εἰ μὴ γὰρ αὕτη μετὰ θεῶν ἔκρινεν, οὐκ ἂν ἄλλοι τοῦτον ἐτίμων.

109,14 τὰ δίκαια συνωμολόγησαν δίκαιον γὰρ ἦν ὡς θεὸν τοῦτον τιμᾶσθαι διὰ τὸ τῆς ἀρετῆς ὑπερβάλλον.

109,15 Εὐρυσθέως δ᾽ ἐλάσαντος μὲν ἐκ Πελοποννήσου τοὺς παῖδας αὐτοῦ πληρῶν ὁ Εὐρυσθεὺς τὸ τῆς Ἥρας βούλημα, οὐ μόνον περιόντι ἐπέταττεν Ἡρακλεῖ, ἀλλὰ καὶ μετὰ τὴν ἐκείνου τελευτὴν ὤφθη τοῖς παισὶ δυσμενέστερος. ὅθεν οὐ μόνον ἐκ Πελοποννήσου τούτους ἐδίωκεν, ἀλλὰ καὶ ἐκ πάσης Ἑλληνικῆς πόλεως. ἕως οὗ Ἀθηναῖοι τῆς τοῦ Εὐρυσθέως

μανίας καταφρονήσαντες ἐδέξαντο αὐτοὺς, καὶ συμβαλόντες μετ᾽ αὐτῶν Εὐρυσθεῖ νενικήκασι, καὶ κατήγαγον αὐτούς. καὶ ὁ συγγραφεύς φησι «Δωριεῖς τῷ τριακοσιοστῷ ἔτει ξὺν Ἡρακλείδαις Πελοπόννησον ἔσχον.» προσθέντος δ᾽ ἑτέραν ἀγνωμοσύνην ἔτι μείζω καὶ δεινοτέραν ἀγνωμοσύνη καλεῖται ἡ ἀχαριστία, καὶ ἀγνώμων ὁ μὴ ἀποδιδοὺς χάριν τοῖς εὐεργέταις. οὐχ ὅτι δὲ Εὐρυσθεὺς εὐηργέτητό τι ἀφ᾽ Ἡρακλέους, εἶτα οὐκ ἀπεδίδου χάριν, τοῦτον νῦν Ἀριστείδης εἰς ἀγνωμοσύνην διαβάλλει, ἀλλ᾽ ὅτι ἀγνώμονας καθίστη τοὺς Ἕλληνας, οὐκ ἐῶν αὐτοὺς δέχεσθαι τοῦ εὐεργέτου, Ἡρακλέους, τοὺς παῖδας, οὐδὲ χάριν ἀποδοῦναι ὧν εὖ παθόντες ἦσαν. ἢ ἐπειδὴ Ἡρακλῆς πάντων εὐεργέτης ἀνθρώπων ἦν. ἦν δὲ καὶ Εὐρυσθεὺς τῶν εὐεργετουμένων, ὡς ἄνθρωπος· ἢ τὸ ἀγνωμοσύνην νοητέον ἀντὶ τοῦ κακοήθειαν. μείζω δὲ λέγει, ὅτι οὐκ ἠρκέσθη αὐτὸς ἀπελάσαι, ἀλλὰ καὶ τοῖς ἄλλοις ἠπείλει μὴ καταδέξασθαι συνοικεῖν. ἀγνώμων καλεῖται ὁ μὴ ἀποδιδοὺς χάριν τοῖς εὐεργέταις· τί οὖν Εὐρυσθεὺς εὐεργετήθη ὑφ᾽ Ἡρακλέους πρῶτον, ὅτι ἀγνωμοσύνην ἐκάλεσε τὸ ὑπ᾽ αὐτοῦ γινόμενον; λέγομεν οὖν ὅτι οὐχ ὅτι αὐτὸς ἀγνώμων ἦν οὕτως εἶπεν, ἀλλ᾽ ὅτι ἀγνώμονας καθίστη τοὺς Ἕλληνας, οὐκ ἐῶν αὐτοὺς ὑποδέξασθαι τοὺς παῖδας Ἡρακλέους, τουτέστιν, οὐδὲ χάριν ἀποδοῦναι ὧν εὖ παθόντες ἦσαν περὶ τοῦ πατρὸς, τοσοῦτον οὐ πρὸς τοὺς Ἕλληνας εἶπεν· οὐδὲ γὰρ ἄλλο ἀδικήσαντες ἦσαν. ἀλλ᾽ ὡς πρὸς τὴν Εὐρυσθέως πονηρίαν, ὅτι οὐκ ἠρκέσθη τῆς χώρας ἀπελάσαι τοὺς ἄνδρας, ἀλλὰ καὶ ταῖς ἄλλαις ἠπείλησε πόλεσιν.

109,17 τὰ ἔσχατα ἀπειλήσαντος τῇ δεξομένῃ πόλει. οἱ μὲν ἄλλοι πάντες ἐσχετλίαζον οὐκ ἀπανθρωπίαν κατηγορεῖ τῶν ἄλλων Ἑλλήνων, ἀλλὰ δέος ἐμφαίνει, ἂν τὸ δέος τὴν φιλανθρωπίαν ἐνίκησε, καὶ φόβος ἄλογος δικαιοσύνης ἐγίνετο κώλυμα. ὅθεν ᾗ ηὐπόρουν τὴν χάριν εἰσήνεγκεν. ἀντὶ τοῦ ὅπλων ἐκείνων τὰ δάκρυα· καὶ τοῖς θρήνοις ἐτίμων τοὺς ἀτυχήσαντας.

109,18 μόνη τῶν ἁπάντων Ἑλλήνων.

109,19 τὴν προστασίαν, ἣν ἁπάντων ἀνθρώπων Ἡρακλῆς ἔσχεν προστάτης γὰρ πάντων ἦν. αὐτὴ ἐνθυμηθεῖσα ἡ πόλις.

109,20 ὥσπερ τινὰ ἐράνου φορὰν εἰσφοράν. ὥσπερ τινὰ ἐράνου φορὰν διεσώσατο τὸ μὲν διεσώσατο λέγει, διότι οὐκ εἴασε τὸ πατρῷον αὐτῆς ἀξίωμα ἀπολέσθαι. ἀλλ᾽ ὥσπερ ἐκεῖνος πᾶσιν ἀνθρώποις σωτὴρ καὶ προστάτης ἐγένετο, οὕτω καὶ αὕτη τούτοις. τὸ δὲ ἐράνου φορὰν, διότι, ὥσπερ ἐπί τινι χρείᾳ εἰσφέρουσί τινες οἴκοθεν, οὕτω καὶ αὕτη, ὥσπερ τινὰ εἰσφορὰν, τὴν σωτηρίαν αὐτοῖς εἰσέφερεν. ἀντὶ σωτηρίας καταβολήν. εἰκότως δὲ ἐμνήσθη τῆς λέξεως, ἐπεὶ ἐκινδύνευον οἱ Ἡρακλεῖδαι. καὶ γὰρ ἐκείνῳ τῶν πλείστων διὰ Θησέως συνεπείληπτο συνεστράτευσε γὰρ οὗτος αὐτῷ κατὰ Ἀμαζόνων, καὶ κατὰ Τροίας ἐπὶ Λαομέδοντος. ἀντὶ τοῦ ἐκοινώνησε. βεβαιοῖ δὲ τὴν χάριν, ἵνα δείξῃ κοινὰ ἔργα καὶ τῆς πόλεως. ἀσφαλῶς δέ ἐστι τῶν πλείστων. οὐ γὰρ τῶν φοβερῶν ἐκοινώνησεν αὐτῶν. καλῶς δὲ καὶ τὸ διὰ Θησέως. οὐ γὰρ ἡ πόλις αὐτῷ κοινωνεῖν συνέπραξεν, ἀλλὰ Θησεύς. οἷον εἰς τὰ κατ᾽ Ἀμαζόνας, εἰς τὸν ἐν Τροίᾳ πόλεμον, τὸν κατὰ Λαομέδοντα. τῶν πλείστων ἔργων.

110,1 πάλαι κοινωνὸν ἦγεν, ἀφ᾽ οὗ ταὐτὰ ἑώρα γιγνώσκοντα ἑαυτῇ ἢ ὅτι συνεμάχει αὐτῇ, ἢ ὅτι, ὥσπερ ἡ πόλις ταῖς πρὸς τοὺς ἄλλους εὐεργεσίαις ἔχαιρεν, οὕτω καὶ Ἡρακλῆς· πᾶς δὲ τὸ ὅμοιον αὐτῷ ἀγαπᾶ. ἃ μὲν κατειργάσατο ἡ πόλις. ἃ μὲν κατειργάσατο μετ᾽ αὐτῶν, καὶ ὑπὲρ αὐτῶν τὸν πρὸς Εὐρυσθέα σημαίνει πόλεμον· τότε καὶ ὑπὲρ αὐτῶν καὶ μετ᾽ αὐτῶν ἐμαχέσαντο, κοινωνοῦντες τῆς τύχης, ὥσπερ καὶ τῆς πράξεως.

110,2 μετ᾽ αὐτῶν τῶν Ἡρακλειδῶν. ἐν ἑτέρᾳ τῶν λόγων καθήκει δηλῶσαι μερίδι ὅτε διηγοῦμαι τοὺς πολέμους· νῦν γὰρ τὴν ἀνθρωπίαν μόνον θέλει εἰπεῖν. καθήκει πρέπει.

110,3 τὴν δ᾽ οὖν ἐπιτροπὴν οἰκείως ἡ λέξις ἐνταῦθα κεῖται. ἡ γὰρ τῶν ὀρφανῶν πρόνοια ἐπιτροπὴ λέγεται. πρόνοιαν, προστασίαν, τὴν κηδεμονίαν. οἰκείως γὰρ ἐπὶ τῶν ὀρφανῶν ἡ λέξις εἴρηται. οὐ γὰρ τὴν ὀρφανίαν—αὐτοῖς γενομένη οὐκ ἐποίησε συμφορῶν ὀρφανείας πειρασθῆναι, ἀντὶ πατρὸς αὐτοῖς γενομένη, καὶ τῷ τρόπῳ τὴν φύσιν ἐνίκησε.

110,5 εὐεργέτας ὄντας. τέτταρας μὲν δοῦσα νέμεσθαι πόλεις τῶν τότε οἰκουμένων ἐν τῇ χώρᾳ τέτταρας πόλεις τὴν καλουμένην ἐν Ἀττικῇ τετράπολιν, Μαραθῶνα, Προβάλεθον, Τρικηρύσιον, Οἰνόην. καὶ τὸ μὲν οἰκουμένων εἶπε, δηλῶν τὸ λαμπρὸν τῆς εὐεργεσίας, ὅτι οὐκ ἀοικήτους, ἀλλ᾽ οἰκουμένους αὐτοῖς ἔδοσαν νέμεσθαι τόπους. τὸ δὲ πόλεις, ἢ ὅτι ὕστερον οἱ τόποι οὗτοι πόλεις γεγόνασιν, ἢ ὅτι πόλεις ὁ συγγραφεὺς καλεῖ τὰς κώμας, διὰ τὸ δίκην πόλεως ταύτας οἰκεῖσθαι. τὴν καλουμένην τετράπολιν, Μαραθῶνα, Προβαλίσιον, Τρικορίσιον, Οἰνόην. τὸ δὲ οἰκουμένων εἶπεν, ἵνα τὴν εὐεργεσίαν βελτίστην, ὅτι λαμπρὰς αὐτοῖς ἐχαρίσατο πόλεις. πόλεις δὲ αὐτὰς ἐκάλεσεν, ὅτι πρὸ τῆς τοῦ Θησέως συνοικήσεως αἱ κῶμαι πόλεις ἐκαλοῦντο, ὥς φησιν ὁ συγγραφεύς.

110,6 τῶν τότε οἰκουμένων νῦν γὰρ ἀοίκητοί εἰσι. πρώτους δὲ τρέψασα δημοσίᾳ παρὰ τοῦ δημοσίου. ὥσπερ δὲ νόμον τοῦτο γενόμενον εἶπε τῇ πόλει· μετὰ ταῦτα γὰρ τῶν πολέμοις ἀποθανόντων δημοσίᾳ οἱ παῖδες ἐτρέφοντο, μάλιστα δὲ ἀπὸ τῶν Περσικῶν. πατρὸς εὐεργέτου παῖδας ὥσπερ.

110,7 τρέφειν ἀπὸ τῶν Περσικῶν. ἐνόμισε ἐνομοθέτησε. μέντοι μήν.

110,8 τὰ τροφεῖα τουτέστι τὰς ἀμοιβὰς τῶν τροφῶν· εὗρε γὰρ αὐτοὺς ἀξίους τῆς ἀνατροφῆς. τὰ τροφεῖα πρέποντα ἐκομίσατο ἑαυτῇ ὕστερον γὰρ συνεμάχησαν αὐτῇ. τῶν γὰρ ὑπηργμένων γεγενημένων. ὑπηργμένων, τὸ θέμα ὑπάρχω. ὧν αὐτὴ πρὸς αὐτοὺς πρόσθεν ἐποίησεν.

110,9 ὁδὸν λόγον, τὴν καταφυγήν. ταύτην δὲ πρώτην καταφυγὴν τῶν δυστυχούντων ὑποτίθεται. εἶτα ἐπιλαμβανόμενος αὐτοῦ εἶπεν ὅτι μετὰ πολλοὺς συμβέβηκεν. ὑπερβολικῶς δὲ εἶπεν· οὐδὲν γὰρ ἄλλοι πρὸς αὐτῶν ἦλθον. τὸ δεῦρο τὸ εἰς τὴν πόλιν. ἥγουν μέχρι τοῦ νῦν, ἢ ἐνταῦθα. τῶν ἐκπιπτόντων ἐκ τῶν σφετέρων πατρίδων. ἐπὶ πολλοῖς τοῖς πρότερον Ὀρέστῃ, Οἰδίποδι, Ἀδράστῳ. Ἀδράστῳ, Οἰδίποδι, Ὀρέστῃ. πρεσβύτερος γὰρ τῶν Ἡρακλειδῶν ὁ Ἄδραστος.

110,10 ἅπασι γὰρ ἡ πόλις ἑαυτὴν παρέσχε τοῖς ἐν χρείᾳ κοινὴν εὐθὺς ἐξ ἀρχῆς τοῦτο εἶπεν, ἵνα μὴ δόξῃ ἐκ μεταβολῆς καὶ μετανοίας τοῦτο τῶν Ἀθηναίων τὸ ἐπιτήδευμα. τοῖς ἐν χρείᾳ χρῄζουσι.

110,11 εὐθὺς ἐκ τοῦ εὐθὺς παρίστησιν ὅτι, ἡνίκα συνέστη καὶ πόλις γέγονε, ἔπραττε. ἐπὶ δυοῖν ὁρμεῖν παροιμία τὸ ἐπὶ δυοῖν ὁρμεῖν ἐπὶ τῶν ἀσφαλῶς πρός τι χωρούντων. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν πλεόντων, ὅταν ἢ δυσὶν ἀγκύραις ὁρμίζωνται, ἢ ὅταν ἐλλιμενίσωσι μὲν, προσχρήσωνται δὲ καὶ ἀγκύρᾳ διὰ τὴν πλείστην ἀσφάλειαν. λέγει οὖν ἐνταῦθα ὡς ἅπαντες καὶ τῆς πατρίδος εἴχοντο, καὶ ταύτην πλείονος ἐνόμιζον ἀξίαν. ἀντὶ τοῦ ἐπὶ δύο ἀγκυρῶν. τοῦτο δὲ λέγει ἐπὶ τῶν ἀσφαλῶς ὁρμούντων πλοίων. λέγει δὲ δύο πατρίδας, τήν τε αὐτῶν καὶ τὰς Ἀθήνας, ὥσπερ τὰ ἀσφαλῶς ὁρμοῦντα πλοῖα δύο χαλῶσι διὰ τὰ κύματα. ὁρμεῖν ἐλλιμενίζειν.

110,13 τὴν μὲν προτέραν τὴν ἑαυτῶν. τὴν δ' ὑστέραν τὴν ἡμῶν. τὴν δ' ὑστέραν προτέραν ἄγοντες τῇ δυνάμει τῇ δυνάμει λέγει τῇ ὠφελείᾳ, ἵνα δείξῃ ταύτην τῆς οἰκείας καλλίονα. ἔοικε δὲ τῷ Δημοσθενικῷ «Τὸ γὰρ πράττειν τοῦ λέγειν καὶ χειροτονεῖν ὕστερον ὂν τῇ τάξει πρότερον τῇ δυνάμει καὶ κρεῖττόν ἐστιν.»

110,14 τοσούτῳ γὰρ βεβαιοτέραν ταύτην αὐτοῖς εἶναι οὐ γὰρ ἦν ὅστις αὐτοὺς ἐντεῦθεν μεταστήσας. λυσιτελεστέραν πλειόνων γὰρ ἀγαθῶν ταύτῃ τῇ πατρίδι ἀπέλαυον. ἀνάλωτον ἀπόρθητον. ἀήττητον, ἀπόρθητον. τὸ δὲ ἱερὰν πάλιν εἴρηται ἀπὸ παροιμίας· ἱερὰν ἄγκυραν. διὰ τὴν ἀσυλίαν τὴν δεδομένην τοῖς ἐπὶ τὰ ἱερὰ καταφεύγουσι. καλεῖται δὲ ἱερὰ ἡ μείζων πασῶν, μεθ' ἣν οὐδεμιᾶς ἐστι σωτηρίας ἐλπὶς, ἐὰν μὴ ἰσχύσῃ κατασχεῖν τὴν ναῦν. τὸ δὲ ἱερὸν οἱ παλαιοὶ ἐπὶ τοῦ μεγάλου λέγουσιν· ἱερὸν ἰχθύν· καὶ οἱ ἱερὰν νόσον, τὴν ἐπιληψίαν.

110,15 ἔγνωσαν τοῦτο κατὰ συνεκδοχὴν καὶ πρὸς τὸ βεβαιοτέραν λάμβανε.

110,16 οἱ περὶ Θήβας ἀτυχήσαντες, καὶ πάσης τῆς Βοιωτίας συνεκπεσόντες περὶ Θήβας ἀτυχήσαντας λέγει, ὡς μέν τινές φασι, τὸν Οἰδίποδα, ὡς δὲ ὁ Σώπατρος, τοὺς Ὀρχομενίους. Ὀρχομενὸς γὰρ πόλις τῆς Βοιωτίας, ἧς οἱ οἰκήτορες κατὰ Θηβαίων στρατεύσαντες, καὶ ὑπὸ τούτων καταπολεμηθέντες, Ἡρακλέους συμμαχοῦντος, — Θηβαῖος γὰρ ἦν — ἁπάσης τῆς Βοιωτίας ἐξελασθέντες, τῆς σφετέρας αὐτῶν καταστραφείσης ὑπὸ Θηβαίων πατρίδος, Ἀθήναζε καταφεύγουσι. γέγονε δὲ ἡ τούτων κατὰ Θηβαίων στρατεία διὰ τοὺς φόρους, οὓς Θηβαῖοι Ὀρχομενίοις πολὺν

χρόνον ἐτέλουν. ὡς ὁ Οἰδίπους ἐκπε σ, ὑπὸ Κρέοντος. πληθυντικῶς δὲ εἶπεν αὐξῆσαι θέλων τὰ ἐγκώμια· ὁ δὲ Σώπατρος ταύτην λέγει τὴν ἱστορίαν· ὅτι Ὀρχομένιοι κατὰ Θηβαίων ἐστρατεύσαντο σὺν Ἡρακλεῖ, παρ᾽ ὧν ἡττηθέντες ἐξέπεσον τῆς Βοιωτίας, καὶ Ἀθηναῖοι αὐτοὺς ὑπεδέξαντο. ἐπολέμησαν δὲ πρὸς αὐτοὺς Ὀρχομένιοι, μὴ βουλόμενοι αὐτοῖς ὑπακούειν. Θετταλῶν στασιάσαντες γὰρ ἦλθον Ἀθήναζε.

110,17 ταύτῃ ἤγουν ἐκεῖσε. Ταναγραίων οἱ μεταστάντες οἱ ὑπὸ Δωριέων ἐξελασθέντες Πελοποννήσιοι εἰς Τάναγραν, πόλιν τῆς Βοιωτίας, ἐλθόντες ἐξεῖλον αὐτήν. Ταναγραίοις οὖν τινες εἰς Ἀθήνας κατέφυγον. Τάναγρα, πόλις Βοιωτίας· οὗτοι μὴ ὑπακούοντες Θηβαίοις, ὑπ᾽ αὐτῶν ἐξεβλήθησαν, ὧν ἔνιοι εἰς Ἀθήνας ἐλθόντες ᾤκησαν. Τάναγρα, πόλις Βοιωτίας. τούτους τοὺς Ταναγραίους μὴ βουλομένους αὐτοῖς ὑπακοῦσαι οἱ Θηβαῖοι ἐξέβαλον· οἱ δὲ εἰς τὰς Ἀθήνας ἐλθόντες ᾤκησαν· μέμνηται δὲ τῆς ἱστορίας Ἡρόδοτος, Γεφυραίους τοὺς Ταναγραίους καλῶν· ἡ δὲ ἱστορία πρὸ τῶν Μηδικῶν. Δωριέων Πελοποννήσου κρατησάντων λέγει δὲ τῶν Ἀχαιῶν Δωριέων κρατησάντων τῆς Πελοποννήσου. εἶτα τῶν Δωριέων κατελθόντων καὶ ἐξελαυνόντων ἐκ τῶν αὐτῶν διαφερόντων τόπων τοὺς Ἀχαιούς, πάλιν οἱ Ἀχαιοὶ τοὺς Ἀθηναίους ἐπικαλούμενοι, ἀποίκους, Ἴωνας ἐξήλασαν, καὶ ἔσχον τὰς πόλεις. καὶ οἱ Ἴωνες πάλιν ἦλθον Ἀθήναζε, καὶ ὕστερον ἐπέμφθησαν εἰς τὴν Ἀσίαν. τοῦτο οὖν ἐστιν ὑπὸ τῶν εἰξάντων ἀναστάντες, ὅτι ὑπὸ Ἀχαιῶν τῶν ἐξελαθέντων ὑπὸ Δωριέων οἱ Ἴωνες ἀνέστησαν.

110,18 οὗτοι δ᾽ ἦσαν Ἰωνία πάντες οἱ ἐν Ἰωνίᾳ ἀποικισθέντες, οὓς ἀπηριθμήσατο. Ἰνάρου τελευτήσαντος Μέδων καὶ Νηλεὺς, οἱ ἀδελφοὶ, περὶ βασιλείας, πότερος αὐτὴν λάβοι. ἔχρησεν αὐτοῖς ἐρωτῶσιν, ἔνθα ἂν ὁ σίαλος τὸν σίαλον τρίσαι, πρῶτος τίς τῶν δύο σπείσῃ, ἐκεῖνος λάβῃ καὶ τὴν βασιλείαν. ἀπιόντων τῶν δύο, τῷ Μέδοντι προσεφώνησεν ἡ ἱέρεια τῆς Ἀθηνᾶς ἐπισπεῖσαι. εἶτα ἔφησεν ὁ Μέδων, αὐτοῦ εἶναι τὴν βασιλείαν. ὁ Νηλεὺς ἀντέφησε φάσκων, εἰρηκέναι τὸ τοῦ χρησμοῦ· ἔνθα ἂν ὁ σίαλος τὸν σίαλον τρίβῃ, πρῶτος τῶν δύο σπείσαι, ἐκείνου εἶναι καὶ τὴν βασιλείαν. ὁ Μέδων κατὰ τύχην θεᾶται δύο ἐλαίας, διακεχωρισμένας μὲν ταῖς ῥίζαις, τοῖς δὲ κλάδοις ἐκπεπλεγμένας, καὶ ἐκ τοῦ τρίβειν ἀλλήλας

ἐκβαλούσας τρίσμα. ἐπέγνω τὸν χρησμὸν ὁ Μέδων, καὶ λαμβάνει τὴν βασιλείαν. ἀπιστῶν δὲ ὁ Νηλεὺς τοῦτο εἶναι τὸν σίαλον, ἀπελθὼν εἰς Δελφοὺς ἤρετο τὸν Ἀπόλλωνα, εἰ αὐτὸς εἴη ὁ σίαλος. ὁ δὲ εἶπε τοῦτο εἶναι. ἀκούσας τοῦτο ὁ Νηλεὺς ἠρώτησε, πόλιν ἄρα οἰκήσει. ἔχρησεν οὕτως· Νηλεὺς φράζευ, ὅπως ἀδίκων Καρῶν γένος ἀνδρῶν ἐξελάσας, Ἕλληνας καὶ Ἴωνας ἐγκατοικῆσαι. καὶ τότε λαβὼν τοὺς Ἴωνας τοὺς ἐξελαθέντας καὶ ὑπὸ τῶν Ἀχαιῶν ἐπήγαγεν εἰς τὴν Ἀσίαν.

110,19 τὸ δ' αὐτὸ πρὸς ἀμφοτέρων τῶν αἰγιαλῶν ἐποίησε, τοῦ θ' ἑσπερίου καὶ τοῦ ἑώου ἐπειδὴ προβέβληται ἡ Ἀττικὴ εἰς θάλατταν, ὡς ἔφημεν, ἑῶον καὶ δυτικὸν αἰγιαλὸν ἔχει. ἐκ μὲν τοῦ ἑώου Ἴωνας ὕστερον ἐδέξατο ὑπὸ Περσῶν καταπολεμηθέντας, ἐκ δὲ τοῦ δυτικοῦ Μεσσηνίους καί τινας ἄλλους διά τινα τύχην. αἰγιαλοὺς καλεῖ τὰ τέρματα τῆς οἰκουμένης, οἷον δύσιν καὶ ἀνατολάς. ἀπὸ μὲν ἀνατολῶν ἐδέξαντο ὕστερον τοὺς Ἴωνας ἀδικουμένους ὑπὸ Περσῶν, ἀπὸ δὲ τῶν δυτικῶν Μεσσηνίους καὶ ἄλλους πολλούς.

111,1 ἐκκεχωρηκότα νῦν γένη τῶν Ἑλλήνων οὐ γάρ ἐστι νῦν ταῦτα τὰ γένη, ἀλλ' ὄνομα μόνον αὐτῶν ᾄδεται. ἐκκεχωρηκότα ἀντὶ τοῦ ἐκπεσόντα ἢ ἀφανισθέντα. βούλεται δὲ δεῖξαι ὅτι καὶ βαρβάρους ἡ πόλις ἐδέξατο. ἱστέον δὲ ὅτι τῶν Δρυόπων ἱστορίαν λέγειν οὐκ ἔχομεν, πλὴν ὅτι καὶ αὐτοὶ ἐλθόντες ᾤκησαν εἰς Ἀθήνας. ἡ δὲ τῶν Πελασγῶν αὕτη· λῃσταί τινες ἦσαν οἱ Πελασγοί, οἰκοῦντες περὶ τὰ μέρη τῆς Τυρρηνίας, ὡς Ἡρόδοτος ἐν τῷ α′, οἳ ἐλθόντες κατῴκησαν ἐν Θετταλίᾳ· ἐκδιωχθέντες δὲ ὑπὸ τῶν προσοίκων, ἦλθον εἰς Ἀθήνας, κἀκεῖσε γυναῖκας Ἀττικὰς βιασάμενοι ἔφυγον εἰς Λῆμνον· καὶ νοσοῦσι Λημνίοις ἔχρησεν ὁ θεὸς, μὴ παύσασθαι τὸ κακὸν, εἰ μὴ Πελασγοὺς Λήμνιοι Ἀθηναίοις ἐκδῶσιν· οἱ δὲ ἐξέδωκαν. Δρύοπας ἔθνος.

111,2 Πελασγοὺς λῃσταί τινες ἦσαν οἱ Πελασγοί, οἰκοῦντες περὶ τὰ μέρη τῆς Τυρρηνίας, ὡς Ἡρόδοτος ἐν τῷ πρώτῳ φησὶ, καὶ ἐλθόντες κατῴκησαν εἰς Θετταλίαν· ἐκδιωχθέντες δὲ ὑπὸ τῶν προσοίκων ἦλθον εἰς Ἀθήνας· ὡσαύτως καὶ οἱ Δρύοπες ἐνταυθοῖ κατέφυγον. αἱ γὰρ ἀπ' αὐτῶν ἐπωνυμίαι χῶραι γὰρ ἔνθεν τῇ Ἀττικῇ Δρυοπία καὶ Πελασγία καλούμεναι. τῷ περιληπτικῷ ἐχρήσατο σχήματι· οὐ γὰρ ἀπὸ Δρυόπων ὁ

τόπος ἐν Ἀθήναις προσαγορεύεται, ἀλλ᾽ ἀπὸ μόνων Πελασγῶν, ὡς μαρτυρεῖ Θουκυδίδης, τὸ Πελασγεῖ καὶ Ἄργος εἰπών.

111,3 καὶ σωτηρίας εἰσὶν σύμβολον.

111,6 πόρρωθεν προκηρύττουσα θαρρεῖν πρὸ τοῦ συμφόρῳ τούτους περιπεσεῖν.

111,7 ἀλλ᾽ ἢ πατρίδα μεταλλάξουσιν ἤγουν ἀντὶ τῆς οἰκείας ταύτην πατρίδα αἱρήσονται.

111,8 οἷς ἐκείνοις. μιᾶς μέν γε τῶν τριῶν ἐν Πελοποννήσῳ μοιρῶν διαφθαρείσης, τῆς Μεσσηνίων ἰστέον ὅτι τῆς Πελοποννήσου εἰς τρία μέρη διαιρουμένης ἓν μέρος ἐστὶν ἡ Μεσσήνεια. μιᾶς μέν γε τῶν τριῶν οἱ Ἡρακλεῖδαι, ὅτε ἠθέλησαν κρατῆσαι τῆς Πελοποννήσου, ἐν τῷ αὐτῷ χρόνῳ δύο χρησμοὺς εἰλήφασιν, ὧν ὁ εἷς ἐκέλευε τὸν ἀπαντήσαντα αὐτοῖς ἡγεμόνα ποιῆσαι, ὁ δὲ ἕτερος μεθ᾽ ὧν φάγωσιν, ἐκείνου μὴ πολεμῆσαι. ὡς κατήρχοντο γοῦν, ἀπήντησεν αὐτοῖς ὁ ζῆλος, μετὰ ἑτεροφθάλμου ἡμιόνου. γνόντες δὲ τὸν χρησμὸν οἱ Ἡρακλεῖδαι ἐποίησαν αὐτὸν ἡγεμόνα, ἀποκαταστήσαντες αὐτῷ τὴν πατρικὴν βασιλείαν τοῖς Ἕλλησιν. ἐκβληθεὶς γὰρ ἦν ἐξ αὐτῆς. ἀπιόντων δὲ πάλιν αὐτῶν ἐπὶ τὴν Ἀρκαδίαν, ὁ τῶν Ἀρκάδων βασιλεὺς, ἀκούσας αὐτοὺς ἔρχεσθαι, ἔπεμψέ τινας μετὰ δώρων. εἶτα ἀπήντησαν οἱ Ἀρκάδες τοῖς προδρόμοις τῶν Ἡρακλειδῶν, καὶ ἤρξαντο πωλεῖν αὐτοῖς τινα καὶ συνεσθίειν. μεταξὺ δὲ εἰς στάσιν ἐκινήθησαν. ἐδήλωσεν οὖν αὐτοῖς ὁ βασιλεὺς τῶν Ἀρκάδων ὅτι ἀδικεῖτε πολεμοῦντες τοῖς μεθ᾽ ὑμῶν ἑστιαθεῖσι. καὶ ἀναπολήσαντες τὸν χρησμὸν ἐπαύσαντο, καὶ ἐξελάσαντες Μεσσηνίους ᾤκησαν τὴν αὐτῶν. καὶ οἱ ἀποφυγόντες Μεσσηνίων, καὶ μὴ τῷ πολέμῳ φθαρέντες, Ἀθήνησιν ἀφικνοῦνται. ἄλλως. ἔθος ἦν Λακεδαιμονίοις πέμπειν κόρας ἐν τῇ Μεσσηνίων ἑορτῇ. τινὲς δὲ τῶν Μεσσηνίων τὰς κόρας διέφθειραν. ἐζήτουν εἰς τιμωρίαν τοὺς φθείραντας Λακεδαιμόνιοι. οὐκ ἔδωκαν. ὀργισθέντες οὖν κατέσκαψαν τὴν Μεσσήνην Λακεδαιμόνιοι, καὶ οἱ ἐκφυγόντες τούτους ἐν τῷ πολέμῳ εἰς Ἀθήνας ἔρχονται. οἱ Ἡρακλεῖδαι, ὅτε ἠθέλησαν κρατῆσαι τῆς Πελοποννήσου, ἐν τῷ αὐτῷ χρόνῳ, δύο χρησαμένους εἰλήφασιν, ὧν ὁ εἷς ἐκέλευσε, τὸν ἀπαντήσαντα ἡγεμόνα ποιήσασθαι, ὁ δὲ ἕτερος, μεθ᾽ ὧν

φάγωσιν, ἐκείνοις μὴ πολεμῆσαι. ὡς κατήρχοντο οὖν οἱ Ἡρακλεῖδαι, ἀπήντησεν αὐτοῖς ὁ ὀξύλογος μεθ᾽ ἑτεροφθάλμου ἡμιόνου. γνόντες τὸν χρησμὸν οἱ Ἡρακλεῖδαι ἐποίησαν αὐτὸν ἡγεμόνα, ἀποκαταστήσαντες αὐτῷ τὴν πατρικὴν βασιλείαν τῆς Ἤλιδος. ἐκβληθεὶς γὰρ ἦν ἐξ αὐτῆς ὁ ὀξύλογος. ἀπιόντων δὲ τῶν Ἡρακλειδῶν ἐπὶ τὴν Ἀρκαδίαν, ὁ τῶν Ἀρκάδων βασιλεὺς, ἀκούσας ἔρχεσθαι τοὺς Ἡρακλείδας, ἔπεμψέ τινας μετὰ δώρων. εἶτα ὑπήντησαν οἱ Ἀρκάδες τοῖς προδρόμοις τῶν Ἡρακλειδῶν, καὶ ἤρξαντο αὐτοῖς πωλεῖν τινα καὶ συνεσθίειν. μετὰ δὲ τοῦτο ὁ βασιλεὺς τῶν Ἀρκάδων ἐδήλωσε τοῖς Ἡρακλείδαις ὅτι ἀδικεῖτε πολεμοῦντες τοὺς μεθ᾽ ὑμῶν ἑστιαθέντας. καὶ ἀναπολήσαντες τὸν χρησμὸν οἱ Ἡρακλεῖδαι ἐπαύσαντο, καὶ ἔσχον λοιπὸν τὴν Ἀργολικὴν καὶ Μεσσηνιακὴν καὶ Λακωνικήν. διαφθαρείσης ἔθος ἦν πέμπειν Λακεδαιμονίους κόρους καὶ κόρας ἐν τῇ Μεσσηνίων ἑορτῇ. εἶτα τινὲς τῶν Μεσσηνίων βίᾳ τὰς κόρας διέφθειραν. ἐζήτουν δὲ εἰς τιμωρίαν τοὺς φθείραντας Λακεδαιμόνιοι. οὐκ ἐξέδωκαν. καὶ ὀργισθέντες κατέσκαψαν τὴν Μεσσήνην Λακεδαιμόνιοι.

111,9 μόνη διετήρησε τοὺς λοιποὺς αὐτῶν οἷον τὸ λειπόμενον, καὶ τὸ λείψανον. διπλῆν γὰρ λέγει τὴν εὐεργεσίαν τὸ δέξασθαι καὶ δοῦναι οἴκησιν. λέγει δὲ τὴν Ναύπακτον. δεξαμένη τε καὶ σκεψαμένη τόπους, ἐν οἷς ἔμελλον ἱδρύσεσθαι τὴν γὰρ Ναύπακτον ἔδωκεν αὐτοῖς κατοικεῖν. τὴν γὰρ Ναύπακτον αὐτοῖς ἔδωκεν ἱδρύσεσθαι.

111,10 αὖθις δὲ τοῦ περὶ Βοιωτίαν πάθους πλησίον Βοιωτίας ἡ Πλάταια, ἣν πολιορκοῦντες μετὰ Θηβαίων Λακεδαιμόνιοι, ὡς Θουκυδίδης ἐν τῇ τρίτῃ τῶν ἱστορικῶν φησι, καὶ πάσῃ χρώμενοι μηχανῇ μόλις κατέσκαψαν. πρὶν δὲ τῆς κατασκαφῆς ἄνδρες τινὲς τῶν Πλαταιέων νυκτὸς ὑπερβάντες τῷ τείχει, καὶ λαθόντες τὸ τῶν πολεμίων στράτευμα Ἀθήναζε παρεγένοντο, οὓς καὶ πταίσαντας λέγει ἤγουν δυστυχήσαντας. ἡ ἱστορία ἐν τῇ γ′ Θουκυδίδου. ὅτι Θηβαῖοι κατέσκαψαν Πλάταιαν μετὰ Λακεδαιμονίων. τοὺς δὲ νύκτωρ ἐξελθόντας λέγει τῶν Πλαταιῶν, καὶ ὑπερβάντας τὰ τείχη. τὸ δὲ αὖθις εἶπε διὰ τὸν Οἰδίπουν.

111,11 ἐνευτυχῆσαι ἐνευτυχῆσαι λέγει, ἐπειδὴ ἐν ταύτῃ Παυσανίας μετὰ τῶν Ἑλλήνων τὸ τοῦ Πέρσου πεζὸν διώλεσε. τουτέστιν ἐν ταύτῃ εὐτυχῆσαι.

λέγει δὲ τὴν τελευταίαν μάχην τὴν γενομένην ἐν Πλαταιᾷ τῶν Περσῶν. παρ᾽ ἀξίαν δὲ, ὅτι πόλιν, ἐν ᾗ νενικήκασι, ταύτην ἀνεῖλον. ἀπροσδοκήτως δὲ εἶπεν, ἐπειδὴ οὐκ ἤλπιζον ὅτι ἀπὸ Περσῶν σωθεῖσα ὑπὸ Θηβαίων ἀπολεῖται· καὶ τὸ παρ᾽ ἀξίαν δὲ, ὅτι τοὺς βαρβάρους νικήσασα ὑπὸ Ἑλλήνων κατέσκαπται.

111,12 ἀπροσδοκήτως οὐ γὰρ ἤλπιζεν ἀπὸ Περσῶν σωθεῖσα ὑφ᾽ Ἑλλήνων κατεσκάφθαι. παρ᾽ ἀξίαν τὸ παρ᾽ ἀξίαν λέγει, ἐπειδήπερ ἀντὶ τοῦ χάριν αὐτῇ διδόναι, ὧν ἐν ταύτῃ κατώρθωσαν, παρεστήσαντο.

111,13 ἐξήκει ἐξῆλθε τοῦ Ἑλληνικοῦ καταλόγου. ἐξῆλθε τῶν Ἑλλήνων, ἤτοι ἀπώλετο. ἀντὶ τοῦ ἀπώλετο· λέγει δὲ οὐ μόνον τῆς Ἑλλάδος, ἀλλὰ καὶ τοῦ βίου παντός. εὐφήμως δὲ εἶπε τὸ ἐξήκει, ἀντὶ τοῦ διεφθάρη καὶ ἀπώλετο· τὸ γὰρ παρεληλυθὸς δοκεῖ οἴχεσθαι, καὶ κειμένειν ἐστί.

111,14 μετὰ καλοῦ τοῦ σχήματος ἀξιώματος. σχῆμα λέγει τὸ ἀξίωμα, ὅτι Ἀθηναῖοι αὐτοὺς ἀνέγραψαν.

111,15 τὸ μνημεῖον τὴν μνήμην. ὥσπερ εἰκὸς ἦν ποιῆσαι.

111,16 τῶν ἐκεῖ φανερῶν προυχόντων. πάλιν τοίνυν Θηβαίων κακῶς ἐξ Ἀκάνθου καὶ Ἀπολλωνίας ἐπέμφθησαν πρέσβεις πρὸς Λακεδαιμονίους, φάσκοντες ὡς οἱ Ὀλύνθιοι ποιοῦνται συμμαχίαν παρ᾽ Ἀθηναίων ἐπὶ τὸ καταλαβεῖν τὰς Χαλκιδικὰς πόλεις. ἀκούσαντες τοῦτο Λακεδαιμόνιοι, καὶ βουλόμενοι κωλύειν, τὴν μὲν εὐπρεπῆ δύναμιν ἔπεμψαν δι᾽ Εὐδάμου, ὕστερον δὲ διὰ τοῦ ἀδελφοῦ αὐτοῦ ἀπέστειλαν τὴν λοιπήν· κατ᾽ ἐκεῖνο καιροῦ ἐν Θήβαις ... ἀλλήλοις Ἰσμηνίας δὲ καὶ Λεοντιάδης· ἀπερχομένου τοῦ Φοιβίδου διὰ Θηβαίων ἐπὶ τὴν Ὄλυνθον, μήτε τῶν ἄλλων ἀπαντησάντων, μήτε Ἰσμηνίου ὁ Λεοντιάδης μόνος ὑπήντησε, καὶ ἤρξατο πείθειν αὐτὸν ἐπὶ τῷ καταλαβεῖν τὴν Καδμείαν, ἀναμιμνήσκων παλαιᾶς ἔχθρας πρὸς Λακεδαιμονίους. καὶ πεισθεὶς ὁ Φοιβίδας καταλαμβάνει τὴν ἀκρόπολιν, καταστήσας ἐν αὐτῇ τυράννους τοὺς περὶ Ἀρχίαν καὶ φρουράν. τῶν γοῦν τυράννων κακῶς χρωμένων τοῖς Θηβαίοις, ἔφυγον πολλοὶ τούτων ἐν Ἀθήναις· ὧν ἦσαν καὶ οἱ περὶ Μέλωνα· ὅστις Μέλων ἐλθόντι τῶν τυράννων ὑπηρέτῃ, Φυλίδᾳ, ἐν τῇ Ἀττικῇ συνετάξατο, ὅτι, ἐὰν θέλωσιν οἱ περὶ Ἀρχίαν πρὸς συνουσίαν

γυναῖκας, ἐμοὶ τοῦτο λέγειν· οἶδα γάρ τινας ἐλευθέρας, βουλομένας τὴν μετὰ τούτων μίξιν. ὁ δὲ Φυλίδας κελευσθεὶς παρὰ τῶν τυράννων ἐνεγκεῖν τὰς γυναῖκας, εἶπε τῷ Μέλωνι. καὶ ὃς γενομένης ἑσπέρας, καὶ μεθυσθέντων τῶν τυράννων, πέμπει ὡπλισμένους ἄνδρας Ἀθηναίους, γυναικείαν περιβεβλημένους στολήν. ἀποδυθέντες οὖν οἱ τύραννοι πρὸς τούτοις συγκαθευδῆσαι, ἀποσφάττονται ὑπ᾽ αὐτῶν, καὶ σύρονται δι᾽ ὅλης τῆς πόλεως ἐν τῇ νυκτὶ, καὶ οὕτω συνέβη ἀνῃρῆσθαι τοὺς τυράννους. ἀπελθόντες δὲ καὶ πρὸς τὸν Λεοντιάδην ἀνέκρουον τὴν θύραν, καὶ ὃς μηδὲν τῶν γινομένων εἰδὼς κατῆλθε, καὶ φονεύεται παρ᾽ αὐτῶν. ἐξ Ἀκάνθου καὶ Ἀπολλωνίας ἐπέμφθησαν πρέσβεις πρὸς Λακεδαιμονίους, φάσκοντες τοὺς Ὀλυνθίους ποιεῖσθαι ἑαυταῖς συμμαχίαν, ἐπὶ τῷ καταλαβεῖν τὰς Χαλκιδικὰς πόλεις. ἀκούσαντες τοῦτο οἱ Λακεδαιμόνιοι τὴν μὲν εὐτρεπῆ δύναμιν ἔπεμψαν δι᾽ Εὐδαμίδα, ὕστερον δὲ διὰ Φοιβίδου, τοῦ ἀδελφοῦ αὐτοῦ, ἀπέστειλαν τὴν λοιπήν. καὶ κατ᾽ ἐκεῖνο καιροῦ ἐν Θήβαις ἀντεπολιτεύοντο ἀλλήλοις Ἰσμηνίας καὶ Λεοντιάδης. ἀπερχομένου δὲ τοῦ Φοιβίδου διὰ Θηβαίων ἐπὶ τὴν Ὄλυνθον, τῶν ἄλλων μὴ ἀπαντησάντων, μήτε μὴν Ἰσμηνίου, ὁ Λεοντιάδης μόνος ὑπήντησεν· εἶτα ἤρξατο πείθειν αὐτοὺς, ἐπὶ τῷ καταλαβεῖν τὴν Καδμείαν, ἀναμιμνήσκων αὐτοὺς καὶ παλαιᾶς ἔχθρας Θηβαίων πρὸς Λακεδαιμονίους. τὸ δὲ τέλος ὁ Φοιβίδας καταλαμβάνει τὴν ἀκρόπολιν, καταστήσας ἐν αὐτῇ τοὺς τυράννους τοὺς περὶ Ἀρχίαν καὶ φρουράν· τῶν δὲ τυράννων κακῶς χρωμένων τοῖς Θηβαίοις, ἔφυγον πολλοὶ τῶν Θηβαίων Ἀθήνησιν, ὧν ἦσαν καὶ οἱ περὶ Μέλωνα· ὅστις Μέλων ἐλθόντος Φιλίδα ἐν τῇ Ἀττικῇ τῶν τυράννων ὑπηρέτῃ συνετάξατο, ὅτι, ἐὰν θέλωσιν οἱ περὶ Ἀρχίαν πρὸς συνουσίαν γυναῖκας, προσκαλεῖν ἡμᾶς, καὶ λέγειν ὅτι τινὲς ἐλεύθεραι ἦσαν, καὶ οὐκ ἐθέλουσιν, ὥστε καὶ τὸ πρᾶγμα γινώσκεσθαι· ὁ δὲ Φιλίδας κελευσθεὶς παρὰ τῶν τυράννων ἐνεγκεῖν τὰς γυναῖκας εἶπε τοῦτο. εἶτα, φησὶ, γενομένης ἑσπέρας, πέμπει ὁ Φιλίδας τοὺς τούτων οἰκέτας εἴς τινα οἰκίαν φίλου μετὰ ἀνθρώπου· καὶ δὴ, φησὶν, εἰσῆλθον οἱ περὶ Μέλωνα, γυναικείαν στολὴν περιβεβλημένοι, καὶ τὰς ὄψεις ὡσαύτως δή τινες γυναῖκες γινόμενοι. εἶτα εἰσελθόντων τούτων καὶ ἀποδυσαμένων πρὸς τὸ τούτοις συγκαθεύδειν, ἐγένετο ἡ σπουδή. φονεύσαντες δὲ τοὺς

τυράννους, ἔσυρον αὐτοὺς δι᾽ ὅλης τῆς πόλεως ἐν τῇ νυκτί. καὶ οὕτω συνέβη ἀνῃρῆσθαι τοὺς τυράννους. ἀπελθόντες δὲ καὶ πρὸς τὸν Λεοντιάδην οἱ περὶ Μέλωνα καὶ Φιλίδαν ἀνέκρουον τὴν θύραν. ὁ Λεοντιάδης νομίσας τοὺς ὑπὲρ τῶν τυράννων δεσμευθέντας μὴ ἥκειν, κατῆλθε, καὶ φονεύεται παρ᾽ αὐτῶν.

111,19 Πλαταιέας δεύτερον ἐξοικισθέντας δεύτερόν φησιν ἠτυχηκέναι τοὺς Πλαταιέας, τὸ μὲν πρῶτον ὑπὸ Λακεδαιμονίων καὶ Θηβαίων ἐν τῷ Πελοποννησιακῷ, τὸ δὲ δεύτερον ὑπὸ Θηβαίων μετὰ τὴν ἐπὶ Ἀνταλκίδου. ἐν γὰρ ταῖς σπονδαῖς ταύταις ἦν δοχεῖον τοῦ μὲν βασιλέως, ἔχειν ὑπ᾽ αὐτὸν πᾶσαν τὴν Ἀσίαν καὶ Ἀμαζόνας, καὶ τῶν νήσων τὴν Κύπρον, τὰς δὲ λοιπὰς πόλεις καὶ μικρὰς καὶ μεγάλας αὐτονόμους εἶναι. τότε οὖν οἱ Θηβαῖοι μὴ βουλόμενοι μετέχειν τοὺς Πλαταιέας τοῦ συνεδρίου κατέσκαψαν αὐτούς.

112,2 τοὺς ἐκ Κορίνθου, καὶ Θάσου, καὶ Βυζαντίου τούτων τῶν τριῶν μέμνηται Δημοσθένης φανερῶς ἐν τοῦ πρὸς Λεπτίνην· Κορινθίων μὲν, ὅτι ἐδέξαντο ἐν τῷ τείχει τοὺς Ἀθηναίους στρατιώτας· Θασίων δὲ διὰ τὸν Ἔκφαντον· Βυζαντίων δὲ διὰ Ἀρχέβιον καὶ Ἡρακλείδην. Θάσος δὲ νῆσος τῆς Θράκης. ταύτην Λακεδαιμόνιοι μετὰ τὸν Πελοποννησιακὸν ᾠκειώσαντο, πάσης τῆς Ἑλληνικῆς θαλάσσης ἄρξαντες. Θάσιοι δὲ τὴν βίαν αὐτῶν μὴ φέροντες, δι᾽ Ἐκφάντου τοῦ ἰδίου στρατηγοῦ αὐτῶν, πρὸς Θρασύβουλον, τὸν τῶν Ἀθηναίων στρατηγὸν, ἐπρεσβεύσαντο, περὶ τὴν Θρᾴκην τότε ὄντα· ὁ δὲ εἰσελθὼν τῶν Λακεδαιμονίων ἐξέβαλε φρουρὰν, ἣν κατέστησεν ἐκεῖσε.

112,3 τοὺς ἐκ τῶν νήσων καταφυγόντας ἐνταῦθα. οὐ λέγει τῶν Κυκλάδων, ἀλλὰ πασῶν. εἰ δέ τις εἴποι, τί οὖν, ἡ Θάσος οὐκ ἔστι νῆσος, λέγομεν, ἄνω μιᾶς μόνης μνησθεὶς, ἐνταῦθα περὶ πασῶν βούλεται εἰπεῖν. πρὸς τὴν ἁπάντων τύχην ἁμιλλωμένη ἠγωνίζετο γὰρ, ὅπως, οὓς ἂν ἐκείνη καθέλῃ, αὐτῇ ἀνορθώσῃ.

112,4 ἐπὶ θάτερα ἐπὶ τὰ ἐναντία. ἀντὶ τοῦ εἰς εὐτυχίαν. εἰ δὲ τὸ ἐπὶ θάτερα δηλοῖ τὰ ἐναντία τῶν καλῶν, ὅ ἐστι φαῦλα, ἐνταῦθα τὴν λέξιν ἐπὶ καλοῦ εἴληφεν.

112,5 τὴν παροιμίαν ἐνήλλαξεν Σοφοκλέους ὃν ἐν Οἰδίποδι τοῦτο εἰς παροιμίαν ἐπεκράτησε. τὸ φίλου κακῶς πράξαντος, ἐκποδὼν φίλοι.

112,6 πολλοὺς καὶ τῶν πρόσθεν διαφόρων ἐχθρῶν. πρὸ γὰρ τῶν Θηβαίων κατασκαφῆς Ὄλυνθον ὁ Φίλιππος εἶλεν· οὕτω καὶ Δημοσθένης· Ὄλυνθον μὲν δὴ καὶ Μεθώνην, καὶ δύο καὶ τριάκοντα πόλεις.

112,7 κακῶς δ' ἀπαλλάξαντας ἤγουν ἀπαλλαγέντας τῆς εὐτυχίας. τῇ τύχῃ ἀντὶ τοῦ πρὸς τὴν τύχην οὐ ῥυθμιζομένους τῶν ἄλλων. εὐφήμως δὲ πάλιν τύχην, τὴν συμφοράν. τῇ τύχῃ μετροῦσα τὴν φιλανθρωπίαν ἤγουν μέχρις ἂν ἐκείνη εἴη τούτοις φιλάνθρωπος καὶ αὐτή.

112,8 τοῖς πολλοῖς αἰνίττεται εἰς τοὺς Ἡρακλείδας, ὅτι τέσσαρας αὐτοῖς δέδωκε πόλεις.

112,9 ὧν, ὅτε κάλλιστα ἔπραττον, οὐδ' ἐλπὶς ἦν αὐτοῖς οὐκ ἤλπιζον γὰρ τῆς τῶν Ἀθηναίων μετέχειν πολιτείας.

112,10 ἐν ἅπασι τοῖς τῆς χρείας καιροῖς ἤγουν ὅτε φιλανθρωπίας ἔχρῃζον.

112,12 τὴν ἐπιτηδειότητα τὴν οἰκειότητα καὶ ὁμόνοιαν. τὴν οἰκειότητα, τὴν ὁμολογίαν.

112,13 οἷς αὐτὴ παρ' αὐτῆς ἀπέστειλεν τῷ σίτῳ, καὶ τοῖς ἄλλοις, ἃ παρ' Ἀθηναίων ἐκασταχοῦ γέγονεν. ἀλλὰ καὶ τοῦ τοὔδαφος παρέχειν νῦν θέλει δεῖξαι τὴν πόλιν πρεσβυτάτην οὖσαν τῶν ἄλλων πόλεων, οὐ μόνον τῷ πρώτην γενέσθαι, ἀλλὰ καὶ τῷ δέχεσθαι καὶ σώζειν τοὺς δυστυχοῦντας.

112,15 ἓν μὲν οὖν τοῦτο τοιοῦτο καὶ τοσοῦτον εἶδος εὐεργεσίας τὴν ὑποδοχὴν λέγει. μεταβαίνει δὲ λοιπὸν ἐπὶ τὴν ἀποικίαν ἀκολούθως. ἔδει γὰρ πρῶτον ὑποδέξασθαι, εἶτα ὡς μὴ χωρούσης τῆς Ἀττικῆς ἀποικίσαι. τοῖς προϋπηργμένοις ἤγουν τῇ τοῦ σίτου δόσει καὶ τῶν ἄλλων.

112,16 μεγέθους χάριν οὐ λείπεται ἤγουν οὐκ ἔλαττόν ἐστιν, ἀλλ' ἐξισοῦται τούτοις τῷ μεγέθει.

112,17 τὸν κοινὸν τῶν Ἑλλήνων ἐξηγητὴν πᾶσι γὰρ ἀνθρώποις τὰς μαντείας ἐκφαίνει. πᾶσι γὰρ ἀνθρώποις τὰς μαντείας ἐμφαίνει. ἐρωτῶσι δὲ καὶ τοῖς Ἀθηναίοις, τί δεῖ περὶ τῶν καταφευγόντων ποιῆσαι, ἔχρησεν ὡς δεῖ ἀποικίας τούτων ποιῆσαι. βούλεται εἰπεῖν ὅτι οὐκ ἄνευ μαντείας οὐδὲ γνώμης τοῦ Ἀπόλλωνος τὰς ἀποικίας ἐποιεῖτο. ἐξηγητὴν δὲ καλεῖ τὸν διδάσκαλον. ἑαυτῇ δὲ πατρῷον πατρῷος ὁ Ἀπόλλων Ἀθηναίοις. ἀπὸ γὰρ Κρεούσης καὶ Ἀπόλλωνος Ἴων, ἐξ οὗ Ἴωνες.

112,18 ἐξήγαγε πανταχῆ γῆς πρῶτον εἰπὼν καθόλου τὸ πανταχῆ προϊὼν μερίζει. τὸ Ἑλληνικὸν γένος. τὴν αὐτὴν φυλακὴν ἅμα καὶ προσθήκην τῷ γένει ποιουμένη οἱ γὰρ ἀποικισθέντες καὶ φυλακὴ τῆς παλαιᾶς ἦσαν Ἑλλάδος καὶ προσθήκη. προσθήκην καλεῖ τὴν αὔξησιν. ἀκολουθεῖ δὲ τῇ αὐξήσει καὶ ἡ φυλακὴ, ἥτις ἐστὶν ἡ ἀσφάλεια. ἔνθα γὰρ πλῆθος, ἐκεῖ καὶ ἀσφάλεια.

112,19 καὶ πρῶτον μὲν τὴν ἐπικειμένην ἐκάθηρε θάλατταν τὸν Αἰγαῖον λέγει, καὶ τὰς νήσους τὰς ἐν αὐτῷ. ἐπικειμένην δὲ λέγει τὴν γείτονα. γειτονιάζει γὰρ τὸ Αἰγαῖον πέλαγος, ὡς αὐτῆς ὄν. ἐκάθηρε δὲ τοῦ λῃστικοῦ, ὅ ἐστιν ἡμέρωσε. καὶ ὁ Θουκυδίδης ἐν τῇ πρώτῃ. εἰρηκὼς δὲ τὸ ἔοικα οὐ τὸ πρῶτον, ὥσπερ ἐλάβετο ἑαυτοῦ. ἀλλ᾽ ἐρεῖ τις ὅτι καλῶς εἶπε πρὸ τῆς ἀποικίας τὴν κάθαρσιν· πρῶτον γάρ τις καθαίρει, εἶτα ἀποικίζει. λέγομεν οὖν ὅτι χρόνος ἐστὶν ἀντὶ χρόνου· ἵν᾽ ᾖ· ἔοικα δὲ οὐ τὸ πρῶτον εἰρηκέναι, ἐπεὶ ἐναντίον εὑρίσκεται. πρὶν γὰρ εἰπεῖν τὸ ὅτι ἐκάθηρε τὴν ἐπικειμένην θάλατταν, εἶπε· προσλαβοῦσα γὰρ τὸν Ἀπόλλωνα ἐξήγαγε πανταχῆ γῆς· ὅπερ ἐστὶ τῇ τάξει δεύτερον· πρῶτον γὰρ ἐκάθηρεν, εἶτα καὶ ἀπῴκισεν. ἡ δὲ σύνταξις οὕτως· πρῶτον μὲν γὰρ τὴν ἐπικειμένην ἐκάθηρε θάλατταν, καὶ τῆς Ἑλλάδος ὥσπερ λήμην ἀφείλετο. λήμην δὲ καλεῖ τὴν ἀκαθαρσίαν· ὥσπερ γὰρ ἡ λήμη ἐμποδίζει τῷ ὀφθαλμῷ ὁρᾶν, οὕτω καὶ τὸ λῃστικὸν ταῖς ἀποικίαις. τὴν ἐπικειμένην πλησιάζουσαν. τὴν ἐπικειμένην ἐκάθηρε θάλατταν τὸν Αἰγαῖον· ἐν γὰρ τούτῳ ἡ Ἀττική. ἔοικε δὲ οὐ τὸ πρῶτον λέγειν τῶν ἔργων πρῶτον γὰρ ἦν ἡ ὑποδοχὴ, εἶτα καὶ τὸ καθᾶραι τοὺς ἐπικειμένους βαρβάρους, ἵνα τὰς ἀποικίας ποιήσηται· ἢ τοῦτο λέγει, δεικνὺς ὅτι μετὰ πολλὰ ἕτερα ἔργα καὶ τὴν τῶν Καρῶν ἐποιήσατο κάθαρσιν.

112,20 ὥσπερ λήμην φθοράν. τοὺς ἐπὶ τῶν προθύρων ὀχληροὺς, ἀναστήσασα τὰς γὰρ περὶ τὴν Ἀττικὴν νήσους Κᾶρες οἰκοῦντες, καί τινες ἄλλοι, ἐλῄστευον τοὺς περιπλέοντας.

113,1 τὸ λῃστρικὸν ἅπαν καὶ βαρβαρικὸν Ἕλληνας Κρῆτας καλεῖν οὐκ ἀνέχεται, ὅτι τρόπον ἐζήλωσαν βάρβαρον, καὶ τῇ πράξει τὸ γένος ἠρνήσαντο. καὶ καταναγκάσασα ὡς πορρωτάτω τῆς Ἑλληνικῆς παραλίας καὶ τῶν εἴσπλων ἀποχωρῆσαι ἐζήτηται, πῶς τοῦ Μίνωος ἐκβαλόντος τοὺς λῃστὰς αὐτὸς Ἀθηναίους λέγει; φαμὲν ὅτι πρῶτον ὁ Μίνως τοὺς Κᾶρας ἐξήλασεν, ὕστερον δὲ τῶν Κρητῶν οὐδὲν ἧττον λῃστευόντων, Ἀθηναῖοι τούτους ἐξέβαλον.

113,2 ἐξ ὧν ἤγουν ἐκ τοιαύτης καθάρσεως.

113,3 βεβαίως ἀσφαλῶς, ἀφόβως. καὶ διὰ τῶν ἡμερωτάτων τοῦτο οὕτω συντάσσεται· καὶ διὰ τῶν ἡμερωτάτων ὑπῆρξε πλεῖν τὸν Αἰγαῖον, ἀμείβοντας ἔστιν ὅπου τοῦ Αἰγαίου βούλεταί τις, ὥσπερ ἐν ἠπείρῳ, νήσου μιᾶς ἔστιν ἀμείβειν, σύνδυο· καὶ σύντρεις πόλεις, ὥσπερ κατὰ γῆν πορευόμενοι νήσους ἀπ᾽ ἄλλης εἰς ἄλλην πόλιν χωροῦμεν, καὶ οὐδέν ἐστι τὸ κωλύον, οὕτω καὶ τὸ τοῦ Αἰγαίου πέλαγος ἄβατον ὂν πρόσθεν διὰ τοὺς ἐνοικοῦντας λῃστὰς, καθαρθὲν ὑπ᾽ Ἀθηναίων ἄδειαν πᾶσι παρέσχε πλεῖν, ὅποι βούλονται. διὰ τῶν ἡμερωτάτων τὸν Αἰγαῖον ὑπῆρξε πλεῖν ἐπειδήπερ Ἕλληνες ἀντὶ λῃστῶν τὰς νήσους ᾤκησαν. σύνδυο καὶ σύντρεις ἀμφότερα ταῦτα οἱ Ἀττικοὶ προπαροξυτόνως ἔχουσιν.

113,4 ἔστιν οὖν γράφεται ἔστιν ἦ. ὥσπερ, φησὶ, νῆσος ἔχουσα τρεῖς πόλεις ἐν ἑαυτῇ, οὕτως οὖν ἀκινδύνως καὶ ἀφόβως ἀμείβειν καὶ ἐναλλάττειν τρεῖς πόλεις περιόντα καὶ πλέοντα. τὸ δ᾽ ἔστιν ᾗ οὐ κατὰ τὰς πόλεις εἴρηται, ἀλλὰ πρὸς τὸ ἡμετέρως πλεῖν. εἶπε δὲ ἔστιν οὖ. οὐ γὰρ ἐπὶ πασῶν τῶν νήσων τοῦτο γίνεται. ἐπειδὴ δὲ τῶν λῃστῶν ἐν τῇ γῇ ὄντων τῶν νήσων, καὶ τοὺς πλέοντας ἐπιτηρούντων καὶ λῃστευόντων, οὐκ ἦν οὔτε βραχὺ πλεῦσαι ἀσφαλῶς, θέλει εἰπεῖν ὅτι, τῶν Ἀθηναίων τοὺς λῃστὰς ἐκβεβληκότων, οὕτως ἦν λοιπὸν ἀδεῶς πλεῖν, ὥστε καὶ δύο καὶ τρεῖς πόλεις θαρρούντως ὑπεμβαίνειν πλέοντα καὶ μὴ καθαίρειν. ὃν τρόπον πόρρω τις ὢν τῆς θαλάττης, καὶ βουλόμενος πλεῦσαι, τέσσαρας καὶ πέντε

πόλεις ἔρχεται πεζῇ ἐπὶ τῷ φθάσαι εἰς τὴν παραθαλασσίαν. τινὲς δὲ ἄλλως ἐξηγήσαντο· ὅτι εἰρήνης οὔσης, ὥσπερ ἦν πλείους πόλεις διοδεύεσθαι ἐν ἠπείρῳ, οὕτω ἦν καὶ μίαν νῆσον ἔχουσαν ἐν αὐτῇ τρεῖς πόλεις πλέεσθαι τότε· τότε γὰρ παυσαμένης τῆς λῃστείας καὶ πλησίον ἀλλήλων τὰς πόλεις ἔκτιζον· οὐ γὰρ ὑπῆρχον, ὥσπερ πρώην, ἐπαναστάσεις. οὗ ὅπου.

113,5 τὰς ἐπικειμένας τῇ Πελοποννήσῳ νήσους ᾤκισε ἔκ τε τῶν δυτικῶν καὶ ἀνατολικῶν μερῶν. ἢ ἐκ τῆς ἀποικίας καὶ τῆς καθάρσεως. τοὺς ἑσπερίους τόπους ἑσπερίους τόπους καλεῖ τὴν Σικελίαν καὶ Ἰταλίαν, τὰς περὶ τὴν Πελοπόννησον νήσους. ταῦτα γὰρ ἑσπέριά ἐστι, Κεφαληνία καὶ Ζάκυνθος.

113,6 διχόθεν τὰς ἐν αὐτῇ νήσους, καὶ ἐξ ὧν πρὸς Πελοπόννησον ᾤκισε. τὸ διχόθεν λέγει, ἢ ὡς ἐντὸς ἔφημεν, ἢ ἐξ ὧν τε τοὺς βαρβάρους ἐκάθηρε, καὶ ἐξ ὧν ᾤκισεν. καὶ ἐξ ὧν τὰς ἐν αὐτῇ νήσους, καὶ ἐξ ὧν τὰς πρὸς Πελοπόννησον ᾤκισε. ὡς πρὸς τὸ Αἰγαῖον καὶ τὰς ἑσπερίους νήσους, ὅ ἐστιν ἐξ ἑκατέρας τῆς θαλάσσης, ἀπὸ τῶν Κυκλάδων, Κεφαληνίας.

113,7 ὥσπερ λιμέσι κλειστοῖς οὓς χειροποιήτους διὰ τειχῶν περὶ τὰς πόλεις ποιοῦνται. εἰσὶ γὰρ λιμένες κλειόμενοι περὶ τὰ στόματα. μέχρι τῆς ὑπερορίας ὑπερόριος γὰρ τῆς Ἑλλάδος ὁ ἐν Ἀσίᾳ ὅρος.

113,8 διεβίβαζεν εἰς τὴν Ἀσίαν καὶ τὴν Ἰωνίαν αἰνίττεται. τὰς πολλὰς καὶ μεγάλας ἀποικίας πόλεις γὰρ δώδεκα ᾤκισεν ἐν Ἀσίᾳ. δώδεκα πόλεις ἀπῴκισαν. καλῶς δὲ εἶπεν, ὡς μίαν οὖσαν τῇ φύσει· ἐπειδὴ μερίζουσι τὴν γῆν εἰς Ἀσίαν καὶ Εὐρώπην.

113,9 συνάπτουσα τὴν γῆν, ὡς μίαν οὖσαν τῇ φύσει ἡ αὐτὴ γὰρ πανταχοῦ ἐστιν, εἰ καὶ θαλάσσῃ καὶ ποταμοῖς διῄρηται, καὶ ἡ μὲν Ἀσία, ἡ δὲ Εὐρώπη, ἡ δὲ Λιβύη καλεῖται. οὐ κεχωρισμένα ἀλλ᾽ ἡνωμένα. τὸ οὐ κεχωρισμένα οὕτω νόει· συνάπτουσα καὶ τὰ πέραν τῆς Ἑλλάδος οὐ κεχωρισμένα. ἤγουν συνῆψε τοῖς γένεσι τὰ ἀχώριστα καθὸ γῆ, ἵν᾽ εἴη ταυτὸν τῷ μίαν οὖσαν τῇ φύσει. τὸ ἀντίπρωρον δὲ εἰκότως εἶπε. ὥσπερ γὰρ τὸ ἔμπροσθεν τῶν νεῶν ἡ πρώρα ἐστὶν, οὕτω καὶ ἡ τῆς Ἑλλάδος ἀρχὴ δίκην πρώρας οὖσα ἀντικρὺ ἔχει οἰκοῦντας τοὺς Ἴωνας· τὸ δὲ εἰ

οἷόν τ᾽ εἰπεῖν λέγει διὰ τὴν τῆς λέξεως παράχρησιν. οὐ κεχωρισμένα κατὰ κοινοῦ τὸ ὥσπερ· ἵν᾽ ᾖ· ὥσπερ οὐ κεχωρισμένα. ἕως κατεσκεύασε— Ἑλλάδι τῇ παλαιᾷ τὸ γὰρ παραθαλάσσιον μέρος τῆς Ἀσίας ἔκτισεν. ἀντίπρωρον δὲ ἀντιπρόσωπον. καταντικρὺ γάρ ἐστι τῆς παλαιᾶς Ἑλλάδος. καλῶς δὲ εἶπε τὸ εἰ οἷόν τε ἐπειδὴ ἐπὶ νεῶν λέγεται ἀντίπρωρον.

113,10 εἰ οἷόν τ᾽ εἰπεῖν ὥσπερ. μεγάλῃ μὲν αὔξουσα μοίρᾳ τὰ ὑπάρχοντα τοῖς Ἕλλησι εἰς τὸ Μηδικὸν αἰνίττεται, ἔνθα συνεμάχησαν αὐτοῖς οὐ Ἴωνες, πρότερον ὄντες μετὰ τῶν βαρβάρων· ἢ ὅτι ἄνω αὐτοὺς κατέχει τοὺς βαρβάρους κωλύουσα ἀπελθεῖν.

113,11 μέγα δ᾽ εἰς ἀσφάλειαν προϊδοῦσα τὴν κοινὴν, ὡς ἔδειξεν ὁ μέλλων χρόνος εἰ μὴ γὰρ οὕτως εἶχεν ἡ Ἑλλὰς, τάχ᾽ ἂν ἐπὶ τοῦ Πέρσου τὰ τῶν Ἑλλήνων ὀλώλει πράγματα. εἰς ἀσφάλειαν ὅπερ εἶπε προσθήκην καὶ φυλακὴν, τοῦτο πάλιν μετέβαλεν.

113,12 κάλλιστον δὲ κόσμον ἀμφοτέρῳ τῷ γένει περιθεῖσα τὸ κάλλιστον κόσμον ἀμφοτέρῳ τῷ γένει λέγει, ἀντὶ τοῦ καὶ τοὺς ἐν τῇ Ἀσίᾳ κατοικισθέντας καὶ τοὺς ἄλλους Ἕλληνας ἐκόσμησε, τοὺς μὲν ὅτι προεβάλλετο αὐτῶν ἄλλους εἰς φυλακὴν καὶ ἀσφάλειαν, πολλούς τε ὄντας τὸ πλῆθος, εἰς τοιοῦτον ἱδρυμένους τόπον, εἰς ὃν ἔδει τοὺς τῆς Ἑλλάδος ἱδρυθῆναι φύλακας, τοὺς δὲ ἐν τῇ Ἀσίῳ, ὅτι πολλοί τινες ἀπῳκίσθησαν, καὶ οὐκ ὀλίγοι· τοῦτο γὰρ εἶχεν ἂν αὐτοῖς ἀτιμίαν, καὶ ὅτι εἰς φυλακὴν τῆς Ἑλλάδος προυτάχθησαν, καὶ ὅτι πᾶσι τούτοις κἀκείνοις τὸ τῆς ὁμονοίας καλὸν ἔδειξαν· εἰ μὴ γὰρ ὁμόνοιαν εἶχεν ἡ πόλις πρὸς ἑαυτήν τε καὶ τὸ Ἑλληνικὸν, οὐκ ἂν αὐτούς τε καταρχὰς ἐδέχετο, καὶ ταυτασὶ τὰς ἀποικίας εἰς φυλακὴν τοῦ γένους ἐστείλατο. τῇ Ἀσίᾳ λέγει καὶ τῇ Εὐρώπῃ· κόσμον δὲ τὸ κάλλος. κόσμος γὰρ τῆς γῆς, ὥσπερ εἶπεν, ὁ ἄνθρωπος. καίριον δὲ τῷ θέσιν τὴν καλὴν, καὶ τὸ εἰς εὐαέρους τόπους ἀποικῆσαι. τῷ πλήθει ἕνεκα τῶν οἰκισθέντων. τῶν ἐγκατοικισθέντων.

113,13 τὴν εὔνοιαν λέγει δὲ ὅτι ἡ ὁμόνοια αὐτῶν πολλῶν γέγονεν αἰτία καλῶν τοῖς Ἕλλησι. διὰ γὰρ τὸ ὁμονοεῖν ἀπῴκισεν, ἐπεὶ οὐκ ἠδύνατο ἠσχολημένη εἰς τὸ πολεμεῖν τοῖς Ἕλλησι. πῶς οὖν ὁ συγγραφεὺς λέγει

ὅτι ἡ Ἑλλὰς ἐστασιάζετο; λέγομεν ὅτι ἐκεῖνος, ὡς ἱστορίαν συγγράφων, τὸ ἀληθὲς εἶπεν· οὗτος δὲ, ὡς ἐγκωμιάζων, πρὸς τὸ συμφέρον ψεύδεται.

113,14 ταύτης δὲ τοιαύτης—αἱ τῶν Ἑλλήνων ἀποικίαι ἁρμόζει δὲ τοῦτο καὶ πρὸς Λακεδαιμονίους, καὶ τοὺς ἄλλους τοὺς ἀποικίσαντας· καὶ Ἰσοκράτης ἐν τῷ Πανηγυρικῷ εἶπεν «Εἰς ἣν ἑτοίμως οἱ ἄλλοι πάντες ἀπῴκισαν, ἀπηλλαγμένοι πόνου πολλοῦ.» ὥσπερ κρηπῖδος θεμελίου.

113,15 τοῖς γὰρ πεμφθεῖσι εἴς τε τὰς νήσους καὶ τὴν Ἀσίαν ὑφ' ἡμᾶς. κρατήσασιν οἰκίσασιν.

113,16 ἐκτείνοντες ὥσπερ ἄλλο τι μέτρον τὸ τῆς Ἑλλάδος λέγει τὴν γῆν, ἣν ᾤκιζον, ὥσπερ οὖσαν καὶ αὐτὴν τὴν Ἑλλάδος. οὐ γὰρ ἅπας τόπος δέχεται ἀποικίας.

113,17 ἕως ἐξεπλήρωσαν αἱ ἀποικίαι. ἅπαν τὸ δεχόμενον τὸ μέρος. ἀντὶ τοῦ τὸ οἰκεῖσθαι δυνάμενον· τινὰ γὰρ ἤδη διὰ ψυχρότητα, ἢ θερμότητα ἦν ἀοίκητα· εἶπε δὲ ἐπ' ἀμφοτέροις τοῖς πέρασι τῆς γῆς ἡμετέρων παῖδες παίδων οἰκοῦσιν· ἐν γὰρ τῷ Ἴστρῳ ποταμῷ ἄποικοι ἦσαν τῶν Μιλησίων· οἱ δὲ Μιλήσιοι τῶν Ἀθηναῖοι.

113,18 ὑμετέρων παίδων ἡμετέρων παίδων λέγει, τῶν ἐν τῇ Μεσσαλίᾳ κατοικισθέντων καὶ τῶν ἐν ταῖς νήσοις, ὧν τινὲς μὲν τῶν ἐν ταῖς νήσοις, Μιλησίων τε λέγω, καὶ ἄλλων τινῶν εἰς Μασσαλίαν ἀπῴκησαν· κἀκεῖθεν αὖθις ἐξετάθη τούτων ἡ ἀποικία μέχρι Γαδείρων. ἐκ δὲ τῶν ἐν τῇ Ἀσίᾳ τινὲς ἀποικίαν ἐποιήσαντο, ἔς τε τὸν Τάναϊν ποταμὸν καὶ τὴν Μαιῶτιν λίμνην. μεμερισμένως δὲ εἶπεν, ἢ δι' ἀμφοτέρους, τούς τε ἐν τῇ Μασσαλίᾳ λέγει καὶ τῇ Μαιώτιδι, ἢ διὰ τοὺς ἐν τῇ Μαιώτιδι καὶ τῷ Τανάιδι μόνον, ὡς μὴ ὁμοῦ ἐγκατοικισθέντας, ἀλλὰ διῃρημένως. ἀπὸ Μασσαλίας Μασσαλία πόλις τῆς Ἀφρικῆς· μέμνηται δὲ Θουκυδίδης «Φωκεῖς τε Μασσαλίαν οἰκίζοντες.» κεῖται δὲ περὶ τὸν εἴσπλουν τοῦ πορθμοῦ τοῦ ἀπάγοντος ἐπὶ τὰς Ἡρακλείας στήλας.

113,19 οἱ δ' ἐπὶ τῷ Τανάιδι καὶ τῇ λίμνῃ μεμερισμένοι Τάναϊς ποταμὸς Σκυθίας. λίμνην δὲ λέγει τὴν Μαιῶτιν, καὶ αὐτὴν οὖσαν τῆς Σκυθίας καὶ γινομένην ἐξ αὐτοῦ τοῦ ποταμοῦ. ἔστι δὲ μεθόριον Τάναϊς Εὐρώπης καὶ

Ἀσίας, ὥς φησι Διονύσιος «Εὐρώπην δ' Ἀσίης Τάναϊς διὰ μέσον ὁρίζει.» ἐνταῦθα δὲ ἀπῴκισαν οἱ Μιλήσιοι. τῇ λίμνῃ τῇ Μαιώτιδι. μεμερισμένοι ἐν τῷ μέρει τῆς Εὐρώπης περὶ τὰς Ἱσπανίας καλαμίας.

113,20 τῶν νῦν πόλεων Θηβαίων, Λακεδαιμονίων, καὶ ἄλλων.

113,21 ὡς καθά. ἐπὶ λαμπροῖς ἅρμασι καὶ ἄλλοις.

114,1 ἄνευ τῶν ἄλλων πολλῶν ὧν ἔχει ἢ ἐποίησεν ἡ πόλις. ὧν ἔχει ἡ πόλις. τοῦτο δὴ βούλομαι διὰ βραχέων ἀνακεφαλαίωσις. πολλάκις δὲ κέχρηται τῇ ἀνακεφαλαιώσει. δηλοῖ δὲ καὶ τὸ διὰ βραχέων. βραχεῖα γάρ ἐστιν ἡ ἀνακεφαλαίωσις. τοῦτο τὴν τῆς πόλεως πρὸς τὴν Ἑλλάδα οἰκειότητα καὶ σπουδήν.

114,2 δεῖξαι τὴν συνέχειαν τῆς πολιτείας, ᾗ κέχρηται πρὸς τὸ Ἑλληνικὸν ἡ πόλις ἤγουν πῶς διηνεκῶς πολιτεύεται πρὸς τοὺς Ἕλληνας ταῖς εὐεργεσίαις. εἰκότως δὲ εἶπε τὸ πολιτείας· ὥσπερ γὰρ αὕτη ἐκ πολλῶν μερῶν, ἔκ τε πρεσβειῶν, πρὸς οὓς λέγω δεῖ, ἔκ τε λειτουργιῶν, ὅτε δεῖ, ἔκ τε τῆς τῶν νόμων φυλακῆς καὶ τῶν ἄλλων διοικήσεων σωτηρίαν τῇ πόλει ἐργάζεται, οὕτως ἡ τῶν Ἀθηναίων πόλις, καὶ ἐξ ὧν φεύγοντας δέχεται, καὶ ἐξ ὧν πάλιν κατάγει, καὶ ἐξ ὧν ἀποικίζει, καὶ ἐξ ὧν ἑκάστοτ' εὐεργετεῖ, σώζει τῶν Ἑλλήνων τὸ γένος. δεῖξαι τὴν συνέχειαν ἀντὶ τοῦ κατὰ πολύ. συνέχειαν γὰρ τὴν συνεχῆ εὐεργεσίαν. αὔξει δὲ καὶ ποιότητι καὶ ποσότητι. λέγει δὲ ὅτι ἡ πόλις ὑπὲρ τοῦ κοινοῦ τῆς Ἑλλάδος ἐπολιτεύσατο. ποῖον δὲ τοῦτο, ὅτι ὄνομα ἔχει τὸν ἔπαινον ἡ πολιτεία. τοῦτο δὲ γενικόν ἐστι. καὶ Δημοσθένης «Πολλῶν γὰρ προαιρέσεων οὐσῶν τῆς πολιτείας, τὴν περὶ τὰς Ἑλληνικὰς πράξεις εἱλόμην.» ἐπειδὴ δὲ ἔστιν εὐεργετῆσαι μὲν, διαλιπεῖν δὲ χρόνον, καὶ πάνυ οὕτως εὐεργετῆσαι, βούλεται δεῖξαι ὅτι οὐδέποτε οἱ Ἀθηναῖοι διέλιπον εὐεργετοῦντες. τὴν συνέχειαν ὁμοιότητα, ὁμόνοιαν.

114,3 ὅτι οὐκ ἔστι πρόσρημα βέλτιον ἐπενεγκεῖν οὗ νῦν ἐφθεγξάμην ἢ ὅτι κεκόσμηται γῇ καὶ θάλασσα ὑπ' αὐτῆς, ἢ ὅτι τοῦ γένους τοῦ Ἑλληνικοῦ πατρίς ἐστι καὶ ἑστία κοινή.

114,4 γὰρ τὸ γὰρ λέγει, ὅτι τοὺς Ἡρακλείδας ἐδέξατο. μερικόν ἐστι· θέλει οὖν εἰπεῖν ὅτι πολιτείαν εἶχον τὴν φιλανθρωπίαν. ἁπάντων ὧν ἔχρῃζον.

114,5 ἐπεὶ δὲ ἔδει τὴν Πελοπόννησον Δωριέων γενέσθαι τῶν Ἡρακλειδῶν, ὡς καὶ πρώην ἦν. ἐκλήθησαν δὲ Δωριεῖς ἀπό τινος Δωριέως, ἐκγόνου Ἡρακλέους. ὧδε σαφῶς λέγει, ὃ ὄπισθεν εἶπεν, ὑπὸ τῶν εἰξάντων ἀναστάντες. δέδοται δὲ αὐτοῖς χρησμὸς μετὰ Δωριέων κατελθεῖν.

114,6 συγκατήγαγε πάλιν αὐτοὺς μετὰ τοῦ θεοῦ μαντευσαμένοις γὰρ Ἀθηναίοις περὶ τὴν τούτων καταγωγὴν συνῄνεσεν Ἀπόλλων. μετὰ τοῦ θεοῦ τῇ βοηθείᾳ τοῦ θεοῦ. γενομένης δὲ τῆς Ἡρακλειδῶν—πάλιν τὸ κινηθὲν ἐδέξατο περὶ τὴν ἄφιξιν τῶν Ἡρακλειδῶν, στάσεώς τινος συμβάσης, ἐξελάθησάν τινες ἐκ τῆς Πελοποννήσου, οὓς καταφυγόντας ἡ πόλις ἐδέξατο.

114,7 ἐν ᾧ ἐν τῷ καταγαγεῖν. ἐν ᾧ ἢ χρόνῳ, ἢ πράγματι. προτέρων δὲ ἱκετῶν, τῶν Ἡρακλειδῶν. τῶν προτέρων ἱκετῶν τῶν Ἡρακλειδῶν.

114,8 ἀσφαλῶς εἶχεν ἤγουν καλῶς ᾤκησαν. ἕτεροι δ' αὖ τὸ ἐκείνων σχῆμα μετειλήφεσαν ἱκέται γὰρ καὶ αὐτοὶ τῆς πόλεως καταφυγόντες γεγόνασι.

114,10 τῷ πλεονεκτήματι τῇ τούτων ὑποδοχῇ, ἣν αὐτὴ μόνη καὶ οὐκ ἄλλη πόλεων εἶχεν. τὸ τῆς ἀποικίας λέγει. λέγει δὲ τῷ φιλοτιμήματι. ἔξω δὲ πόλεων τῶν ἐν Ἀσίᾳ ἀποικισθεισῶν. καὶ τὰς παρ' αὐτὴν πόλεις πολλὰς εἰπὼν γὰρ ἄνω ἁπλῷ λόγῳ περὶ τῶν ἀποικιῶν, νῦν ὥσπερ ἐξεργάζεται τὴν αἰτίαν, δι' ἣν γεγόνασι, λέγων ὅτι τοὺς Ἡρακλείδας καὶ ἄλλοι μιμησάμενοι κατέφυγον ἐνταυθοῖ. διότι δὲ ταῦτα εἰπεῖν ἠβούλετο, διὰ τοῦτο ἔφη· τοῦτο δὴ βούλομαι διὰ βραχέων ἐπανελθὼν ἐξετάσαι.

114,11 τῶν ἔξω πόλεων τῶν ἐν τῇ Ἀσίᾳ καὶ ἐν ταῖς νήσοις. πολλῶν καὶ μεγάλων αἳ νῦν διὰ τὰς τότε ἀποικίας εἰσί.

114,12 φιλανθρωπότερον φιλανθρωποτέρως. διὰ τὸ δέχεσθαι τοὺς καταφεύγοντας. λαμπρότερον λαμπροτέρως.

114,13 ἢ πρῶτον μὲν τῆς ἑαυτῆς χώρας σημαίνει πάλιν τὴν ὑποδοχὴν, εἶτα τὴν ἀποικίαν.

114,14 ὁμοίως τῇ τε οἰκείᾳ μίαν, φησὶν, εὔνοιαν φυλάττουσα καὶ ἐπὶ τῆς οἰκείας καὶ ἐπὶ τῆς ἀλλοδαπῆς. ὁμοίως γὰρ, φησὶ, καὶ ἐν ταῖς ἀποικίαις ὑπεδέχετο αὐτοὺς, διὰ τὸ παρέχειν τόπους, ἔνθα οἰκήσουσιν.

114,16 τὰς ἀπορίας ἐπηνώρθωσεν διά τε τῆς κλήσεως καὶ τῆς ἄλλης αὐτῶν θεραπείας.

114,17 διεκόσμει καὶ προσέπεμπεν ἤγουν πρὸς τὸ κοσμεῖν ἀπῴκιζον. ἡγεμόνας τε τοὺς ἀρχηγοὺς τῆς ἀποικίας, τὸν Πόλεμον, τὸν Κόδρον. ἑκάστοις τοῖς ἐκπεμπομένους.

114,18 λεὼν οἴκοθεν παραζευγνῦσα καὶ λεὼν μίξασα Ἀθηναίους καὶ ξένους, τοὺς καταφυγόντας ἐκεῖ, καὶ πέμψασα εἰς ἀποικίαν. τοῖς ἐκπεμπομένοις, ἵνα σεμνοὶ δοκοῖεν μετ' Ἀθηναίων ἀποικιζόμενοι. ἵνα μὴ δόξῃ ἀτιμοῦν διὰ τῆς ἀποικίας, αὐτοὺς καὶ Ἀθηναίους ἄνδρας συνεξέπεμψεν αὐτοῖς. λεὼν δὲ Ἀττικῶς, τὸν λαόν.

114,19 καὶ τῷ βουλήματι ἐδέχετο γὰρ αὐτοὺς οὕτως, ὥστε, ἵνα ἦ κατάγῃ, ἔνθα ἦσαν, ἢ ἀποικίζῃ, καὶ ταύτην τὴν γνώμην εἶχεν, ὅτε ἐδέχετο. οὐκ ἐξ ἀνάγκης, φησὶ, τοῦτο ἐποίει, ἀλλὰ προαιρέσει. ἢ ἐπειδὴ τὸ μὲν τῆς πράξεως τῆς τῶν Ἡρακλειδῶν μερικόν τι ἐστὶ, τὸ δὲ περὶ τῆς βουλήσεως, τὸ ἀεὶ βουλεύεσθαι τοῦτο ποιεῖν, μεῖζόν ἐστι. τὸ δὲ προτέρους οὐ πάντων. ἄνω γὰρ εἶπεν ὅτι ἐπὶ πολλοῖς τοῖς πρότερον κἀκεῖνοι κατέφυγον· ἀλλ' ὧν μέλλει αὐτὸς ἐπιφέρειν, τουτέστι τῶν Ἰώνων.

114,21 διπλῆν ἀνθ' ἁπλῆς τὴν εὐεργεσίαν ἐπ' ἀμφοτέρων τιθεμένη. ἀντὶ τοῦ μόνον δέχεσθαι· καὶ ἐδέχετο γὰρ καὶ ἐξέπεμπεν, ἀμφοτέρωθεν εὐεργετοῦσα.

115,1 ἐπ' ἀμφοτέρων καὶ τῶν Ἡρακλειδῶν, καὶ τῶν μετ' ἐκείνους. προϊοῦσα ἀπὸ τοῦ πρώτου πρὸς τὸ τελευταῖον ἀεὶ πρῶτον ἦν τὸ δέξασθαι, τελευταῖον τὸ ἀποικίσαι. ἀπὸ τοῦ πρώτου τοῦ δέχεσθαι. πρὸς τὸ τελευταῖον τὸ ἀποικίζειν τε καὶ κατάγειν.

115,2 πολιτείᾳ προσέοικεν ἡ τῆς πόλεως ὑπὲρ τῶν Ἑλλήνων πρόνοια τὴν συνέχειαν τῶν εὐεργετημάτων πολιτείαν καλεῖ· ὥσπερ γὰρ ἡ πολιτεία ἐκ

πολλῶν μερῶν σωτηρίαν ἐργάζεται ταῖς πόλεσιν, οὕτως ἡ πρόνοια τῶν Ἀθηναίων διὰ πολλῶν ἀφορμῶν σώζει τῶν Ἑλλήνων τὸ γένος.

115,3 διὰ πολλῆς καὶ συνεχοῦς τῆς ἀκολουθίας σώζεται οὐ γὰρ ἔστιν ὅτε οὐ προνοεῖται. καὶ μὴν τὸ μὲν τοὺς φεύγοντας θέλει δεῖξαι κοινὸν τῶν Ἑλλήνων εὐεργέτημα τὸ δέχεσθαι τοὺς δυστυχοῦντας. ἀλλὰ, φησὶ, λέγει τις· οὐκ ἔστι κοινὸν τῶν Ἑλλήνων. μόνους γὰρ τοὺς δυστυχοῦντας εὐεργέτησεν. ἐπάγει γοῦν ὅτι τὸ τῆς ἀποικίας κοινόν ἐστι τῶν Ἑλλήνων εὐεργέτημα, καὶ οὐκ ἔχει ἀντίρρησιν· προσθήκην γὰρ ἔχει. καὶ ὄπισθεν εἶπε περὶ τῶν ἀποικιῶν, ὅτι προσθήκην καὶ ἀσφάλειαν ἐποίησεν ἡ πόλις τῷ γένει.

115,4 εἰ καὶ μηδὲ τοῦτ' ἐκφεύγει εἰ μὴ ἔξω καθέστηκε τούτων· ἢ δεῖγμα φιλανθρωπίας.

115,5 ταύτης τῆς τύχης τοῦ φεύγειν. ἤγουν τοῦ φεύγειν. αἱ δὲ τῶν ἀποικιῶν κοινὸν τῶν Ἑλλήνων κέρδος εἰσὶν ἡ γὰρ παλαιὰ Ἑλλὰς τούτους προβόλους οὐ μόνον ἔχει, ἀλλὰ καὶ δι' αὐτῶν ἐπίδοσιν εἰς τὸν αὐτῆς πακτυσμὸν ἔσχεν.

115,6 τῶν ἀπελθόντων τῶν ἀποικισθέντων.

115,7 δυνάμεις πολλὰς καὶ μεγάλας ἔκ τε τῶν διὰ χρημάτων συντελειῶν καὶ τῶν στρατευμάτων, ἃ παρεῖχον αὐτοῖς οἱ ἄποικοι.

115,8 οὐκ ὀλίγῳ μείζους ἐγένοντο ἢ πρόσθεν. οὕτως ἐγώ φημι τῆς πόλεως ἐπειδὴ πάντας τοὺς καταφεύγοντας καὶ δεομένους ὑποδοχῆς ἡ πόλις ὑποδέχεται καὶ ὑποδεχομένη εἰς ἀποικίαν τούτους ἐκπέμπει, οἱ δὲ ἀποικιζόμενοι ὠφέλειαν οὐκ ὀλίγην τῇ Ἑλλάδι παρέχονται οὐ μόνον πρόβολοι αὐτῆς ὄντες, ἀλλὰ καὶ ἐν τῇ χρείᾳ χρήματα εἰσφέροντες καὶ στρατεύματα, διὰ τοῦτο δεῖ πάντας τοὺς Ἕλληνας οὐχ ἧττον εὐχαριστεῖν αὐτῇ διὰ τὴν τῶν ἀτυχούντων ὑποδοχὴν ἢ διὰ τὴν ὠφέλειαν, ἣν διὰ τὰς ἀποικίας αὐτοῖς προξενεῖ. τὸ δὲ καὶ γάρ τοι συμβέβηκε μόνοις ὥσπερ τινὰ ἀσάφειαν ἔχει· δοκεῖ γὰρ ὥσπερ τις τοῦ ἄνω κατασκευὴ, ὅπερ οὐκ ἔστιν· εἰ γὰρ ἦν κατασκευὴ, οὕτω ἔδει εἰπεῖν· καὶ γὰρ οὐ μόνον ἐκ τῆς ὑποδοχῆς, ἀλλὰ καὶ ἐκ τῆς ἀποικίας ὠφελεῖ· νῦν δὲ παντάπασιν ἀλλότριον ὂν τοῦ

ἄνω, ὥσπερ τι ἐπιχείρημά ἐστι· τὸ δὲ μόνοις πρὸς τὸ σημαινόμενον τῆς πόλεώς ἐστι· τὸ δὲ ταύτῃ ἢ ἐκ τοῦ ἐκπέμψαι νοητέον, ἵν᾽ ᾖ τοῦ διὰ τῶν ἐναντίων κατασκευή. ἢ οὕτως ὡς μέλει κατασκευάσαι· ἵν᾽ ᾖ ἡ κατασκευὴ ἀμφοτέρων, τοῦ τε ταύτῃ καὶ διὰ τῶν ἐναντίων.

115,9 τὸ εἰσφέρεσθαι ἐκ τῶν ἀποικισθέντων, ἃ ἐθέλουσι. ἤγουν εἰσδέχεσθαι. πρὸς τὴν παρὰ τῶν Ἑλλήνων εἶναι χάριν ἤγουν πρὸς τὸ εὐχαριστεῖν αὐτῇ τοὺς Ἕλληνας. ὅ ἐστι χάριν ὀφείλειν τῇ πόλει τοὺς Ἕλληνας

115,10 τοῖς οὖσιν ἐν τῇ πόλει. οἱ γὰρ αὐτοὶ πρεσβύτατοι—τελοῦσι πολλαχῇ ἀλλὰ καὶ τῶν προσοικούντων αὐτῶν ἀπελθοῦσι. πρεσβύτατοι μὲν, διὰ τὸ εἶναι ἀρχαῖοι, νέοι δὲ, διὰ τὰς ἀποικίας.

115,11 πρεσβύτατοι τῶν ἄλλων Ἑλλήνων εἰσὶ ὡς αὐτόχθονες. εἰς νέους Ἕλληνας τελοῦσι πολλαχῇ διὰ τὰς ἀποικίας. τὸ πολλαχῇ λέγει οὐ μόνον διὰ τὰς ἀποικίας, ἃς ποιοῦνται, ἀλλὰ καὶ διὰ τοὺς ἀεὶ τικτομένους ἐν ταῖς Ἀθήναις.

115,12 καθάπερ τὸν Διόνυσον γράφουσιν ἐπειδὴ καὶ ὁ οἶνος, εἰς ὃν οὗτος ἀλληγορεῖται, παλαιός ἐστι καὶ νέος. ἀντὶ τοῦ ζωγραφοῦσιν· οὕτω γὰρ καὶ νέον καὶ παλαιὸν αὐτὸν γράφουσι, διὰ τὸ καὶ τὸν οἶνον παλαιὸν εἶναι καὶ νέον, ἢ ὅτι οἱ μὲν δεόντως αὐτῷ κέχρηνται, οἱ δὲ πλέον τοῦ δέοντος νωθεῖς εἰσιν, ὥσπερ οἱ γέροντες.

115,14 κἀν τούτοις τῷ ἐκπέμπειν καὶ δέχεσθαι. ἤγουν ἐν τῷ πέμπειν καὶ δέχεσθαι. τὸ προσῆκον ἑαυτοῦ. τουτέστι τὸ ἀναγκαῖον· ἀνάγκη γὰρ τοὺς ἀρχαιοτέρους πολλοὺς ἔχειν καὶ ἀπογόνους. πρεσβυτάτων δὲ, τῶν αὐτοχθόνων. ἑξῆς κατὰ ἀκολουθίαν. κατὰ φύσιν καὶ ἀκολουθίαν. τῶν πρεσβυτάτων καθάπερ οἱ Ἀθηναῖοι.

115,15 τὸ δέχεσθαι τοὺς δεομένους, τῶν κρειττόνων ἐστὶν φιλανθρώπων γὰρ ἔργον τοῦτο καὶ δυνατῶν ἔστι δὲ τὸ πλείστους εἶναι τοὺς ἀπογόνους πρὸς τὸ πανταχῆ καὶ πεπόμφασι. πλεῖστοι γάρ εἰσιν οἱ πανταχῆ γῆς πεμπόμενοι.

115,16 καὶ μὴν τῷ γε τὸν σῖτον ἄμφω γὰρ φιλανθρωπίας τεκμήρια. πῶς οὐκ εἰς ταυτὸν ἥκει ἀντὶ τοῦ ὅμοιον καὶ ἴσον· ὥσπερ γὰρ ἐκεῖνο κοινὸν

εὐεργέτημα πεποίηται πᾶσι μεταδοῦναι τοῦ σίτου, οὕτω καὶ τὸ ἀποικίας παραπλήσιον.

115,17 σμήνη σμήνη εἶπεν, ἐπειδὴ παρέοικε τούτῳ καὶ τὰ τῆς ἀποικίας πλήθη. σμῆνος γὰρ κυρίως καλεῖται τὸ σύστημα τῶν μελισσῶν. ἄλλως τε τὸ ἄλλως τε, ὥσπερ δοκεῖ, ἀποκεκομμένον τοῦ ἄνω· ἀλλ᾽ οὐκ ἔστι τοιοῦτον· ἀλλ᾽ ἐπειδὴ τὰς ἀποικίας τῇ τοῦ σίτου πομπῇ παρείκασε, τρέφει δὲ ὁ σῖτος ἀνθρώπους, διὰ τοῦτο καὶ τοῦτο ἐδεήθη εἰπεῖν. λέγει δὲ, ὥσπερ ὁ σῖτος τούτου χάριν πανταχῆ ἐξεπέμφθη, ἵνα εἰς σύστασιν ἀνθρώπων εἴη, οὕτω καὶ οἱ πρὸς τὴν πόλιν καταφυγόντες διὰ τοῦτο ἀπῳκίσθησαν, ἵνα δι᾽ οἰκείας ἐργασίας τὸν βίον αὐτοῖς πορίζωνται. ἐξουσίας ἤδη πᾶσιν οὔσης ἐργάζεσθαι οὐ γὰρ ἠδύναντο, πρὶν εἰς τὴν πόλιν καταφυγεῖν, ποιεῖν τι ὑπ᾽ ἄλλων ἀνάστατοι γεγονότες τῶν σφετέρων πατρίδων. πᾶσιν τοῖς τότε κατοικισθεῖσι.

115,18 τὰ τοῦ βίου τίθεσθαι ῥᾷον ἀφορμῶν εἵνεκα ἀφορμὰς ἐνταῦθα λέγει τοὺς πορισμούς, οὓς διὰ τῶν ἐργασιῶν ἔμελλον πορίζεσθαι πρός τε τὴν καθ᾽ ἡμέραν ζωὴν καὶ τὴν ἄλλην δαπάνην. ἀφορμὰς καλεῖ τὰ σπέρματα. τὰ τοῦ βίου δὲ τὴν τροφὴν καὶ τὴν ζωήν.

115,19 ἐκδέχεται δ᾽ ἡ πάλαι τοῦ λόγου προσδοκωμένη μοῖρα ἐπειδὴ ἡ τῶν Παναθηναίων ἑορτὴ διὰ τεσσάρων ἡμερῶν ἐγίνετο, διεῖλε καὶ αὐτὸς εἰς τέσσαρα μέρη τὸν λόγον. ἕως οὖν ὧδε τὸ πρῶτον μέρος ἐστὶ, καὶ τοῦ δευτέρου ἐνθένδεν ἄρχεται. ἐπειδὴ δὲ κρεῖττον μέρος ἐστὶ τοῦ λόγου τὸ τῶν πράξεων, δι᾽ ἃς ἐγκωμιαζόμενον μέγιστον δείκνυται, διὰ τοῦτο προσδοκωμένη πάλαι εἶπε, δεικνὺς ὡς ἐκ προοιμίων οἱ ἀκροαταὶ τουτουὶ ἐπεθύμουν. ὡς ἐπιθυμούντων τῶν ἀκροατῶν ἀκοῦσαι τὰς πράξεις, ἢ ἵνα δείξῃ ὅτι καὶ ἐκ προοιμίων ἐζήτουν ἀκοῦσαι τῶν πολεμικῶν. τινὲς δὲ λέγουσιν ὅτι εἰς τέσσαρα μέρη διεῖλε τὸν λόγον· ἐπειδὴ δὲ ἡ πανήγυρις τέσσαρας κατεῖχεν ἡμέρας, ἕως οὖν τῶν ἐνταῦθα τὸ πρῶτον μέρος λέγει, καὶ ἐντεῦθεν ἄρχεσθαι αὐτὸν τοῦ μεγάλου κεφαλαίου τῶν πράξεων. διὸ καὶ οἰκείως προσδοκωμένη προσέθηκεν. ἡ δὲ ἐκ πρόθεσις ἐκδέχεται ἀντὶ τοῦ τῆς διὰ ἐστίν. οὕτω γὰρ λέγεται διαδέχεται. μετὰ κινδύνων δὲ εἶπε, δεικνὺς ὅτι καὶ τὰ προειρημένα πράξεις ἦσαν, οὐ μέντοι μετὰ πολέμου· πολέμους γὰρ καλοῦσι τοὺς κινδύνους. ἐπιλαμβάνεται δὲ αὐτοῦ μετ᾽

ὀλίγον, καὶ τὰς πρώην πράξεις μετὰ κινδύνων δείκνυσιν. ἀνάγκη γὰρ τοὺς ἀποικίζοντας μάχεσθαι, ὅπως ἂν τῆς χώρας κρατήσωσιν. ἐκώλυον γὰρ οἱ βάρβαροι. αἱ μετὰ τῶν κινδύνων πράξεις καλῶς προσέθηκε τὸ καὶ μετὰ κινδύνων, δεικνὺς ὅτι καὶ τὰ προειρημένα πράξεις ἦσαν, οὐ μέντοι μετὰ πολέμου. ἐπιλαμβάνεται δὲ αὐτοῦ μετ᾽ ὀλίγον, καὶ τὰς πρώην πράξεις μετὰ κινδύνων δεικνύς. ἀνάγκη γὰρ αὐτοὺς ἀποικίζοντας μάχεσθαι, ὅπως ἂν κρατήσωσι τῆς χώρας. ἐκώλυον γὰρ οἱ βάρβαροι.

115,20 ἃς ἐγὼ δέδοικα, —ὅτε ἐπραγματεύετο παρεμφαίνει καὶ τὸ πλῆθος τῶν πράξεων καὶ τὸ ἀνδρεῖον τῶν Ἀθηναίων. ἐγὼ γὰρ, φησὶ, μᾶλλον ἔχω κίνδυνον ὁ λέγων ἢ Ἀθηναῖοι τότε, ὅτε ἐποίουν αὐτάς. τῇ πόλει κίνδυνον. τῶν ἔργων ἤγουν τῆς τούτων ἐργασίας.

115,21 οὐ μὴν ἀλλ᾽ ἀναγκαῖον ἅψασθαι καὶ τούτων ἤδη ὡς δίκαιον καὶ τοῦτο προστίθησι.

116,1 οἷς κατεσκεύασε τὸν βίον ἡμῖν τῷ σίτῳ καὶ τοῖς ἄλλοις. ἀποχρώντως ἀρκούντως.

116,3 ἄλλως τε καὶ πλείους μὲν ἔνι γὰρ πλείους μὲν, οὐ μείζω δὲ εἶναι. ἐνταῦθα δὲ ἄμφω.

116,4 συμπίπτει συνέρχεται. τῇ πάσῃ φιλανθρωπίᾳ τῆς πόλεως τῇ περὶ τοῦ δέχεσθαι τοὺς ἀτυχοῦντας.

116,5 ὥσθ᾽ ἡμῖν πάλιν ἀρχὴν ἐκ τελευτῆς ἐπανήκειν παυσάμενοι γὰρ περὶ τῆς φιλανθρωπίας λέγειν, πάλιν ταύτης ὥσπερ ἀρχόμεθα, περὶ πολέμων ἐγχειροῦντες λέγειν, οὓς ὑπὲρ τῶν ἀδικουμένων ἡ πόλις ἐποίει.

116,6 τοῦτο τὸ μέρος τῶν λόγων τὸ μετὰ κινδύνων.

116,11 ὅτι δεῆσαν χρείαν ἔχοντος. ἀντὶ τοῦ δεήσαντος· ἔστι δὲ Ἀττικόν.

116,12 ἀφ᾽ ὧν δ᾽ ἠρξάμεθ᾽ ἀρτίως τὸ κατὰ τοὺς Ἡρακλείδας πρόσθεν ἀρχὴν ποιησάμενος, ὅτε τὴν τῆς πόλεως φιλανθρωπίαν ἐνεχείρει διηγεῖσθαι, καὶ νῦν ἀρχὴν ποιεῖται τῶν πολεμικῶν πράξεων τουτουσί. καλῶς δὲ εἶπε τοὺς σὺν Εὐρυσθεῖ Πελοποννησίους προσέθηκεν· οὐ γὰρ πάντες συνέπραττον αὐτῷ Πελοποννήσιοι. πάλιν βούλεται εἰπεῖν τὸν περὶ τῶν

Ἡρακλειδῶν πόλεμον. τὸ γὰρ αὐτὸ ἐπιχείρημα καὶ εἰς τὴν ἀνατροφὴν ἐδέξατο, καὶ νῦν εἰς τὰς πράξεις· πολλάκις γὰρ ἔχομεν τὰ αὐτὰ ἐπιχειρήματα ἁρμόζοντα ἡμῖν εἰς διάφορα κεφάλαια.

116,13 τῆς ἐπὶ τῶν ἀγώνων ἐξετάσεως.

116,14 τοὺς σὺν Εὐρυσθεῖ Πελοποννησίους τὸ αὐτὸ παράδειγμα ἔλαβε καὶ νῦν, τὸ τῶν Ἡρακλειδῶν, ἀλλ᾽ ἐκεῖ μὲν τὴν φιλανθρωπίαν δεικνὺς διὰ τῆς ὑποδοχῆς, ἐνταῦθα δὲ τὴν ἀνδρείαν διὰ τοῦ πολέμου. καλῶς δὲ τοὺς σὺν Εὐρυσθεῖ· οὐδὲ γὰρ πάντες αὐτῷ συνέπραττον. τὸ δὲ μεθ᾽ ὅσου θαυμαστικὸν τὸ ὄνομα. μεθ᾽ ὅσου τοῦ κρείττονος μεθ᾽ ὅσης τῆς ἐπάρσεως. ἦγουν μετὰ μείζονος τῆς παρασκευῆς ἢ ἐκεῖνος ταύτῃ ἀντέστη.

116,15 τὸ πρᾶγμα τὸ κατ᾽ ἐκεῖνον. τουτέστι τὸ δεινόν. αὔξει δὲ αὐτό, ἵνα τὸ τῶν Ἀθηναίων ὑψώσῃ κατόρθωμα, ἐπὶ τυράννου καὶ δημοκρατίας τοῦτο λαμβάνειν. τὸ πρᾶγμα ὡς μετέθηκεν τοῦτο δηλονότι εἴπομεν.

116,18 τοῦτον εἰς τοῦτ᾽ ἤγαγεν ἡ πόλις. ὥστ᾽ αὐτὸν οἴκοι ταφῆς μὴ τυχεῖν ἀκούσας Εὐρυσθεὺς, ὑπ᾽ Ἀθηναίων Ἡρακλείδας δεδέχθαι, κατὰ τῆς πόλεως ἐστράτευσε· συμβαλόντες οὖν αὐτῷ ἐν τῇ Ἀττικῇ Ἀθηναῖοι οὐ μόνον ἐνίκησαν, ἀλλὰ καὶ τοῦτον τοῦ ζῆν ἀπεστέρησαν. ἐνταῦθα γοῦν ἀναιρεθεὶς τέθαπται. τὸ δὲ παρ᾽ ἀξίαν εἶπε, δεικνὺς αὐτὸν οὐκ ἄξιον ὄντα βασιλεύειν, τοιοῦτον ὄντα, καὶ ἀνηλεῶς τῇ βασιλείᾳ χρώμενον. ἐν γὰρ τῇ ὁδῷ τέθαπται, ἵνα ὑπὸ τῶν παριόντων καταπατῆται· ἐλεεινὸν δὲ διὰ τούτου τὸν θάνατον αὐτοῦ δείκνυσι. τῆς ἐξουσίας τῆς βασιλικῆς· τοῦ γὰρ Ἡρακλέους ἦν ἡ βασιλεία τῶν Πελοποννησίων. παρ᾽ ἀξίαν ἐπειδὴ ταύτῃ κακῶς ἐχρῆτο.

116,19 τὴν τελευτὴν ἡ πόλις εὗρε κατ᾽ ἀξίαν αὐτοῦ κρείττων γέγονεν, ἀξίως τοῦτον καταβαλοῦσα. αὕτη γὰρ ὕστερον αὐτοῦ κρείττων γέγονεν, ἀξίως τούτους καταβαλοῦσα. ἀντὶ τοῦ ἐν καλῷ καὶ συμφέροντι, οὐχ ἑαυτοῦ, ἀλλὰ τῶν ἀδικουμένων. τοῦτ᾽ νοητέον τὸ τοῦτο ἀντὶ τοῦ κατὰ τῶν Ἡρακλειδῶν ταῖς πόλεσιν ἀπειλεῖν, εἰ τουτουσὶ δέξονται, καὶ πόλεμον συνάψαι τῇ τῶν Ἀθηναίων πόλει δεξαμένῃ. τοῦτ᾽ ἄρ᾽ ἐκεῖνος ἐν καιρῷ μόνον ὕβρισε ἔδει γὰρ αὐτὸν, ὡς παρ᾽ ἀξίαν εὐτυχοῦντα, καθαιρεθῆναι.

116,20 τοῖς γὰρ ὑπάρχουσι ἤγουν τῇ προσούσῃ αὐτῷ δυναστείᾳ. τῷ πλούτῳ καὶ τῇ ἐξουσίᾳ. ἔδωκε δίκην τῇ πόλει.

116,21 ἐκρίθη εἰκότως εἶπε τὸ ἐκρίθη, δηλῶν ὡς δικαίως ὁ τούτου θάνατος γέγονε, καὶ ὥσπερ ὑπὸ κρίσεως. τῶν ἱκετευσάντων τῶν Ἡρακλειδῶν.

117,1 τοσούτῳ χεῖρον ἐκείνων διακειμένην ὥσπερ ἀντέπεσεν αὐτῷ· τί γὰρ ἔπασχον Πελοποννήσιοι; φησὶν οὖν ὅτι δυσχερέστερον οὗτοι τῶν Ἡρακλειδῶν ἠτύχουν ἐδούλευον γὰρ τῷ Εὐρυσθεῖ.

117,2 ἀπορρηθὲν ἀπαγορευθὲν παρὰ τοῦ Εὐρυσθέως. πάλιν Ἀττικῶς, ἀντὶ τοῦ ἀπορρηθέντος καὶ ἀπειληθέντος. οἱ μὲν διὰ τῆς πόλεως ἄδειαν εὕροντο ἐδέξατο γὰρ αὐτούς. οἱ δ' οὐκ εἶχον, ὅπως μὴ ποιήσωσι τὸ κελευόμενον αἱ δύο ἀρνήσεις μίαν ποιοῦσι συγκατάθεσιν.

117,3 ὅπως μὴ ποιήσωσι τὸ κελευόμενον τὸ μὴ τούτους δέξασθαι. ἐν μέσῃ τῇ Βοιωτίᾳ εἰς Θήβας.

117,4 καὶ τἄλλα μέντοι τῆς πόλεως καλῶς εἶπε τὸ καὶ τἄλλα μέντοι τῆς πόλεως· ἐπειδὴ γὰρ τῆς πόλεως ἔργον εἶπεν, ἵνα μή τις νομίσῃ, ὧν ... γέγονεν ἔργον, τὰ δὲ ἄλλα μετὰ συμμάχων ἐποίει, διὰ τοῦτο προσέθηκε καὶ τἄλλα μέντοι τῆς πόλεως, δεικνὺς, ὡς πάντα αὐτὴ μόνη κατείργαστο. εἰ δὲ καὶ συμμάχους ποτὲ παρέλαβεν, αὕτη μὲν τὸ πᾶν τῆς νίκης ἐποίει, οἱ δὲ τοσοῦτον μικρὸν συνετέλουν, ὅσον ἂν εἰ ἀπῆσαν. ὃ ἔργον. τῷ μὲν ἀκοῦσαι ἤγουν ἐκ μόνης ἀκοῆς ψιλῆς. τῇ χρείᾳ τῶν ἱκετῶν ὑπὲρ Ἀργείων Ἀργεῖοι γὰρ αὐτοὺς ἱκέτευσαν, ὅπως ἐλθόντες τοὺς σὺν Πολυνείκει κατὰ θηβῶν ἐστρατευκότας, κἀκεῖσε πεσόντας θάψωσιν· ἀτάφους γὰρ οἱ Θηβαῖοι εἴασαν.

117,5 τῷ σχήματι τῆς εὐεργεσίας θεοῦ γὰρ καὶ ὅσιον ὑπὲρ τῶν θανόντων σπουδάζειν. τῷ εἴδει. πάλιν δὲ καὶ ἐνταῦθα δείκνυσι ... πλοῦν ἐν ἑνὶ τὸ εὐεργέτημα. ὑπὲρ τῆς φύσεως ἁπάσης τῆς ἀνθρωπείας δίκαιον γὰρ πάντας ἀνθρώπους θάπτεσθαι, κἂν τὰ δεινότατα πράξωσιν· ἡ γὰρ τελευτὴ πρὸς ἔλεον ἄγει.

117,6 τοὺς ὑπὸ τῇ Καδμείᾳ δυστυχήσαντας καλῶς εἶπε τὸ δυστυχήσαντας, διαβάλλων μὲν τοὺς Θηβαίους, ὡς τύχῃ, καὶ οὐκ ἀρετῇ, νενικηκότας,

ὑπὲρ δὲ τῶν Ἀργείων ἀπολογούμενος, ὡς τύχῃ, καὶ οὐκ ἀνδρείᾳ, πεσόντων.

117,7 τὴν ὕβριν ἀντὶ τοῦ τὴν ὠμότητα. καλῶς δὲ εἶπε δυστυχήσαντας, ἵνα διαβάλῃ τὴν τῶν Θηβαίων νίκην, ὅτι τύχῃ καὶ οὐκ ἀνδρείᾳ νενικήκασιν. τῶν ταῦτα τετολμηκότων Θηβαίων. τῶν Θηβαίων. οὐδ' οἷα βουλευομένοις περὶ ὧν ἂν κρατήσωσιν, ἐπίασιν ἤγουν οὐδ' οἷα κατὰ γνώμης αὐτῶν ἐπέσχετο ποιεῖν πρὸς τοὺς ὑπ' αὐτῶν κατενεχθέντας. λέγει δὲ ἀτάφους ἐᾶν.

117,8 τὴν μὲν τοῦ νικήσειν ἐλπίδα τῷ συνειδότι τοῦ κρείττονος δόντες ἤγουν τῷ εἰδότι τὸ πρᾶγμα κάλλιστον καὶ ὅσιον ὄν· λέγει δὲ τὸ ὑπὲρ τῶν θανόντων σπουδάζειν. ἢ τῷ συνειδότι τοῦ κρείττονος ἀντὶ τοῦ τῇ θείᾳ βουλήσει νοητέον, ἵνα λέγει, τοὺς Ἀθηναίους ἐλπίσαντας νικήσειν τῷ συμβούλεσθαι αὐτοῖς ταῦτα τὸ θεῖον· θεοῦ γὰρ βουλὴ τυγχάνειν ταφῆς ἅπαντας. ἀντὶ τοῦ τῷ ἀνδρείῳ ἐπιστρέψαντες. καὶ Θουκυδίδης ἐχρήσατο τῷ ὁμοίῳ ἐνθυμήματι ἐν τῷ ἐπιταφίῳ.

117,9 ὑπὲρ τοῦ κοινοῦ νόμου νόμος γὰρ κοινὸς, πάντας ἀνθρώπους θάπτεσθαι. τοῖς μὲν τὴν τιμὴν, τοῖς δὲ τὴν τιμωρίαν ἀπέδοσαν οὐδεὶς ἁπλῶς τὰ γενόμενα, ἤτοι κατορθούμενα λέγειν καὶ διηγεῖσθαι χρὴ, ἀλλ' ἀναφέρειν τὸ πραχθὲν εἴς τι μέρος τῆς ἀρετῆς, ὥσπερ ἐνταῦθα ὁμοῦ καὶ ἀνδρείας καὶ δικαιοσύνης ἐχόμενον δείκνυσι τὸ γενόμενον. τοῖς μὲν τοῖς θανοῦσι. τὴν τιμὴν ἤγουν τὸ θάψαι. τοῖς δὲ τοῖς Θηβαίοις.

117,10 ἀπέδοσαν εἰκότως ἔχει τὸ ἀπέδοσαν· ἄξιοι γὰρ Θηβαῖοι μὲν τιμωρίας, ὡς ἀνόσιοι, Ἀργεῖοι δὲ τιμῆς, ὡς ἀδίκως ῥιφέντες· διὸ καὶ ἀμφότεροι τῶν ὀφειλομένων ἔτυχον. βοηθείας ἕνεκα.

117,11 ὥσπερ ἐκ δυοῖν ποδοῖν τὸ ἐκ δυοῖν ποδοῖν παροιμία ἐπὶ τῶν πάνυ σπουδαζόντων λεγομένη· καὶ οὐχ ὅτι οἱ μὴ σπεύδοντες ἑνὶ μόνῳ χρῶνται ποδί. πῶς γάρ; ἀλλὰ τὸ λέγειν ἐκ δυοῖν ἔμφασιν ἔχει μεγάλης σπουδῆς· ἄλλως τε καὶ οἱ μὴ σπουδάζοντες, εἰ καὶ δυσὶ χρῶνται ποσὶν, ἀλλ' ἑνὸς τάχος παρέχονται. ἀντὶ τοῦ ταχέως καὶ ἀσφαλῶς, ἐκ μεταφορᾶς τῶν πλοίων· ἢ ἀντὶ τοῦ προθύμως καὶ ἀνενδοιάστως· παρὰ τοὺς σπεύδοντας

ἀμφοτέροις ἐπείγεσθαι τοῖς ποσίν. ἢ ἀντὶ τοῦ δύο πηδαλίοις, ἵνα ᾖ ὅμοιον τῷ ἐπὶ δυοῖν ὁρμεῖν ἔδοξαν. παροιμία δέ ἐστιν ἐπὶ τάχους λεγομένη.

117,13 οὐχ ὅσον λανθάνειν ἡ γὰρ μικρὰ ὑπεροχὴ λανθάνει διὰ σμικρότητα. ἐπειδὴ εἰώθασι τὰ μικρὰ λανθάνειν. τὴν ὑπερβολὴν ἐμφαίνει τῶν πράξεων. ὡς ἐπὶ παραδείγματος τοῦτό φησιν· ὥσπερ γὰρ, φησὶν, ἐάν τις τινὸς ἐλλογιμώτερός ἐστιν ἐν μικρῷ, οὐκ ἔστιν ἐπιφανὴς, ὁ δὲ πολὺ προέχων ἐν τῇ σοφίᾳ λήθην ποιεῖ τοῦ εἶναι τοῦ ἑτέρου ἐλλόγιμος, οὕτω καὶ ἡ πόλις προέχουσα τῶν λοιπῶν πόλεων, μεγάλως εὐτελεῖς ἐκείνους ἀποδείκνυσιν. εἰ δὲ βούλει, λέγω δικαιοσύνης ἀντὶ τῆς φιλανθρωπίας φιλανθρωπίας εἰπὼν, ὥσπερ ἐπιδιορθοῦται, καὶ φησὶ δικαιοσύνης ἀντὶ τῆς φιλανθρωπίας, ἵνα μή τις εἶπε ὡς καὶ τοὺς ἀδικοῦντας καταφεύγοντας ἐδέχοντο. τὸ σχῆμα διορθωτικόν. φησὶ δὲ δικαιοσύνην ἀντὶ τῆς φιλανθρωπίας, τὸ γένος ἀντὶ τοῦ μέρους δηλῶν. τῆς γὰρ δικαιοσύνης μέρος ἡ φιλανθρωπία.

117,14 ὥσπερ γὰρ κήρυκες μεταφορικῶς εἶπεν αὐτοὺς κήρυκας ὀνομάσας τοὺς καταφεύγοντας. καὶ πάλιν οἰκείως τούτου ἐπήνεγκεν τὴν ἀνάρρησιν, τουτέστι τὴν ἀναγόρευσιν, ὅπερ ἐστὶ κύριον κήρυκος. τὸ δὲ ἀπ᾽ αὐτῶν τῶν ἔργων, καὶ οὐ διὰ τῆς φωνῆς κηρύξαντες. ἅπαντες οὗτοι οὓς εὖ ποιεῖ.

117,15 τὴν ἀνάρρησιν ἀναγόρευσιν.

117,16 ἀμείνους τὸ ἀμείνους ἐνταῦθα ἀνδρειοτέρους ἔλαβεν, ἵνα δείξῃ πάλιν τὸ δίκαιον καὶ τὸ ἀνδρεῖον τῶν Ἀθηναίων,

117,17 ἀριθμὸν πληρούσας τουτέστι μόνον ὄνομα ἐχούσας.

117,18 τὴν δ᾽ ὡς ἀληθῶς ὥσπερ πόλιν ἐν χωρίοις ἀνέχουσαν, ὁμοίαν τῇ κατασκευῇ καὶ τοῖς λογισμοῖς τὸ ἐν χωρίοις ἀνέχουσαν, καὶ τὸ ὁμοίαν τῇ κατασκευῇ καὶ τοῖς λογισμοῖς, οὐκ ἔστι πρὸς τὸ τήνδε, ἀλλὰ πρὸς τὸ παράδειγμα, τὸ ὥσπερ πόλιν. ὁμοίαν τῇ κατασκευῇ καὶ τοῖς λογισμοῖς ἤγουν ὥσπερ ὑψηλή ἐστι τῇ θέσει, οὕτω καὶ τῷ βούλεσθαι.

117,19 τῶν μὲν τὰ δίκαια τιμώντων ἰστέον δὲ ὅτι τοῖς μὲν τὰ δίκαια τιμῶσι τὸ καταφρονεῖσθαι ἔπεται δι᾽ ἡμερότητα, τοῖς δὲ δύναμιν ἔχουσι τὸ μηδενὶ

εἴκειν δι᾽ αὐτὸ τοῦτο. ἡ οὖν τῶν Ἀθηναίων πόλις, ὡς Ἀριστείδης φησὶ, τὴν ἑκατέρου δοκοῦσαν φαυλότητα εἰς ἐπανόρθωσιν ἑκατέρου κέκτηται, τὴν μὲν ἐκ τῆς δικαιοσύνης ἡμερότητα τῇ δυνάμει μίξασα, τὸ δὲ τῆς δυνάμεως καρτερὸν τῇ δικαιοσύνῃ, ἵνα δι᾽ ἀμφοτέρων θαυμαζομένη ἐν οὐδετέρῳ κακίζηται. ἔστι δὲ τοῦτο τὸ σχῆμα ὥσπερ χιαστόν.

δικαιοσύνης ἡμερότης ἀνδρείας καρτερόν.

τὸ σχῆμα τοῦτο χιαστὸν ἐκλήθη· διότι δύο προτάσεων οὐσῶν, τοῦ τε δικαίου καὶ τοῦ δυνατοῦ, ὃ μὲν ἔδει τῷ δικαίῳ ἀποδοῦναι, τοῦτο ἀπένειμε τῷ δυνατῷ, ὃ δὲ τῷ δυνατῷ, τῷ δικαίῳ πάλιν ἀντέθηκεν ἐναλλὰξ τὰς ἐννοίας. καλεῖται δὲ τὸ σχῆμα τοῦτο καὶ παρακειμένου κακοῦ ἀναίρεσις. λέγεται δὲ οὕτως, ἐπειδὴ παράκειται ὡς δικαίοις τὸ εὐχερῶς πάσχειν καὶ ἀδικεῖσθαι, ὡς δὲ ἀνδρείοις τὸ ἀδικεῖν. ἀνεῖλε δὲ τὴν ἑκατέρου κακίαν, οἷον, δικαία οὖσα, καὶ οὐ πάσχουσα, καὶ ἀνδρεία οὖσα, οὐκ ἀδικοῦσα. εἰ γὰρ καὶ ἐν τέλει ἔθηκε τὸ συγκριτικὸν τοῦ ὀνόματος, καὶ δοκεῖ συγκριτικὸν, ἀλλ᾽ οὐκ ἔστιν· ἦ γὰρ ἂν ὤφειλεν εἰπεῖν δικαιοτέραν, ἀλλ᾽ ὡς εἴρηται, παρακειμένου κακοῦ μεθοδεύει ἀναίρεσιν. τί οὖν θέλει τὸ νόημα; ἐπειδὴ παράκειται ὡς δικαίοις τὸ πάσχειν, ὡς δὲ ἀνδρείοις τὸ ἀδικεῖν, ἀνεῖλεν, ὡς εἴπομεν, τὴν ἑκατέρου κακίαν, ἀντὶ τοῦ δικαία, καὶ οὐ πάσχουσα, καὶ ἀνδρεία οὖσα, καὶ οὐκ ἀδικοῦσα. ἄλλοι δὲ λέγουσι τοῦτο τὸ σχῆμα διάλληλον, ἄλλοι δὲ ἐναγώνιον, παρὰ τὸ ἀγῶνα δοκεῖν ἔχειν τῇ ἐπαγωγῇ τῶν νοημάτων, ἕτεροι δὲ στρεπτόλυτον, παρὰ τὸ ἐκ τῶν ἀντιστρόφων λῦον τὰ λεγόμενα.

δίκαιον δικαιότερον κατὰ στοῖχον τὸ σχῆμα καὶ διαγώνιον διαγώνιον κατὰ στοῖχον ἢ πλεκτὸν καὶ λυτὸν ἀνδρεῖον ἀνδρειότερον

δυνατώτερον δικαιότερον δ β γ α δυνατὴ δικαία

ὀχυρωτέραν ἀσφαλεστέραν.

117,21 τῶν δὲ ἐπὶ τοῦ βιάζεσθαι ἤγουν τῶν δυνατῶν. ἄμφω τὼ γένη τοὺς δυνατοὺς καὶ τοὺς δικαίους. γένη καλεῖ τὰ συστήματα, τοὺς ἀνδρείους καὶ τοὺς δικαίους. δι᾽ ἀμφοῖν νικᾶν τὸ δι᾽ ἀμφοῖν λέγει, ἢ διότι τοὺς δυνατοὺς καὶ τοὺς δικαίους νικᾷ τῷ παρὰ μέρος μὲν ἐκείνους εἶναι

τοιούτους, αὐτὴν δὲ ἄμφω ταῦτα κεκτῆσθαι, ἢ καὶ διὰ τοῦτο μὲν, καὶ διότι μᾶλλον αὕτη ταῦτα ἔχει.

118,2 τῶν ἀρχαίων ἢ ὧν πρόσθεν ἐμνήσθη· ἐκεῖνα γὰρ μόνης φιλανθρωπίας ἦν· ἢ ἀρχαίων ἀντὶ τοῦ παλαιοῦ νοητέον. τῶν ἀρχαίων ἐξειλεγμένα ἵνα δείξῃ ὅτι πολλῶν ὄντων τὰ τίμια εἶπεν. πρὸς τοὺς ἑκάστοτε ἐπιόντας κατ᾽ αὐτῆς.

118,4 Ἀμαζόσι μὲν γὰρ Ἡρακλῆς ὑπ᾽ Εὐρυσθέως πεμφθεὶς τὸν ζωστῆρα Ἱππολύτης, τῆς τῶν Ἀμαζόνων στρατηγοῦ, εἵληφεν. ἀγανακτήσασαι οὖν αὗται τῆς Ἑλλάδος καταστρατεύονται, καὶ πολλὰς καταστρέψασαι πόλεις, ἐπεὶ μέχρι τῆς Ἀττικῆς ἦλθον, ὑπὸ τοῦ Θησέως, βασιλεύοντος Ἀθηναίων, κατεπολεμήθησαν· καὶ ὃς Ἱππολύτης λαβὼν καὶ συγγενόμενος ἔτεκε τὸν Ἱππόλυτον. οἰκοῦσι δὲ Ἀμαζόνες ἐν Σκυθίᾳ παρὰ τὸν Θερμώδοντα ποταμόν. Ἡρακλῆς ὑπ᾽ Εὐρυσθέως πεμφθεὶς τὸν ζωστῆρα Ἱππολύτης τῆς Ἀμαζόνος ἐκόμισεν. ἀγανακτήσασαι αἱ Ἀμαζόνες κατὰ τῆς Ἑλλάδος στρατεύονται, καὶ πολλὰς κατεστρέψαντο πόλεις. ἐλθούσας δὲ αὐτὰς πρὸ τῆς Ἀττικῆς ὁ Θησεὺς, βασιλεὺς ὢν, συμβαλὼν νενίκηκε, καὶ λαβὼν Ἱππολύτην συνεγένετο αὐτῇ, ἀφ᾽ ἧς ἐγέννησε τὸν Ἱππόλυτον· οἰκοῦσι δὲ ἐν τῇ Σκυθίᾳ αἱ Ἀμαζόνες παρὰ Θερμώδοντα ποταμόν. αἳ παρῆλθον τοῖς ἔργοις τὴν φύσιν οὐ γὰρ οἰκεῖον ταῖς γυναιξὶν ὅπλα φέρειν καὶ ἀνδρίζεσθαι. ἐπειδὴ οὐδὲν ἐδόκει μέγα εἶναι τὸ τῆς νίκης, εἰ γυναῖκας ἐνίκησε, λέγει τὰς τὴν οἰκείαν φύσιν παραδραμούσας, αὔξων αὐτῶν τὴν δύναμιν· γυναῖκες γὰρ οὖσαι τοῖς ἔργοις τοὺς ἄνδρας ἐνίκησαν. πλέον δὲ αὔξων εἶπεν, οὐδεὶς αὐταῖς ἀντᾶραι τετόλμηκε. λέγει δὲ, αἳ παρῆλθον τοῖς ἔργοις τὴν φύσιν· γυναῖκας γὰρ ὑπερέβαινε τὸ ταῦτα εἰπεῖν.

118,5 οὐδενὸς ἀνταίροντος ἀνθισταμένου αὐταῖς. τῶν μέχρι τῆς Ἀττικῆς κατοικούντων. ἀλλ᾽ ἐξισώκεσαν ἤδη τὰς ἠπείρους ὥσπερ ἐπὶ τοῦ κύκλου ἀπὸ τοῦ κέντρου ἀρχόμενοι γραμμὰς ἐφ᾽ ἅπασι ποιοῦμεν τοῖς πέρασιν, οὕτω καὶ αὗται, ὥσπερ τι σημεῖον, καὶ κέντρον τοῦ Θερμώδου ποιησάμεναι, τοὺς ἑκασταχόσε οἰκοῦντας Ἕλληνας κατεστρέψαντο, τήν τε Ἀσίαν καὶ τὴν Εὐρώπην ὥσπερ ἥνωσαν τῇ καταστροφῇ. τοιαύτην γὰρ ἔμφασιν ἔχει τὸ ἐξισώκεσαν. καὶ γὰρ πρὶν αὐτὰς συνάψαι τοῖς ἔργοις,

διῃρημέναι οὖσαι ἀνισότητα εἶχον αὐτῷ τῷ διῃρῆσθαι. ἀντὶ τοῦ ἐλέαναν νοητέον. πρὶν γὰρ τῆς τούτων ἐπιστρατείας δυσκόλως τις διὰ τῶν ἠπείρων ὥδευεν. ἐποίει δὲ τοῦτο τὰ ἐνοικοῦντα ἔθνη· ἃ πάντα καταστρεψάμεναι αὗται τὴν τραχύτητα τῆς ὁδοῦ ὥσπερ ἐξίσωσαν. τοῦτο κατὰ γεωμετρίαν εἶπεν. παντὸς γὰρ κύκλου αἱ ἀπὸ τοῦ κέντρου ἐμφερόμεναι εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσίν. ἀπὸ κοινοῦ δὲ τὸ ἐξισώκεσαν, τουτέστιν ἴσως ἦσαν νενικηκυῖαι.

118,6 ὥσπερ ἀπὸ σημείου τινός. τοῦ Θερμώδοντος ἐκ.

118,7 ὥσπερ ἐν στρατοπέδῳ στρατόπεδόν ἐστιν ὁ τόπος, ἐν ᾧ ἡ στρατιὰ ἵδρυται, καὶ ὁ τὰ κύκλῳ πάντα, ἃ στρατοπεδευόμενα νομίζονται. ἐν σκηνῇ. ἵνα δείξῃ τὸν δρόμον, ὅτι ἐσκήνουν μᾶλλον ἢ ἐμάχοντο.

118,8 τοῦ στρατοπέδου ἦγουν τῆς στρατοπεδεύσεως. ὥσπερ κάλω ῥαγέντος κάλων καὶ κάλος Ἀττικῶς κυρίως λέγεται ὁ σχοῖνος, ὃς ἀπέρχεται ἀπὸ τῆς κορυφῆς τοῦ ἱστοῦ τῆς νεὼς εἰς τὴν πρῴραν. ὥσπερ κάλου ῥαγέντος γράφεται καὶ κάλω Ἀττικῶς ἀπὸ εὐθείας τῆς ὁ κάλως. τὸ δὲ ῥαγέντος ἐμφαίνει τοῦ δρόμου τὸν τόνον· σχοίνῳ γὰρ τὸν δρόμον παρέβαλε τεινομένῳ, καὶ τελευταῖον ῥαγέντι.

118,9 διελέλυτο Ἀμαζόσιν ἥ τε ἀρχὴ καὶ ὁ δρόμος μέχρι γὰρ τῆς Ἀττικῆς κρατοῦσαι ἐχώρουν. ἡ πόλις κἀνταῦθα ἐβοήθησε τῇ κοινῇ φύσει τῇ φύσει λέγει αὐτῆς βεβοηθηκέναι, διὰ τὸ ὑπὸ γυναικῶν ἄνδρας ἡττᾶσθαι· τὸ δὲ κἀνταῦθα ὡς ἐπὶ τῶν Ἀργείων. κἀνταῦθα ὥσπερ καὶ ἐν ἄλλοις ἔργοις.

118,10 τῇ κοινῇ φύσει τῶν ἀνδρῶν δηλονότι. τὸ κοινῇ φύσει λέγει, ἢ διόυ οὐκ ἔδει ἄνδρας ὑπὸ γυναικῶν ἡττᾶσθαι, ὅπερ ἡ πόλις ἔπαυσεν· ἢ κοινῇ φύσει ἀντὶ τοῦ πᾶσιν ἀνθρώποις νοητέον· πάντας γὰρ αὗται κατέστρεφον. εἴ ποτε ἐγένοντο καθάπαξ γὰρ τότε τὸ σφῶν ἀπολώλει γένος οἶμαι δ' οὐδὲ Θρᾷκας αὐτοῖς μέμψασθαι τῆς συμφορᾶς Εὔμολπος, Θρᾴκης βασιλεὺς, υἱὸς Ποσειδῶνος καὶ Χιόνης, τῆς Ἑρμοῦ, ἀμυνόμενος Ἀθηναίοις, ὡς ἡττηθέντος αὐτῷ τοῦ πατρὸς Ἀθηνᾷ τὴν περὶ τῆς πόλεως κρίσιν, ἐστράτευσε κατ' αὐτῶν. μηκυνομένου δὲ τοῦ πολέμου, ἔχρησεν ὁ θεὸς, Ἐρεχθέα θῦσαι τὴν θυγατέρα Ἄγραυλον. καὶ τούτου γενομένου, ἔδοξεν

Εὐμόλπῳ καταλῦσαι τὴν ἔχθραν. διὸ τὸ μὲν γένος αὐτοῦ ἀπ᾽ ἐκείνου κατέστη δικάζειν ἐν Ἐλευσῖνι τὰ περὶ ἀσεβείας καὶ ἀρχιερατεύειν. διὸ κήρυκας καὶ Εὐμολπίδας ἐνταῦθα ἔστιν ἀκούειν· τὸ δὲ τοῦ Ἐρεχθέως βασιλεύειν. ἰστέον δὲ ὅτι ἡ Ἔρσα καὶ Πανδρόσα, αἱ τῆς Ἀγραύλου ἀδελφαὶ, συνανεῖλον ἑαυτὰς τῇ ἀδελφῇ· ὅρκῳ γὰρ πρόσθεν ἑαυτὰς κατέλαβον κοινωνεῖν ἐν ἅπασι ταύτῃ. καὶ οὗτοι γὰρ ὥσπερ αἱ Ἀμαζόνες ἠττήθησαν· συμφορὰν γὰρ καλεῖ τὴν ἧτταν. ἔστι δὲ διπλῆ ἡ γραφὴ, αὐταῖς καὶ αὐτοῖς, καὶ διπλῆ ἡ ἐξήγησις. ἢ γὰρ αὐτοῖς οὐκ ἐμέμψαντο, ὡς ἀναξίως ἡττηθεῖσιν. ἢ αὐταῖς ἀνεμέμψαντο, ὡς καὶ αὐτοὶ ἡττηθέντες ὑπ᾽ αὐτῶν. ὁ γὰρ τὰ αὐτὰ πάσχων ἑτέρῳ ἐγκαλεῖν οὐ δύναται. κατὰ τὸν αὐτὸν δὲ χρόνον Θρᾷκες ἐστράτευσαν ἐπὶ ἀρ καθ᾽ ὃν καὶ οἱ ἑπτὰ, ὡς δηλοῖ ἐν Φοινίσσαις Εὐριπίδης, διὰ Τειρεσίου πρὸς Κρέοντα λέγων «Κἀκεῖ γὰρ ἦν τις πόλεμος Εὐμόλπου δορὸς, οὗ καλλινίκους Κεκροπίδας ἔθηκ᾽ ἐγώ». δείκνυσι δὲ τὴν ἱστορίαν ταύτην προτέραν τῶν Ἀμαζόνων. ἔστι δὲ αὕτη. Εὔμολπος, ὁ βασιλεὺς Θρᾴκης, υἱὸς δὲ Ποσειδῶνος καὶ Χιόνης, ἀντιποιούμενος τῆς Ἀττικῆς, ὡς πατρῴου κτήματος, καὶ ὀργισθεὶς ὑπὲρ οὗ ἡττήθη ὁ πατὴρ αὐτοῦ, ἐστράτευσε κατὰ τῆς Ἀττικῆς. μηκυνομένου δὲ τοῦ πολέμου ἔδοξε καταλῦσαι τὴν ἔχθραν, καὶ τὸ μὲν γένος τὸ ἀπ᾽ ἐκείνου καταστῆσαι δικάζειν τὰ περὶ ἀσεβείας καὶ ἀρχιερατεύειν, τὸ δὲ τοῦ Ἐρεχθέως βασιλεύειν. καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀνδροτίωνος, δικάζεσθαι πρὸς Εὐμολπίδας, φράζειν πρὸς τὸν βασιλέα.

118,11 τῆς συμφορᾶς ἕνεκεν τῆς ἑαυτῶν.

118,13 ὥσπερ ἂν εἰ τὴν θάλατταν ἐνεχείρουν περαιοῦσθαι πεζῇ ὥσπερ γὰρ τοῦτο ἀδύνατον, οὕτω καὶ τὴν πόλιν ὑπ᾽ αὐτῶν, ἢ ἄλλων ὠντινωνοῦν κατεστρατεῦφθαι.

118,14 ὃ τοῖς πολλοῖς τῶν εἰωθότων λέγειν ἐπὶ τῷ τάφῳ τῷ δημοσίῳ παρεῖται κοινὸν ἦν σῆμα ἐπὶ τοῦ τῆς Ἀθηναίων πόλεως προαστείου, εἰς ὃ τοὺς ἐκ τῶν πολέμων τετελευτηκότας ἔθαπτον, χρώμενοι ἐπὶ τὰς ταφὰς νόμῳ τοιῷδε· ὃς γὰρ ἐδόκει ἱκανώτατος λέγειν, ᾑρημένος παρὰ τῆς πόλεως ἔλεγεν ἐπ᾽ αὐτοὺς τὸν προσήκοντα ἔπαινον· καὶ πρῶτον μὲν τὴν τῆς πόλεως φιλανθρωπίαν καὶ τὰς πράξεις διηγεῖτο, εἶθ᾽ οὕτω καὶ τὴν

τούτων ἀρετήν. ἐπειδὴ ἁρμόζει τοῦτο τὸ ἐπιχείρημα ἐπιταφίῳ, μέμφεται τοῖς ἐν τῷ ἐπιταφίῳ παραλιμπάνουσι τὸ λεγόμενον.

118,16 ἰδίᾳ πεφήνασιν ἐνταῦθα βουλόμενοί τινες χρήσασθαι συμφοραῖς ὑπὲρ τοῦ κοινοῦ πολλοὶ γὰρ ὑπὲρ τῆς πόλεως δεδώκασιν ἑαυτοὺς εἰς σφαγάς. τὸ δὲ χρήσασθαι εἶπεν, ὡς ἂν ἀπολαύσεως.

118,17 ᾧ γὰρ ἑώρων τρόπῳ—ἡνίκ᾽ ἂν ὁ καιρὸς καλοίη παράδειγμα τῆς εὐψυχίας ἐποιοῦντο τὴν πόλιν.

118,18 προσφέρεσθαι ὁμιλεῖν. ὥστε καὶ ἐκ τῶν κοινῶν καὶ ἐκ τῶν ἰδίων διπλῆν εἶναι τῇ πόλει τὴν ὅλην φιλοτιμίαν κοινῶν λέγει, ὧν ἐποίησεν ἡ πόλις, ἰδίων δὲ, ὧν ἕκαστος ἑαυτὸν ἐπιδέδωκε· διὸ καὶ τὴν εὐδοξίαν διπλῆν ἔχει ἡ πόλις.

118,19 ὃ δέ γε ἔτι τούτου μεῖζόν ἐστιν τοῦτο εἴπω δηλονότι.

118,20 λέγεται γὰρ Ἐρεχθεὺς μὲν τινὲς ἐνόμισαν, ὡς ξένου αὐτοῦ μνησθῆναι τοῦ Ἐρεχθέως διὰ τὸ πρὸ αὐτοῦ εἰρημένον· οὐκ ἔστι δὲ, ἀλλὰ περὶ πολιτῶν εἰπὼν ἄνω καὶ ξένων, πρῶτον μὲν περὶ πολιτῶν, δεύτερον δὲ περὶ τοῦ Ἐρεχθέως καὶ τοῦ Λεῶ, εἶτα καὶ περὶ ξένων, τοῦ Κόδρου. ἔχει γὰρ ὧδε· Θυμίλης ἐβασίλευσε τῆς Ἀττικῆς, ἐκ Θησέως καταγόμενος, ἐφ᾽ οὗ Βοιωτοὶ, Ξάνθου ἡγεμόνος αὐτῶν, ἐφιλονείκησαν πρὸς Ἀθηναίους περὶ χώρας τινὸς, καὶ ἔδοξε τοὺς ἐξ ἑκατέρου βασιλεῖς μονομαχῆσαι. ὁ Θυμίλης γηράσκων, καὶ μὴ δυνάμενος μαχέσεσθαι Μελάνθῳ τινι Μεσσηνίῳ, ἀπογόνῳ μὲν Νέστορος, πατρὶ δὲ Κόδρου, παρεχώρησε τῆς βασιλείας ἐπὶ τῷ μονομαχῆσαι. συμμαχοῦντος δὲ Διονύσου τῷ Ξάνθῳ ἐνεκάλει ὁ Μέλανθος αὐτῷ, ὡς μεθ᾽ ἑτέρου μαχομένῳ. στραφέντος ἐκείνου ἐπὶ τῷ ἰδεῖν τὸν μεθ᾽ ἑαυτοῦ βαλὼν ἀνεῖλεν. ὅθεν τὰ Ἀπατούρια τὴν ἑορτὴν ἄγουσιν Ἀθηναῖοι, διότι ἀπατήσας αὐτὸν ἀνεῖλεν. θυγατέρα λέγει τὴν Ἄγραυλον, περὶ ἧς καὶ Δημοσθένης ἐν τῷ παραπρεσβείας φησὶ, καὶ τῶν τοῦ ἐφήβου τῆς Ἀγραύλου ὅρκων. αἱ δὲ ταύτης ἀδελφαὶ συνανεῖλον ἑαυτὰς τῇ ἀδελφῇ, ἥ τε Ἔρσα καὶ Πανδρόση. ὅρκῳ γὰρ ἀλλήλας κατέκλεισαν κοινωνῆσαι ἐν ἅπασιν ἑαυταῖς. τινὲς δὲ ἐνόμισαν ὡς ξένους αὐτῶν μεμνῆσθαι, τοῦ Ἐρεχθέως δὲ τὸ πρὸ αὐτοῦ εἰρημένον. οὐκ ἔστι δέ· ἀλλὰ περὶ πολιτῶν εἰπὼν ἄνω καὶ περὶ ξένων δύο, τρία

ἐπάγει τὰ παραδείγματα, πολίτην μὲν τὸν Ἐρεχθέα, καὶ τὰς θυγατέρας αὐτοῦ, ξένον δὲ τὸν Κόδρον, εἰς βασιλείαν ξένον ὄντα. οὕτως Θυμοίτης ἐβασίλευσε τῆς Ἀττικῆς, ἐκ Θησέως καταγόμενος, ἐφ᾽ οὗ Βοιωτοὶ Ξάνθου ἡγουμένου αὐτῶν ἐφιλονείκησαν πρὸς Ἀθηναίους περὶ χωρίου τινὸς, καὶ ἔδοξε τοὺς ἐξ ἑκατέρων βασιλεῖς μονομαχῆσαι. ὁ Θυμοίτης δὲ γεγηρακὼς, καὶ μὴ δυνάμενος ἀγωνίσασθαι Μελάνθῳ τινὶ Μεσσηνίῳ, ἀπογόνῳ τοῦ Νέστορος, παρεχώρησε τὴν βασιλείαν ἐπὶ τῷ μονομαχῆσαι. φανέντος δὲ τοῦ Διονύσου, ἐνεκάλει ὁ Μέλανθος τῷ Ξάνθῳ, ὡς μεθ᾽ ἑτέρου μαχομένῳ. ἐκείνου δὲ στραφέντος ἐπὶ τῷ ἰδεῖν τὸν μεθ᾽ ἑαυτοῦ, βαλὼν ἀνεῖλεν· ὅθεν τὰ Ἀπατούρια τὴν ἑορτὴν ἄγουσιν Ἀθηναῖοι. τοῦ δὲ Μελάνθου παῖς γίνεται Κόδρος.

118,21 προσαγαγεῖν δ᾽ λέγεται.

119,1 Λεὼς δὲ ὅμοια τούτῳ βουλεύσας ἐκστῆναι τῶν θυγατέρων καὶ οὗτος ἐν τῷ λοιμῷ λοιμοῦ ποτε καταλαβόντος τὰς Ἀθήνας, ἔχρησεν ὁ θεὸς, μὴ παύσεσθαι τὸ δεινὸν, πρὶν ἂν τῶν πολιτῶν τις τὰ ἑαυτοῦ τέκνα ἐπιδῷ πρὸς ἀναίρεσιν. Λεώς τις ἔχων τρεῖς θυγατέρας, Φρασιθέαν, Θεοπόμπην καὶ Εὐβούλην, προθύμως ἐπιδέδωκεν. ὅθεν αὐταῖς τὸ ἱερὸν ᾠκοδομήθη, τὸ καλούμενον Λεωκόριον.

119,2 ἐκστῆναι τῶν θυγατέρων λέγεται. Κόδρος δὲ ἐν τῷ πρὸς Δωριέας πολέμῳ Ἀθηναίων καὶ Λακεδαιμονίων πολεμούντων, ἔχρησεν ὁ θεὸς, τοὺς καταρχομένους τῆς μάχης ἡττᾶσθαι. προσποιησάμενος οὖν προσαιτεῖν ὁ Κόδρος ἀπῆλθε πρὸς Λακεδαιμονίους παροξύνων αὐτοὺς εἰς πόλεμον. εἶτα ἐκεῖνοι ἀγνοήσαντες ἀνεῖλον αὐτὸν, καὶ οὕτως ἡττήθησαν.

119,3 αὐτὸς ἐθελοντὴς ὑπὲρ τῆς χώρας ἀποθανεῖν οὐ γὰρ ἠνάγκαζεν αὐτὸν ὁ χρησμὸς, ὡς Ἐρεχθέα καὶ Λεών.

119,4 οἷς ὑπάρχει τοιαῦτα τῶν σφετέρων διηγήσασθαι τοῖς Θηβαίοις. καὶ γὰρ ἐν αὐτοῖς Μενοικεὺς, ὁ Κρέοντος, ὑπὲρ τῆς πόλεως ἑκὼν ἑαυτὸν ἀνεῖλε· τὸ δὲ σφετέρων ἢ πολιτῶν νοητέον ἢ πραγμάτων. ἀντέπιπτεν αὐτῷ· ἀλλὰ Κρέων ἐν Θήβαις Μενοικέα τὸν υἱὸν ἐπιδέδωκεν εἰς σφαγὴν ὑπὲρ τῆς πόλεως· λύει οὖν αὐτὸ λέγων· ἀλλ᾽ ἀρχηγὸς ἡ πόλις γέγονε τούτου. ἠρίστευσε δὲ Κρέων τὴν Ἀθηναίων πόλιν ἔχων διδάσκαλον. οἷον κἂν

ἔχωσιν εἰπεῖν Ἀργείους καὶ Θηβαίους, ὅτι ὑπὲρ αὐτῶν ἀποθνήσκειν ᾑρήσαντο, τούτων τῶν παρ᾽ ἡμῶν μείζων οὐ γεγένηται παρ᾽ αὐτοῖς. ἀλλ᾽ ἀρχηγὸς, φησὶ, τούτων ἐγένετο ἡ πόλις, ὥστε κατὰ μίμησιν ἐκεῖνοι ἐπέδωκαν ἑαυτούς. οὐ πρὸς τὸ ξένον δὲ ἀπήντησεν, ἀλλὰ προέταξε πρῶτον τοὺς πολίτας, ὕστερον δὲ λέγει περὶ τῶν ξένων· ἔνθα λέγει τὸν Κόδρον· ἐπαινεῖ δὲ πάλιν τὸ ἀνδρεῖον.

119,4bis τούτοις μηδὲν εἶναι πλέον εἰπεῖν τῶν παρ᾽ ἡμῖν ἅπαξ γὰρ τοῦτο ἐν ἑαυτοῖς, ἐν ἡμῖν δὲ πολλάκις γέγονεν.

119,5 τῶν τοιούτων ἔργων ἄρχειν τὴν πόλιν ἐκεῖνοι γὰρ ἐξ ἡμῶν τοῦτ᾽ ἐμιμήσαντο. διὰ τοσούτων ὧν ἔφημεν. ἔτι πλειόνων τῶν παραδειγμάτων ἃ διὰ τὸ πλῆθος παρήκαμεν.

119,6 μηδεμίαν λείπεσθαι μήτε κοινὴν ὑπερβολὴν, μήτ᾽ ἰδίαν ἀλλὰ κοινῇ καὶ ἰδίᾳ μέγιστα φιλοτιμήματα γέγονεν. οὐ τοίνυν τῶν μὲν ἄλλων βούλεται δεῖξαι καὶ τὴν πόλιν τῆς προθυμίας αὐτοὺς ἀμειψαμένην. οὐ γὰρ μόνον τῶν πολεμίων ἐκράτει, ἀλλ᾽ οὐδὲ τῶν εὖ ποιησάντων ἠττήθη. οὐκ ἐφάνη, φησὶν, ἀγνώμων ἡ πόλις πρὸς αὐτοὺς, ἀλλὰ χάριτας ἀποδέδωκεν.

119,7 οὐδὲ καθ᾽ ἓν ἡττᾶσθαι τινὸς πόλεως.

119,8 κεκρατηκέναι τῇ πόλει.

119,9 Κόδρῳ μὲν δοῦσα τὴν ἀρχὴν εἰς τοὺς παῖδας τὸν γὰρ Μέδοντα βασιλέα κατέστησε τῆς πόλεως, χωλὸν ὄντα, καὶ μὴ δυνάμενον ἐξελθεῖν. Νηλεὺς δὲ ὁ ἀδελφὸς αὐτοῦ τῆς Ἰώνων ἀποικίας ἡγήσατο ἐν Μιλήτῳ. τὸν μὲν γὰρ Μέδοντα βασιλέα κατέστησε, χωλὸν ὄντα, καὶ μὴ δυνάμενον τῆς πατρίδος διεξελθεῖν. ὁ δὲ Νηλεὺς τῆς Ἰώνων ἡγήσατο ἐν Μιλήτῳ, ἀδελφὸς ὢν αὐτοῦ. ἐπειδὴ δὲ ἐτεθνήκει Κόδρος, οἱ τούτου παῖδες τὴν δωρεὰν ἐκομίσαντο.

119,10 κἀν τῇ ὑπερορίᾳ τῇ ἀποικίᾳ.

119,11 τῶν κορῶν τοῦ Λεῶ.

119,12 πάρεδρον ἀντὶ τοῦ ἱερέα. δεινῶς δὲ εἶπε πάρεδρον, οἱονεὶ συγκαθήμενον.

119,13 καὶ ταῦτα μὲν ἡμῖν τὸν λόγον τὸν περὶ τῶν πράξεων διεῖλεν εἵς τε τοὺς ἀγῶνας τοὺς ὑπὲρ τῶν καταφευγόντων εἰς αὐτὴν, καὶ τοὺς ὑπὲρ αὐτῆς. ἔνθα καὶ μέμνηται τῶν ἰδίως προθυμηθέντων ὑπὲρ αὐτῆς ἀποθανεῖν, πολιτῶν τε καὶ ξένων. πάλιν δὲ τὸν τῶν Ἀθηναίων πόλεμον διαιρεῖ εἵς τε τὰς μετὰ τῶν ἄλλων Ἑλλήνων πράξεις, καὶ εἰς ἃς αὐτοὶ μόνοι ἐπεδείξαντο. ἐπιλογίζεται δὲ ἐνταῦθα· εἶτα εὐθὺς προοιμιάζεται περὶ τῶν νέων πολέμων. πρὸς τοὺς ἔξωθεν Ἕλληνας.

119,14 τῆς ὑπὲρ αὐτῶν εὐψυχίας ἧς εἶχον. ἐν τοῖς ἐπείγουσι ἀναγκαίοις πράγμασι.

119,15 ἐπιφανῶν τε ἵνα μὴ ἁπλῶς δείξῃ εὐτελεῖς τοὺς ἐπιδόντας ἑαυτοὺς, εἶπε τὸ ἐπιφανῶν, τουτέστι δυνατῶν. ὡς ἀλλήλοις ὡμίλουν τὰ πάντα σχεδὸν τῶν βιβλίων ἀλλήλους ἔχουσιν, ὅπερ ἐστὶ σόλοικον κατὰ σύνταξιν, καί μοι δοκεῖ σφάλμα εἶναι τῶν ἀντιγράφων. εὕρηται γὰρ ἔν τινι βιβλίῳ παλαιῷ καὶ τοῖς πᾶσιν εὖ ἔχοντα ἀλλήλοις ὡμίλλουν· καὶ ἔστι τοῦτο ἀληθές, λέγει δὲ καὶ αὖ· δείγματα ὑπάρχουσι τῶν ἐν αὐτῇ προεχόντων καὶ ἐλαττόνων, πῶς ἀλλήλοις ὡμίλλουν· ἢ διετίθεντο καὶ διέκειντο καὶ ἐχρῶντο οἵ τε προέχοντες τοῖς ἐλάττοσι, καὶ οἱ ἐλάττους τοῖς προέχουσιν.

119,17 ὅπως ἂν συμπίπτοι τῷ λόγῳ συνάφειαν ἔχῃ. ἤγουν ἵνα συνάφειαν καὶ ἁρμονίαν ἔχωσιν. τοῦ μὴ πολὺ τὰς πράξεις τῷ χρόνῳ παρενεγκεῖν ἤγουν ἵνα μὴ παρενέγκωμεν καὶ ἐξάγωμεν αὐτὰς τοῦ προσήκοντος χρόνου, ἀλλ᾽ ἀκολούθως καὶ μετὰ συνεχείας εἴπωμεν. ἤγουν ἕνεκα τοῦ μὴ πολλὴν διάστασιν τούτων ἐργάσασθαι, ἀλλ᾽ ὥσπερ ἐφεξῆς καὶ κατὰ συνέχειαν γεγόνασιν, οὕτω καὶ τὸν περὶ αὐτῶν ἀποδοῦναι λόγον. ἀντὶ τοῦ μὴ τὰ πρῶτα ὕστερον λέγειν, καὶ τὰ ὕστερα πρῶτα διηγεῖσθαι.

119,18 ἔξεστι δ᾽ ἀκούοντας ἐπ᾽ αὐτῶν τῶν ἔργων διαιρεῖν τά τε κοινὰ καὶ τὰ ἴδια ἵνα μὴ μηκύνῃ τὸν λόγον ἐν τῇ τῶν ἀκροατῶν κρίσει καταλιμπάνει τὸ πρᾶγμα, καί φησιν, ὅτε λέγω τὰ Περσικὰ, ὑπονοεῖτε εἶναι κοινόν. ὑπὲρ γὰρ τῆς Ἑλλάδος εἰργάσατο. ὅτε περὶ Θηβαίων, ἢ ἄλλων, μερικόν· ὑπὲρ γὰρ τῆς οἰκείας αὐτῇ χώρας πρὸς τούτους ἐμαχέσατο.

119,19 εἰ μὲν οὖν περὶ ἄλλης τινὸς τεχνικὸν τὸ προοιμιάζεσθαι, μὴ μόνον κεφαλαίων ἀρχομένων, ἀλλὰ καί τινων πράξεων· ὅπερ καὶ ἐνταῦθα ὁ

ῥήτωρ ποιεῖ. αὔξησιν γάρ τινα βούλεται καὶ μέγεθος περιθεῖναι τῷ λόγῳ ἐν τοῖς πράγμασιν. ἐπεὶ δὲ ἅπτεσθαι μέλλει τῶν Περσικῶν, ταῦτα δὲ μείζω παντὸς ἄλλου ἔργου τοῖς Ἀθηναίοις γεγόνασιν, ὥσπερ προαγορεύει πᾶσι μὴ δυσχερῶς ἔχειν, εἰ μὴ περὶ τῶν ἀρχαίων μνησθείη. ἰστέον δὲ ὅτι ἢ ἔστι τινὰ πρὸ αὐτῶν ἔργα τῆς πόλεως μικρὰ καὶ διὰ τοῦτο τοῦτόν φασιν, ἢ οὐκ ἔστιν, ἀλλὰ τεχνικῶς σοφίζεται, ἵνα τὸ τῶν ἐγκωμίων μέγεθος δείξῃ· καὶ γὰρ πρὸ τῶν ἐν Μαραθῶνι μίαν διέξεισι πρᾶξιν τὴν περὶ τῶν τριῶν ἐθνῶν. ἔστι δὲ τοιαύτη· ἐπιχειροῦντος τὴν βουλὴν διαφθείρειν Κλεισθένους, ἐξήλασαν τοῦτον Ἀθηναῖοι. ὀργισθεὶς ἐκεῖνος στρατεύεται κατὰ Ἀθηναίων, Λακεδαιμονίους συμμάχους προσειληφὼς, ὧν ἦρχε Δημάρατος, καὶ Βοιωτοὺς καὶ Εὐβοέας. εἶτα οἱ μὲν Λακεδαιμόνιοι ἀναβαλλόμενοι τὴν συμμαχίαν ἀνεχώρησαν, οἱ δὲ Ἀθηναῖοι τῇ αὐτῇ ἡμέρᾳ τῶν μὲν Βοιωτῶν συμβαλλόντων ἐν τῇ Ἀττικῇ ἐκράτησαν, πρὸς δὲ τὴν Εὔβοιαν πέμψαντες τούς τε Εὐβοέας κατεστρέψαντο, καὶ τἀκείνῃ κατὰ κράτος διέφθειραν. διὰ δὲ τοῦ εἰπεῖν τριῶν ἐθνῶν τῶν μεγίστων αὔξει τὸν πόλεμον. τεχνικὸν τὸ προοιμιάζεσθαι, μὴ μόνων κεφαλαίων ἀρχομένων τεχνικῶς, ἀλλὰ καὶ πράξεων. ὅπερ κἀνταῦθα ὁ ῥήτωρ πεποίηκεν. αὔξησιν γάρ τινα καὶ μέγεθος βούλεται παραθεῖναι τοῖς πράγμασι. μέλλων γὰρ ἅπτεσθαι τῶν Περσικῶν παραιτεῖται συγγνώμην αἰτῶν, εἰ μὴ περὶ τῶν ἀρχαιοτέρων δύναται μνησθῆναι. πρὸ μέντοι τῶν ἐν Μαραθῶνι μίαν διέξεισι πρᾶξιν, τὴν περὶ τῶν τριῶν ἐθνῶν, περὶ ὧν ἐξῆς φησι. οὐκ ἂν ἦν παρελθεῖν, ἃς νῦν δεήσει, πράξεις τὸ σχῆμα ἐγκωμιαστικόν. σοφίζεται δέ. οὐδὲ γὰρ παραλιμπάνει, ἀλλὰ ὑποκρίνεται, βουλόμενος δεῖξαι τὸ πλῆθος τῶν ἐγκωμίων.

119,21 οἵας ἄν τις ἐζήτησε εἰς ἐγκώμιον.

120,1 τὰ νικήσαντα τὰ δόξαντα καλλίω λεχθῆναι.

120,3 μᾶλλον δ’ ὑπὲρ μόνης· πλείω σχεδὸν ἢ τῶν ἄλλων ἁπασῶν τὸ διαφέρειν τοῦτο τῶν ἄνω λέγωμεν, ὅτι ἐπειδὴ ἐν τῷ προειρημένῳ ᾐνίξατο, ὡς καὶ ἄλλων ἐπαινεθεισῶν πόλεων σὺν αὐτῇ, ἐνταῦθα πλέον τῶν πασῶν αὐτὴν ἐπαινεθεῖσαν ἀποδεῖξαι προείρηται.

120,4 ἀνάγκη τὰ πλεῖστα παραλιπεῖν οὐκ εἶπε τὰ μικρὰ, ἀλλὰ τὰ πλεῖστα, ὡς καὶ αὐτῶν ὄντων μεγάλων.

120,5 ἐπεὶ τίς οὐκ ἂν ἀσμένως καὶ ταῦτα εἰς μέσον ἤνεγκεν εἰ ἐνεδέχετο.

120,6 ἃ ἑτέροις γ' ἂν ἤρκει καὶ μόνα εἰς ἐγκώμιον. τριῶν γὰρ ἐθνῶν τῶν μεγίστων αὔξει τὸν πόλεμον, εἰπὼν, τριῶν ἐθνῶν τῶν μεγίστων εἰς ἓν γινόμενον. ἡ δὲ ἐπὶ πρόθεσις ἀντὶ τῆς κατὰ ἐστίν, ὡς καὶ παρὰ Δημοσθένει. ἐν δὲ τῇ μάχῃ ταύτῃ ἡγεῖτο τοῦ στρατοῦ Δημάρατος, Λακεδαιμονίων βασιλεύς· λέγει δὲ καὶ ἐν τῷ πρώτῳ τῶν Λευκτρικῶν τὴν ἱστορίαν. Κύλων δέ τις Ὀλυμπιονίκης καταλαβὼν τὴν ἀκρόπολιν ἐπολιορκεῖτο ὑπὸ τῶν Ἀθηναίων. εἶτα χρόνῳ οὗτος μὲν ἔφυγεν, οἱ δὲ πολιορκούμενοι μετὰ σπονδῶν ἠβουλήθησαν κατελθεῖν. κατελθόντας τούτους ἐφόνευσαν Ἀθηναῖοι. καὶ ἐκ τούτου ἐκλήθη τὸ γένος τῶν ἐναγῶν, ἐξ ὧν εἷς ἦν καὶ ὁ Κλεισθένης. μετὰ τὸ ἐκβληθῆναι τοὺς ἐναγεῖς, ἐπιχειροῦντος καὶ τὴν βουλὴν διαφθείρειν Κλεομένους, ἐξέβαλον τοῦτον Ἀθηναῖοι. ὀργισθεὶς ἐκεῖνος στρατεύεται κατὰ Ἀθηναίων, μετὰ Δημαράτου, Λακεδαιμονίους συμμάχους προσειληφὼς, Βοιωτοὺς, Εὐβοέας, Κορινθίους. εἶτα οἱ Κορίνθιοι, ὡς ἅτε δὴ εὐσεβεῖς, ἤρξαντο ἀναβάλλεσθαι τὴν συμμαχίαν, φάσκοντες μηδὲν ἠδικῆσθαι ὑπ' Ἀθηναίων. λεγόντων τούτων ταῦτα, καὶ οἱ ἄλλοι σύμμαχοι οἱ μὲν ἐπείθοντο, οἱ δ' οὔ. καὶ ὁ Δημάρατος δὲ τῶν μὴ βουλομένων πολεμεῖν τοῖς Ἀθηναίοις ἐτύγχανε· τέλος γοῦν στασιαζόντων τῶν συμμάχων, οἱ μὲν Λακεδαιμόνιοι ἀνεχώρησαν, οἱ δὲ Ἀθηναῖοι τῶν μὲν Λακεδαιμονίων ἐφείσαντο, ὡς μὴ συγχωρησάντων γενέσθαι τὸν πόλεμον, τοὺς δὲ Εὐβοέας καὶ Βοιωτοὺς ἐν τῇ αὐτῇ ἡμέρᾳ κατηγωνίσαντο. διὸ καὶ οἱ Λακεδαιμόνιοι ἐπολέμησαν τοὺς δώδεκα βασιλεῖς. Ἱππάρχου, τοῦ Πεισιστράτου υἱοῦ, τελευτήσαντος, ὁ ἀδελφὸς τούτου, Ἱππίας, ὠμῶς ἐκράτει τῶν Ἀθηναίων. μὴ φέροντες τούτου τὴν βίαν οἱ Ἀλκμαιονίδαι ἐξῆλθον ἐκ τῆς Ἀττικῆς, ὧν εἷς ἦν καὶ ὁ Κλεισθένης, ὃς τὴν Πυθίαν, τουτέστιν ἀδελφοῖς ἱέρειαν, παρεκάλει ἐπὶ τῷ χρῆσαι τοῖς Λακεδαίμοσι βοηθῆσαι ταῖς Ἀθήναις πολέμων τοῖς τυράννοις. λαβόντες τοίνυν τὸν χρησμὸν Λακεδαιμόνιοι ἔπεμψαν κατὰ τῶν Πεισιστρατιδῶν Ἀγχιμόλιον μετὰ στρατιᾶς, ὃς ἐτελεύτησεν ἐν τῷ πολέμῳ. ὀργισθέντες ἐπὶ τούτῳ

Λακεδαιμόνιοι ἀπέστειλαν κατὰ τῶν τυράννων δευτέραν βοήθειαν μετὰ Κλεομένους ἄρχοντος, ὃς συμβαλὼν νικᾷ τοὺς περὶ Ἱππίαν. κατ᾽ ἐκεῖνο τοίνυν καιροῦ ἀντεπολιτεύοντο ἀλλήλοις Κλεισθένης, ὁ Ἀλκμαιωνίδης, καὶ Ἰσαγόρας, ὃς κατεκαλέσατο Κλεομένην πρὸς συμμαχίαν κατὰ Κλεισθένους· καὶ γὰρ ἐτύγχανε μοιχεύων τὴν τοῦ Ἰσαγόρου ὁ Κλεομένης. βουλόμενος οὖν ἐκβάλλειν τὸν Κλεισθένην ἀπὸ τῆς πόλεως ὁ Κλεομένης, ἀναγορεύει πάντας τοὺς ἐναγεῖς ἐκβληθῆναι τῆς πόλεως, οἵτινες τούτῳ τῷ τρόπῳ ἦσαν ἐναγεῖς, ᾧ ἀνωτέρω εἰρήκαμεν τῷ τοῦ Κύλωνος.

120,7 τὸ μὲν αὐτῷ φυγῆς τιμῆσαν τιμωρῆσαν. τίμημα καὶ κατάκρισιν καὶ τιμωρίαν ἐπιβαλόν. λέγω δὲ τὸ φυγεῖν, ἐπεὶ ὅλως κατὰ τῆς πόλεως ἐνεθυμήθη στρατεῦσαι. τὸ μὲν αὐτῷ φυγῇ τὸν πόλεμον λέγει, ὃν Ἡρόδοτος ἱστορεῖ πρὸ τοῦ Μηδικοῦ γενόμενον. ἡ δὲ ἱστορία αὕτη· Πελοποννήσιοι καὶ Εὐβοεῖς καὶ Βοιωτοὶ κατὰ Ἀθηναίων ἐστρατεύσαντο. οἱ δὲ Κορίνθιοι, ἄδικον τὸ πρᾶγμα νομίσαντες, ἔπεισαν Λακεδαιμονίους καὶ ἀνεχώρησαν. φυγὴν οὖν καλεῖ τὴν ἀναχώρησιν. ὁ Ἡρόδοτος ἐν τῇ πέμπτῃ βίβλῳ μετὰ τὸ διηγήσασθαι τὰ κατὰ τὸν Κλεισθένην, καὶ ὅτι ὑπὸ Κλεομένους ἐξηλάθη, ἐπιφέρει ὅπως ἀντιπαραταξαμένων Ἀθηναίων, Δωριεῖς μὲν ἀνεχώρησαν, οὐ δίκαια γνόντες ποιεῖν, Ἀθηναῖοι δὲ Βοιωτοῖς ἐπελθόντες, ὅπως αὐτοὺς νικήσαντες, καὶ ὁποίας ἀπαιτήσαντες δίκας, καὶ Χαλκιδέας τῆς αὐτῆς ἡμέρας ἀνέδησάν τε τὰς πέδας ἐν ἀκροπόλει, αἷς τοὺς αἰχμαλώτους ἔδησαν, καὶ χαλκεῖς τεθρίππου ἀπότισιν τῶν λύτρων.

120,8 τοσοῦτον περιῆν τῇ πόλει ἤγουν τοσαύτην εὐπορίαν εἶχε πρὸς τὸ μάχεσθαι.

120,9 πόρρω τοῦ καιροῦ γένωμαι ἤγουν ἀκαίρως μηκύνω τὸν λόγον. παρεὶς ἅπαν τὸ μέσον ἤγουν τὰς μεταξὺ ἐμφαινομένας πράξεις.

120,10 προσχρησάμενος καὶ πρὸς αὐτό γε τοῦτο τῇ τῆς πόλεως μεγαλοψυχίᾳ τὸ τῆς πόλεως μεγαλοψυχίᾳ λέγει, ἢ ὥσπερ ἡ πόλις μεγαλόψυχος οὖσα τὰ μὲν μικρὰ τῶν ἔργων παρέρχεται διὰ ταπεινότητα, πρὸς δὲ τὰ μείζω ἐπαποδύεται, οὕτω καὶ αὐτὸς ποιήσω ἐγκωμιάζων, καὶ τὴν ἐκείνης

μεγαλοψυχίαν μιμήσομαι. ἢ ἐπειδὴ μεγαλόψυχός ἐστιν ἡ πόλις, συγγνώμην ἕξει τῆς τούτων ἀποσιωπήσεως. τῇ καταφρονήσει· οὐ γὰρ τῇ φιλοτιμίᾳ τῶν χρημάτων τὸ τὰ μεγάλα ἀντὶ μικρῶν.

120,11 ὅτε γὰρ τοῖς Ἕλλησι ἐντεῦθεν ἄρχεται τῶν Μηδικῶν. καὶ πρῶτον λέγει τὰ κατὰ Μαραθῶνα, ὅτι καὶ πρῶτα ἐπράχθη. ὅτε γὰρ τοῖς Ἕλλησι καὶ βαρβάροις τὰ πράγματα ἐκρίνετο ἤγουν τὸ πότεροι δόξουσι βελτίους. ἐκρίνετο, οἱονεὶ ἐδοκιμάζετο· διάκρισις γὰρ ἦν τότε Ἑλληνικῆς καὶ βαρβαρικῆς φύσεως. μικρὸν πρὸς πολὺ τῆς γῆς μέρος ἠγωνίζετο ἡ Ἑλλὰς πρὸς ἅπασαν τὴν Ἀσίαν· πάσης γὰρ ἦρχεν ὁ Πέρσης. ὥσπερ πρὸς ἅπασαν τὴν Ἀσίαν μικρόν ἐστι μέρος τὸ τῆς Ἑλλάδος.

120,12 ὁ δ' ἀγὼν ἦν ὑπὲρ τῆς σωτηρίας ἅμα καὶ ἀρετῆς ἄμφω ταῦτα, καὶ σωτηρίας καὶ ἀρετῆς πρὸς μόνους τοὺς Ἕλληνας λάμβανε, τὸ δ' ἀρετῆς μόνον πρὸς τοὺς βαρβάρους.

120,13 ἐνίκησεν ἡ πόλις ἄμφω τὼ γένη τοὺς βαρβάρους καὶ τοὺς Ἕλληνας· τοὺς μὲν τῇ ἀρετῇ, τοὺς δὲ βαρβάρους τῷ πολέμῳ. κάλλιον εὐχῆς ἀντὶ τοῦ ὑπὲρ ὅσον εὔχεταί τις νικᾶν ἐδείχθησαν νικήσαντες, ὡς ἂν εἰ ἔλεγε, παρῆλθον τὰς ἐλπίδας ταῖς πράξεσιν. ὡς τὸ μὲν προσθήκην μικρὰν αὐτῆς ἀποφανθῆναι οὐ γὰρ τοσοῦτον συνετέλεσε πρὸς τὸν πόλεμον, ὅσον αὐτή. τὸ μὲν τὸ Ἑλληνικόν.

120,14 τὸ δὲ ἦγουν τὸ βαρβαρικόν. τὸ δὲ πλέον χεῖρον, ἢ ὅσῳ πλεῖον ἐδόκει καὶ γὰρ μᾶλλον ἀπεφάνθη τοῖς ἔργοις ἔλαττον αὐτῆς, ἢ ὑπερεῖχε τῷ ἀριθμῷ. τὸ βαρβαρικόν. λέγει δὲ, ὑπὲρ ὃ ἦν χεῖρον ἐφάνη τῇ κακίᾳ. ἔξεστι μὲν οὖν καὶ θεῶν τινα αἰτιάσασθαι ὡς πρὸς τὴν ἐπιθυμίαν εἶπε τοῦ κρείττονος, ἀντὶ τοῦ συνηγωνίσατο αὐτῇ τῇ ἐπιθυμίᾳ. ὥσπερ, φησὶ, μαντευομένη τὸν παρόντα λόγον οὐκ ἐνόησε, δι' ὧν ἐγκωμιάζεται. τὸ δὲ αἰτιάσασθαι ἀντὶ τοῦ αἴτιον ὀνομάσαι. οὐ γὰρ λέγει μέμψασθαι.

120,16 καθάπερ τοὺς εἰωθότας ἡμεῖς Ὀλύμπια, Ἴσθμια, Πύθια, Νέμεια, καὶ τὰς ἐν μέρει πανηγύρεις. οἷον τὰ Ὀλύμπια, τὰ Ἴσθμια, τὰ Νέμεα, καὶ τὰ Πύθια, καὶ τὰ κατὰ μέρος.

120,17 συνεβάλλετο πρὸς τὴν τοῦ θεοῦ βούλησιν. συνηγωνίσατο τῇ ἐπιθυμίᾳ τοῦ δαίμονος. μετ᾽ ἀξίου τοῦ λόγου τῆς μελλούσης τύχης ἤγουν ἀξιολόγως τῆς τῶν Περσῶν νίκης, ἣν ὕστερον ἔσχεν. οἷον τῆς μελλούσης νίκης, τοῦ πολέμου εὔλογον ἔσχε πρόφασιν καὶ ἀξίαν τοῦ ὑπὲρ Ἰώνων παίδων ὄντων ἀγωνίσασθαι. μετὰ καλλίστης προφάσεως εἶναι ἀξίας τῆς μελλούσης εὐτυχίας συνεβάλετο οὐκ ἐλάχιστον μέρος ἡ πόλις. πρόφασιν δὲ λέγει τὸ ἀμύνασθαι ὑπὲρ Ἰώνων.

120,19 οὐκ ἄδικον τὴν ἀρχὴν παρασχομένη ἤγουν οὐκ αὐτὴ τοῦ πολέμου ἄρξασα. ἀντὶ τοῦ οὐκ αὐτὴ τῶν πολέμων ἀρξαμένη, καὶ τὴν αἰτίαν παρασχοῦσα, ἀλλ᾽ ἀμυνομένη καὶ ὑπὲρ τῶν Ἰώνων ἐστρατεύσατο κατὰ τῆς Ἀσίας.

120,20 οὐδ᾽, ὥσπερ οἱ ὕστερον διαβάντες εἰς τὴν Ἀσίαν, ἔρωτι τοῦ πλείονος οἱ Λακεδαιμόνιοι. νικήσαντες γὰρ τὸν Πελοποννησιακὸν πόλεμον, καὶ τῆς Ἀσίας ἠβουλήθησαν κρατῆσαι, ὡς καὶ Ἰσοκράτης ἐν τῷ Εὐαγόρᾳ φησίν. εἰς τοὺς Λακεδαιμονίους αἰνίττεται. νικήσαντες γὰρ—Εὐαγόρᾳ εἶπε.

121,1 τῶν ἐν τῇ ἠπείρῳ τῇ τῶν Ἰώνων δεδουλωμένων Ἑλλήνων ὁ περὶ Ἔφεσον καὶ Σμύρναν καὶ τὰς ἐκείνῃ πόλεις χῶρος ἤπειρος ἰδίως καλεῖται· τὸ δεδουλωμένων δὲ λέγει, ἐπειδὴ ὑπὸ Περσῶν ἐκυριεύθησαν.

121,3 πρῶτοι δὴ οἱ Ἀθηναῖοι. ἀναβάντες εἰς Σάρδεις στρατιᾷ κοινῇ πορθήσαντες ᾤχοντο τότε γὰρ μετὰ τῶν Ἀθηναίων ἐστράτευσαν εἰς τοὺς Σάρδεις. ἐπεὶ δὲ ὕβριν ἐποίει τοῖς Ἀθηναίοις τὸ Ἐρετριέας συνάψαι αὐτοῖς, παρενθήκην αὐτοὺς ἐκάλεσεν. εἶπε δὲ ὅτι πορθήσαντες, μὴ νομισθῇ διὰ δουλείας ἐπέρχεσθαι, ἀλλὰ πολέμων. στρατιᾷ κοινῇ μετὰ γὰρ Ἐρετριέων ἦσαν.

121,4 τέως ἤγουν πρὸ τούτου. τέως δὲ ἐν Βαβυλῶνος τάξει τέως λέγει ἀντὶ τοῦ ἕως τότε καὶ πρώην. λέγει δὲ Βαβυλῶνα τῆς Περσίδος. λέγεται γὰρ ἰσχυρότατα τείχη ἔχειν ἡ Βαβυλών. ἐν Βαβυλῶνος τάξει καὶ τῶν ἐν Ἰνδοῖς τὰ τείχη γὰρ αὐτῆς πρὸς ἔκπληξιν ἄγει οὐ μόνον τοὺς θεωμένους, ἀλλὰ καὶ τοὺς ἀκούοντας, ὥσπερ καὶ τὰ ἐν Ἰνδοῖς θεάματα, ἐλέφαντες, μύρμηκες καὶ ὅσα τοιουτότροπα. τῶν ἐν Ἰνδοῖς τῶν θαυμάτων. ἴσως δὲ διὰ τοὺς ἐλέφαντας λέγει τοῦτο. ἵνα δὲ μὴ νομίσῃ τις, πόλιν εὐτελῆ τὰς

Σάρδεις εἶναι, λέγει Σάρδεις ἐθαυμάζοντο. Ἕλληνες Σάρδεις ἐθαύμαζον οὐδεὶς γὰρ εἰς αὐτὰς ἐτόλμα στρατεύειν, διὰ τὸ τὰ Πέρσου βασίλεια ἐνταυθοῖ εἶναι.

121,5 ταύτην πρόφασιν ἀφορμήν.

121,6 πᾶν μικρὸν ἦν αὐτῷ τὸ ἐμηχανᾶτο πρὸς τὴν αὐτοῦ βούλησιν. τὸ μὲν πρόσχημα πρόκρισις.

121,7 παρενθήκην περιουσία. παρενθήκην γὰρ τοὺς Ἐρετριέας ἐποιήσατο καὶ αὐτοὶ γὰρ μετὰ Ἀθηναίων ἐστράτευσαν ἐπὶ τὰς Σάρδεις.

121,8 ἵνα δὴ πιστὸν ᾖ τὸ λεγόμενον ὑπ᾽ αὐτοῦ. εἰ γὰρ μόνους τοὺς Ἀθηναίους ἀμύνασθαι ἔλεγεν, ἐδόκει ἄν τισιν, ὡς οὐ διὰ τὴν ἐς Σάρδεις αὐτῶν ἐκστρατείαν ἐποίει τοῦτο, ἀλλ᾽ ὁρῶν τὴν πόλιν μέγα δυναμένην ἐν τῇ Ἑλλάδι, ἠβούλετο ταύτης κρατήσας καὶ τὴν λοιπὴν Ἑλλάδα ῥᾳδίως καταστρέψασθαι. νῦν δὲ ταύτην ἀνῄρηκε τὴν δόξαν, παρενθεὶς τοὺς Ἐρετριέας, ἵνα τις τούτους ἀκούων καθαρὰν νοῇ ἄμυναν. δύο δ᾽ ὡς ἀληθῶς ἦν τὰ κινοῦντα ἀντὶ τοῦ ἀληθῶς τὸ τῆς ὀργῆς. λέγει δὲ μὴ εἶναι τοῦτο.

121,9 μὴ ἄρα οὐδὲν ἀποχρῆν ἀξιώσῃ τοῦτο τὸ περὶ Σάρδεις πορθῆσαι. ἀξιώσῃ ἡ πόλις.

121,10 τῆς γῆς μὴ διῃρημένως ἄρχειν μόνης γὰρ τῆς Ἀσίας ἦρχεν. ἀντὶ τοῦ μὴ μόνης τῆς Ἀσίας.

121,11 τοῦτο δ᾽ οὐ παντάπασιν ἀνέλπιστον ἦν αὐτῷ τοῦτο εἶπεν, ἵνα μὴ δόξῃ ἀδυνάτων ἐρᾶν.

121,12 ἃ καὶ ὀνόματι γνωρίσαι φιλοτιμίαν εἶχε μόνῃ προσηγορίᾳ, καὶ οὐκ ἀριθμῷ. ἔστι δὲ καὶ τὸ ψιλῇ πορείᾳ διελθεῖν ταυτόν. αὔξει δὲ ἐντεῦθεν τὴν τοῦ Πέρσου δύναμιν. ψιλῇ γυμνῇ. ψιλῇ πορείᾳ διελθεῖν οἷον διοδεῦσαι τὰς δεδουλωμένας αὐτῷ διὰ πολέμου στρατιᾶς.

121,13 εἵπετο ἤγουν ὑπεῖκε. ἔχων δ᾽, ὡς εἶπον, μέσην τινὰ τοῦ τε φόβου, καὶ τῆς ἐπιθυμίας ἀμφοτέρων ἐγένετο, καὶ τοῦ φόβου καὶ τῆς ἐπιθυμίας.

121,14 αὐτὸς μὲν γὰρ ἀπέγνω μὴ διαβαίνειν τοῦτο γὰρ ὥσπερ φόβου. τὰ δ' ἔθνη πέμπειν ἐπενόει τοῦτο γὰρ ὥσπερ ἐπιθυμίας. μετὰ στρατοῦ Δάτιδος.

121,15 ὑπ' ἐκείνου τε καὶ τοῦ μετ' ἐκεῖνον βασιλέως ὑπ' ἐκείνου μὲν, τοῦ Δαρείου, μετ' ἐκεῖνον δὲ Ξέρξου. ὑπ' ἐκείνου τε τοῦ Δαρείου.

121,16 τοῦ μετ' ἐκεῖνον βασιλέως Ξέρξου. τοῦ Ξέρξου. περὶ τῆς γῆς καὶ τοῦ ὕδατος εἰκότως ᾔτει ὁ Δαρεῖος γῆν καὶ ὕδωρ, ἵνα ἐκ τούτων ἀμφοτέρων κύριον γῆς καὶ θαλάττης ἑαυτὸν ἀποδείξῃ. τοῦτο ᾔτει βουλόμενος γῆν καὶ θάλατταν αὐτῷ ἀποδοθῆναι.

121,17 πάντα πρὸς ταύτην διελέγοντο τὸ πρὸς ταύτην λέγει οὐχ ὅτι πρὸς Ἀθήνας ἀφικνούμενοι οἱ τοῦ Πέρσου ταῦτ' ἔλεγον, ἀλλ' ὅτι πρὸς αὐτοὺς ἀφεώρων οἱ πρὸς τοὺς ἄλλους Ἕλληνας τούτων λόγοι. ἔν τε ταῖς ἐπιστολαῖς ταῖς Ἑλληνικαῖς ἃς πρὸς τοὺς Ἕλληνας ἔπεμπε, λέγω δὴ Λακεδαιμονίους καὶ Κορινθίους καὶ τοὺς ἄλλους. τὰς πρὸς τοὺς Ἕλληνας λέγει γραφείσας, ἐν αἷς ἔλεγεν, ἔκδοτέ μοι τὰς Ἀθήνας.

121,18 ὅσαι πυκναὶ τοῖς ὑπάρχοις ἦσαν διὰ τὸ ψήφισμα τῆς ἀναιρέσεως τῶν κηρύκων. ὑπάρχοις δὲ λέγει τοῖς σατράπαις· ὕπαρχοι δὲ τῷ Ἑλληνικῷ ὀνόματι. τοῖς ὑπάρχοις αὐτοῦ.

121,19 πάσας ἔχειν τὰς πόλεις, εἴ τις κατάσχοι ταύτην αὕτη γὰρ σύστασις καὶ συνοχὴ πασῶν ἦν.

121,20 ὅσα γε αὖ τούτοις ἔδει χρήσασθαι τοῖς μηνύμασι καὶ ταῖς μηχαναῖς ἐκείνου. τοῖς κήρυξιν, ἢ οἷς ἐποίει Δαρεῖος. τοῖς Ἕλλησι, τοῖς κήρυξιν, ἢ τοῖς πράγμασι, καὶ τοῖς διὰ τῶν κηρύκων ἐπιτάγμασι.

122,1 τῶν Ἑλλήνων ἕνεκα.

122,3 τοῦ μὲν τοῦ Δαρείου. καὶ πειρωμένου δι' ὧν ὑπέσχετο. ταῖς ἀποκρίσεσι ἤγουν τῇ τῶν κηρύκων ἀναιρέσει. αὐτὸς προϊὼν λέγει τὴν ἀπόκρισιν, ὅτι τὴν ἀναίρεσιν ἀπόκρισιν δηλοῖ τῶν ἀγγέλων.

122,4 παρ' ἀμφοτέρων τούτων ἐξ ὧν ὁ Πέρσης, καὶ ἐξ ὧν ἡ πόλις ἐποίει. τῶν πραγμάτων λέγει, τοῦ τε τὸν βάρβαρον ἀπειλεῖν, καὶ τοῦ τοὺς Ἀθηναίους ἀντιτετάχθαι.

122,6 ἔργα τῶν Ἑλλήνων. λόγων τῆς πόλεως. ἔργα λόγων ἡττήθη λόγος ἔργου σκιὰ, τῆς παροιμίας λεγούσης. θαυμάζων Ἀριστείδης, ὃ κατὰ τῶν πρέσβεων ἐψηφίσαντο Ἀθηναῖοι, λέγω τὸ ἐμβαλεῖν εἰς τὸ φρέαρ, εἶναι τοῦτό φησι τῶν ἔργων, ὧν ἄλλοι ἐργάζονται. λόγους λέγει τὸ ψήφισμα τῶν Ἀθηναίων περὶ τῶν ἀγγέλων, ἔργα δὲ αὐτῶν τὴν ἀναίρεσιν αὐτῶν. μᾶλλον δὲ οὕτως. ἔργα λέγει τὰ ἐν τοῖς ἄλλοις χρόνοις γινόμενα τοῖς Ἕλλησιν, ἡττῆσθαι τῶν τότε λόγων τῶν Ἀθηναίων. ψήφισμα, τροπαίου κρεῖττον ὃ ἐψηφίσαντο περὶ τῶν τὴν γῆν καὶ τὸ ὕδωρ ζητούντων.

122,7 ψήφισμα, τροπαίου κρεῖττον, εἰς μνήμην ἐνίκησεν ὃ γὰρ ἱστῶσιν οἱ νικῶντες τρόπαιον, ὥσπερ τοῦ μὴ λήθην τινὰ γενέσθαι τῆς νίκης ἱστᾶσιν. εἰς μνήμην ἐνίκησεν ἤγουν μέχρι καὶ νῦν ᾄδεται. εὐθὺς γὰρ ἐν χεροῖν κύριον ἦν εἰπὼν ἐν χεροῖν διεῖλε τοῦτο εἴς τε τὴν τῶν χειρῶν ἔκτασιν, καὶ εἰς τὸ ἐμβάλλειν τοὺς ἀγγέλους εἰς φρέαρ, καθ' ὧν καὶ γῆν οὐκ ὀλίγην ἐπέχεαν, εἰκότως ἄμφω ταῦτα ποιήσαντες, ἐπειδὴ γῆν καὶ ὕδωρ ἐζήτουν. κύριον ἦν βέβαιον. βέβαιον τὸ ψήφισμα.

122,8 οὐ τῇ χειροτονίᾳ μόνον, ὡς νόμος νενόμιστο γὰρ, ὁπότε τις ἔγραφε ψήφισμα, τὰς χεῖρας ἐκτείνειν τοὺς ἀκούοντας, δεικνύντας ἐντεῦθεν ὅτι ἀποδέχονται. τῷ διαφθεῖραι τοὺς ἀγγέλους ἐμβαλόντες γὰρ αὐτοὺς εἰς φρέατα κατέχωσαν, ἀμφότερα αὐτοῖς παρέχοντες, καὶ ὕδωρ καὶ γῆν. τῷ δ' ἑρμηνεύσαντι τὰ γράμματα τῷ Λυκομήδῃ.

122,9 διαχειροτονίαν μὲν ἀπέδοσαν ἐψηφίσαντο γὰρ εἰς κρίσιν αὐτὸν καταστῆναι. διάσκεψιν, ἵνα μὴ ἄκριτος ἀποθάνῃ. ἵν', ἐπειδήπερ Ἕλλην ἦν, ἔχοι πλέον τὴν τῆς κρίσεως εἰκόνα διὰ μὲν τοῦ ἐπειδήπερ Ἕλλην ἦν δείκνυσιν ὅτι Ἑλλήνων ἐστὶ τὸ μετὰ κρίσεως ποιεῖν τι· διὰ δὲ τοῦ ἵν' ἔχοι πλέον ἐμφαίνει ὅτι ἀκρίτως τοὺς κήρυκας ὦσαν εἰς τὸ φρέαρ.

122,10 πλέον τῶν κηρύκων.

122,11 τὸ ἰσχυρὸν περιῆλθεν αὐτῷ ἰσχυρὸν λέγει τὸ βίαιον, καὶ μηδεμίαν ἀντιλογίαν δεχόμενον, ὡς οὐκ ἀναγκαίως, καὶ δικαίως, καὶ ἀξίως, καὶ προσηκόντως ταυτηνὶ τὴν καταδίκην ὑπέστη. ἀντὶ τοῦ ἓν καὶ τὸ ἐναντίον αὐτῷ περίεστιν. τὸν γὰρ τῆς πόλεως ἄποικον οὐκ ἠξίουν— ἑρμηνέα τῷ φύσει πολεμίῳ γίνεσθαι οὗτος ὁ ἑρμηνεὺς μᾶς μὲν ἐκαλεῖτο,

ἐν Σάμῳ δὲ κατῴκει. ἄποικον δὲ τοῦτον λέγει, ἢ ὅτι τὸ ἀνέκαθεν Ἀθηναῖος ὢν, ἐλθὼν εἰς Σάμον κατῴκησεν. ἢ ὅτι οἱ Σάμιοι ἐξ Ἀθηναίων ἀπῳκίσθησαν. ἠπίστατο δὲ τὴν Περσίδα γλῶτταν. διὸ καὶ Δαρεῖος ἄκοντα τοῦτον μετὰ κηρύκων Ἀθήναζε. ἔπεμψεν. οὗτος ὁ ἑρμηνεὺς Σάμιος ἦν, ἄποικος δὲ τῆς πόλεως, τὴν Περσίδα γλῶσσαν ἐπιστάμενος. τινὲς δὲ λέγουσιν ὅτι τὸ μὲν κύριον ὄνομα ἐκαλεῖτο Μῦς, τὸ δὲ ἐθνικὸν Σάμιος.

122,12 καὶ οὕτω δὴ ῥιπτοῦσιν εἰς τὸ βάραθρον μετὰ τὸ ἀποκτεῖναι. ἤγουν μετὰ τὸν φόνον.

122,14 ὁ δὲ ὁ βασιλεύς.

122,15 αὐτόθεν οἴκοθεν. τὰς πέδας δεσμούς. ὑπερβαλὼν, ἢ καθ᾽ ὅσους ᾤετο τοὺς Ἀθηναίους εἶναι ἤγουν μείζονα εἶναι προστάξας τὸν τούτων ἀριθμόν. ἤγουν πλείους αὐτὰς εἶναι προστάξας.

122,16 τῆς ὀργῆς ἀπολαύων, ἕως ἐξῆν οὐ μόνον φαμὲν, ἀπολαύω τῆς ὀργῆς, ἀντὶ τοῦ πεῖραν λαμβάνω, ἀλλὰ καὶ ἀπολαύω τῆς ὀργῆς, ἀντὶ τοῦ ἀποκερδαίνω τὸ τέως αὐτὴν ἐκφυγεῖν, εἰ καὶ μικρὸν ὕστερον πειραθήσομαι, ὡς ἔστι κἀνταῦθα. διὰ δὲ τοῦ ἕως ἐξῆν δείκνυσιν ὡς οὐ παντελῶς ἂν ταύτην ἐκφύγοιεν. ἕως ἐξῆν ἕως ἐδύνατο.

122,18 αὐτάγγελον ἄγγελον αὐτὸν ἑαυτοῦ. προστήσας ἤγουν προστάτας αὐτοὺς καταστήσας.

122,19 δίδωσι πλῆθος στρατιᾶς, οὗ τὸ διαλλάττον οἱ μὲν τῶν ἱστορικῶν μ′ μυριάδας εἶναι τὸν Δαρείου φασὶ στρατὸν, οἱ δὲ ν′. λέγει οὖν τὴν τοιαύτην διαφορὰν μέγιστον ὅρον στόλου· οὐ γὰρ ὀλίγος στρατὸς αἱ δέκα μυριάδες. Ἀθηναῖοι δὲ πρὸς τοσοῦτον πλῆθος χιλίους μόνον ἔπεμψαν, ἐπιστήσαντες αὐτοῖς στρατηγοὺς, Πολύζηλον, Καλλίμαχον, Κυναίγειρον, Μιλτιάδην, καὶ ἑτέρους ἕξ. γενομένης δὲ τῆς παρατάξεως, Πολύζηλος μὲν ὑπὲρ ἄνθρωπον φαντασίαν θεασάμενος τὴν ὅρασιν ἀπέβαλλε, καὶ τυφλὸς ὢν ἀνεῖλεν ὀκτὼ καὶ τεσσαράκοντα. Κυναίγειρος δὲ Περσικὴν ἀγομένην ναῦν κατασχὼν ἐχειροκοπήθη. εἶτα πάλιν κατασχὼν τοῖς ὀδοῦσιν ἀφηρέθη τὴν κεφαλήν. Καλλίμαχος δὲ πολλοῖς πεπαρμένος βέλεσι καὶ νεκρὸς ἵστατο. ὅθεν πρὸς τούτους ὑπὸ Παντελείου τοιαῦτα

γεγράφθαι λέγεται
Ὦ κενεοῦ καμάτοιο καὶ ἀπρήκτου πολέμοιο·
ἡμετέρῳ βασιλῆι τί λέξομεν ἀντιάσαντες;
ὦ βασιλεῦ, τί μ᾽ ἔπεμπες ἐπ᾽ ἀθανάτους πολεμιστάς;
βάλλομεν, οὐ πίπτουσι· τιτρώσκομεν, οὐ φοβέονται·
μοῦνος ἀνὴρ σύλησεν ὅλον στρατόν· ἐν δ᾽ ἄρα
μέσσῳ
αἱματόεις ἔστηκε σιδαρείαις ὑπὸ ῥίζαις·
αἱματόεις ἔστηκεν, ἀτείρεος Ἄρεος εἰκών·
κοὐκ ἐθέλει πεσέειν· τάχα δ᾽ ἔρχεται ἔνδοθι νηῶν·
λῦε, κυβερνῆτα· νέκυος προφύγωμεν ἀπειλάς.
ἰστέον δὲ ὅτι δέκα ὄντες, ὡς ἔφημεν, οἱ στρατηγοὶ, καθ᾽ ἑκάστην ἡμέραν εἷς ἕκαστος ἐστρατήγει. ἔλαχε γοῦν, ὅτε ἡ τροπὴ τῶν βαρβάρων ἐγένετο Μιλτιάδης στρατηγῶν. καὶ διὰ τοῦτο τὸ πᾶν τῆς νίκης εἰς μόνον τοῦτον στρατηγῶν ἀνετέθη. οἱ μὲν γὰρ τριάκοντα μυριάδας εἶπον αὐτούς· διὸ Ἀριστείδης φησὶν ἐν ἑτέρῳ λόγῳ ἐπιταφίῳ αὐτοῦ πεντήκοντα μυριάδας εἶναι. λέγει γὰρ αὐτός· οἱ μὲν ἐλάττους ὄντες σύμπαντες ἐναντία τρεῖς μυριάδας ἔταξαν τῷ Μαραθῶνι· τοσοῦτοι γὰρ ἦσαν πρῶτος στόλος, ὃν κατέπεμψε Δαρεῖος. οὗ τὸ διαλλάττον—τὸν μέγιστον ὅρον στόλου διαλλάττον λέγει τὸ ἀμφιβαλλόμενον. ἀφηγουμένοις δὲ λέγει τοῖς ἱστορικοῖς. οἱ μὲν γάρ φασι μ′ εἶναι μυριάδας, οἱ δὲ μς′. τότε οὖν, φησὶ, τὸ διαλλαττόμενον, καὶ μυριάδες ἐποίουν μέγιστον ὅρον στόλου ἀντὶ μέτρου στρατεύματος ἱκανόν. παρ᾽ ἑκάστους τοὺς ἀφηγουμένους τοὺς ἱστορικούς.

123,1 ταῦτα δ᾽ ἦν, τὴν μὲν πόλιν καταποντίσαι τὰς Περσικὰς ἀπειλὰς μιμεῖται. ἀδύνατον γὰρ θνητὸν καταποντίσαι τὰς Ἀθήνας.

123,2 ᾧ δὴ προειρήκειν τῷ σχήματι δεδεμένους δηλονότι. τῷ τοῦ δεσμοῦ.

123,3 ὑπερηχοῦντες διαβαίνοντες. ὑπερηχοῦντες μὲν τὸν Αἰγαῖον διὰ τῶν κωπῶν. ἀντὶ τοῦ πλέον ἠχοῦντες τοῦ Αἰγαίου πελάγους. ἀποστεροῦντες δὲ τὴν ὄψιν τοὺς ἐντυγχάνοντας διὰ τὸ ἔκπληξιν ἄγειν κἀκ μόνης τῆς θέας. ἐκπληττόμενοι γὰρ τὴν τοσαύτην παρασκευὴν οὐκ ἠδύναντο βλέπειν. τῷ φόβῳ δηλονότι, ὡς μηδένα τολμᾶν ἰδεῖν τὴν ἔφοδον αὐτῶν,

ἢ τῷ τάχει, ὡς μὴ συγχωροῦντες ἰδεῖν. ὡς καὶ Ὅμηρος «Παρήιξαν δέ με ἵπποι.»

123,4 φυγῆς δ' ἐμπιμπλάντες τὴν θάλατταν τῷ πλήθει τῶν νηῶν, καὶ τῇ συνεχεῖ ἐρεσίᾳ, ἢ τῷ τῶν νήσων ἐξῳκισμῷ. διὰ τὸ τῶν νεῶν πλῆθος.

123,6 πρὸ τῆς καταγωγῆς τῆς πρὸς τὴν Ἀττικήν. τῆς ἐλλιμενίσεως. ἀπάρξασθαι ὑποδοχὴν δοῦναι. ὥσπερ τι προοίμιον ᾄσαι τοῦ πολέμου προοίμιον καλεῖ τὴν Ἐρέτρειαν· πόλεμον δὲ τὸν τῶν Ἀθηναίων.

123,7 δόξαν φανέντος. ἀντὶ τοῦ δόξαντος. ἔστι δ' Ἀττικόν. σαγήνην τινὰ μιμησάμενοι ναυτικὴν ὥσπερ τὸ δίκτυον περιλαμβάνει ἐντὸς τοὺς ἰχθύας, οὕτω καὶ Πέρσαι τὰς ἀλλήλων χεῖρας δίκην χοροῦ συνάψαντες, Ἐρετριεῖς περιέλαβον. τοῦτο δ' ἐποίησαν, ἵνα μηδεὶς διαδράσῃ. τὰς χεῖρας αὐτῶν συνδεσμεύσαντες, καὶ μηνοειδῶς περιλαβόντες, ὅπως μηδεὶς φύγῃ. ἰστέον δὲ ὡς τὸ σαγηνεῦσαι κυρίως εἴρηκε, καὶ οὐ μεταφορικῶς.

123,9 τῶν κρειττόνων τῶν θεῶν. ἐπὶ τὸν δεύτερον ἀγῶνα δηλονότι. ἴσως ἀγῶνα λέγει.

123,10 κακῶς εἰδότες ἀντὶ τοῦ οὐκ εἰδότες, ἢ ἀνοήτως.

123,11 οὐκ ἐνέχονται τῷ λόγῳ, ὡς ἄρα οὐ τὰ φεύγοντα διώκουσιν τὸ ὡς ἄρα αἰτία ἐστὶ τοῦ οὐκ ἐνέχονται. παροιμία, τὰ φεύγοντα διώκεις, ἐπὶ τῶν ἀνάνδρων λεγομένη. τῷ λόγῳ, ὡς ἄρα οὐ τὰ φεύγοντα διώκουσιν τῇ παροιμίᾳ, τῇ λεγούσῃ τὰ φεύγοντα διώκεις, ἐπὶ τῶν ἀσθενῶν παραλαμβανομένῃ. τῷ λέγοντι δηλονότι, τῇ παροιμίᾳ. ἔστι δὲ ἡ παροιμία ἐπὶ τῶν Ἀθηναίων, ὅτι τὰ φεύγοντα διώκουσιν.

123,12 τούτων τῶν κατὰ τοὺς Ἐρετριεῖς πραγμάτων. αὐτῶν τῶν Περσῶν.

123,13 ὥσπερ ἄλλου τινὸς ἐκ τοῦ πελάγους κακοῦ ἐπέρχονται τοῖς ἀνθρώποις ἐκ θαλάττης κακὰ, κατακλύσεις, καὶ σεισμοὶ, καὶ κήτη φρικώδη. τινὲς ἱστορικῶς τοῦτο ἐξηγοῦνται, ὡς ἀπὸ τοῦ κήτους τοῦ κατὰ Τροίας ἀφεθέντος ἐκ θαλάττης, ἢ διὰ τὸν λοιμὸν, ὅν φησι Θουκυδίδης διὰ τοῦ πελάγους ἐκπεσεῖν πρῶτον εἰς τὸν Πειραῖα. ἢ ἄλλως· σημαίνει

κατακλυσμὸν, ἢ σεισμὸν, ἢ θύελλαν, ἢ λοιμὸν, καθ᾽ ὃν ἡ νόσος ἡ τῶν Ἀθηναίων πρῶτον ἥψατο τοῦ Πειραιοῦ.

123,15 τὸ μέλλον ἀποσκοποῦντες ἀντὶ τοῦ τὴν ἀπώλειαν μόνην λογιζόμενοι. τὸ δὲ κάθηντο κατὰ ἀποκοπήν ἐστι, παροξυτόνως δὲ ἀναγνωστέον.

123,16 ἡ δὲ πόλις πομπὴν ἀγούσῃ προσεῴκει μᾶλλον ἢ πρὸς ἀγῶνα κοσμουμένῃ ἔθος γὰρ ἐν ταῖς πανηγύρεσιν ἕκαστον τῶν στρατιωτῶν, τὸ ἴδιον σχῆμα φοροῦντα πομπεύειν. κεκοσμημένῃ δὲ ἀντὶ τοῦ καλλωπιζομένη. ὡς ἐπὶ πομπῆς δὲ εἶπε τὴν λέξιν.

123,17 ἱερά τε γὰρ πάντα ἀνέῳγε ἔθος γὰρ ἐν ταῖς ἐφόδοις ἦν τῶν πολεμίων κλείειν τὰ ἱερά. νῦν οὖν ὡς μὴ ἔχουσα πόλεμον, οὐκ ἔκλεισεν.

123,18 διεπρεσβεύετο πρὸς τοὺς θεοὺς ὥσπερ πρεσβείαν ἀπέστελλε διὰ τῶν εὐχῶν. τὰ τῶν ἱερέων γένη συνῆγε πάλιν ὡς ἐπὶ πομπῆς τοῦτο εἶπεν. ὥσπερ ὁπλίτας, φησὶ, τούτους ὁπλίζουσα. λέγει δὲ κήρυκας καὶ Εὐμολπίδας. τὰς δὲ εὐχὰς πρεσβείαν ἐκάλεσεν, ὡς πρὸς ὁμοίους. τὸν ἀρχαῖον τρόπον ἵνα μή τις εἴπῃ, ὡς διὰ τὸ φοβεῖσθαι, μὴ καθάπαξ ἐκτριβοῖεν, τοῦτ᾽ ἐπάγων ὥσπερ ἀναστέλλων ταύτην τὴν δόξαν, φησὶ τὸν ἀρχαῖον τρόπον. ἤγουν ὥσπερ ἐν εἰρήνῃ ποιεῖν ἔθος εἶχεν.

123,19 ἡγεμόνας τοῦ ἀγῶνος. ὡς δ᾽ αὐτῇ τὸ θεῖον ἥσκητο ἤγουν ὅσον ἔδει ποιῆσαι πρὸς τοὺς θεοὺς, ὑπ᾽ αὐτῆς κατεπράχθη. ἤγουν ὅσα πρὸς θεοὺς ἔδει ποιῆσαι, ἐποίησαν ἀντὶ τοῦ ὅτε ἐθεραπεύετο καὶ τετίμητο.

123,20 ἡ δὲ νεότης ἐχώρει προθυμότερον γὰρ τῶν ἐν τοῖς ἀγῶσι στεφάνων χάριν θεόντων ἐχώρουν οὗτοι.

124,1 τοὺς ἐν τοῖς στεφανίταις δρόμους ἀπέκρυψαν τοὺς μεγάλους λέγει ἀγῶνας, ἐν οἷς ἐδίδοντο στέφανοι. τὸ δὲ ἀπέκρυψαν ἀντὶ τοῦ ὑπερεβάλοντο. ἐν τοῖς στεφανίταις τοῖς στεφάνους μετὰ τὴν νίκην λαμβάνουσι. ὅσῳ περὶ καλλιόνων τῶν ἄθλων ἠγωνίζοντο οἱ μὲν γὰρ περὶ τοῦ κοτίνου, ἤ τινος τοιούτου, Ἀθηναῖοι δὲ περὶ τοῦ τοσαύτην στρατιὰν νικήσαντες εὐδαίμονας ἑαυτοὺς καταστῆσαι. ἥπερ οἱ τοὺς δρόμους ἐκείνους ἀγωνιζόμενοι.

124,2 ἔπειτα κρείττους ἦσαν τὰ τελευταῖα ἢ τὰ ἀπὸ τῶν πυλῶν τοῦτο εἶπεν, ἐπειδὴ εἰώθασιν ἄνθρωποι περὶ μὲν τὰς ἀρχὰς εἶναι ὀξεῖς, πρὸς δὲ τὸ τέλος ἀμβλύτεροι· ὥσπερ φησὶ Θουκυδίδης· ἀρχόμενοι γὰρ ἅπαντες ὀξύτερον ἀντιλαμβάνονται.

124,3 μεσοῦντας μὲν ἔτι τῆς πορείας προσέβαλλεν ἀντὶ γὰρ δοτικῆς αἰτιατικῆς, παρελείφθη. δύναται καὶ κατ᾽ ὀρθὸν ἀπολελυμένως τὸ προσέβαλλεν κεῖσθαι.

124,4 τῶν ἄλλων ἐφολκίων κυνῶν καὶ πολεμικῶν ὀργάνων. κατεχρήσατο ἐφολκίων εἰπὼν ἐπὶ γῆς· κυρίως γὰρ ἐφόλκια καλοῦνται τὰ μικρὰ σκαφίδια τὰ ἐφελκόμενα τοῖς μεγάλοις πλοίοις.

124,5 τῶν μὲν τῶν ὀργάνων. ἵππων, καμήλων. τῶν μὲν χρείας εἵνεκα οἷον ἵππων, ὄνων, καμήλων. ψυχαγωγίας δὲ, κυνῶν Ἰνδικῶν, καὶ ὀρνέων, τῶν τοιούτων. τῶν δὲ τῶν κυνῶν. Κυνῶν, ὀρνέων, πιθήκων, θηρίων.

124,6 ὑπερβαλόντες δ᾽ τὸ μέσον τῆς πορείας. ἤγουν πρὸς τὸ τέλος τῆς πορείας φθάσαντες ὧδε. παρὰ τοὺς πολέμους ἐλθόντες. τῶν ἀτόπων ἐκείνων φασμάτων παραδείξεων. ἃ ἐποίουν παραδόξως οἱ Πέρσαι πρὸς ἔκπληξιν. οἱονεὶ φαντασμάτων· οὕτω γὰρ λέγει τὰ παράδοξα θεάματα.

124,7 χαλκὸς δὲ καὶ σίδηρος περὶ ἀσπίδας, καὶ κράνη, καὶ ξίφη, καὶ θώρακας. πόρρωθεν εἶργε μὴ προσιέναι διὰ τὴν ὑπερβάλλουσαν αἴγλην. διὰ τῆς αἴγλης.

124,8 ὑπερηφανία ὑπερορία καὶ ἀλαζονεία. ὁ μὲν Πλάτων τὸ τῆς ὑπερηφανίας καὶ ἐπὶ καλοῦ λαμβάνει, σημαίνων τὸ μέγεθος, ὁ δὲ ῥήτωρ ἐπὶ ἀλαζονείας νῦν.

124,9 ᾤοντο γὰρ ὥσπερ ἐν ἄθλοις, ἅπαντας εὐθὺς ἀπογνώσεσθαι ὁ γὰρ εἰς τοὺς ἀγῶνας τοὺς ἐν ταῖς πομπαῖς κρεῖττον ἑνὸς, ἢ δύο, ἀναφανεὶς ποιεῖ τοὺς ἄλλους ὑπείκειν αὐτῷ, καὶ μὴ συμπλέκεσθαι. καὶ γὰρ ἐνταῦθα πᾶς ἀθλητὴς παρέχει τῷ κρείττονι πρὸ τῆς πείρας τὴν νίκην. ἀκονιτὶ ἀπόνως καὶ μάχης χωρίς. εἰκότως ὡς πρὸς τοὺς Ἀθηναίους ἐπήνεγκε τὸ ἀκονιτί.

124,10 δημοτελὴς δημοτελὴς, ἀντὶ τοῦ κοινῇ ἀπὸ δήμου τελεσθεῖσα. ἀπὸ μεταφορᾶς τοῦ παντὸς πλήθους. ὥσπερ γὰρ ὁ δῆμος ἅπας ἐν πανηγύρει συνάγεται, οὕτω συνάπαντες ἄνθρωποι. εἰ δὲ νῦν καὶ ἐπὶ τῆς Τρωικῆς κρίσις ἐγένετο, ἀλλὰ πάντων ἀνθρώπων. πρώτη δὲ εἶπεν, ἐπειδὴ καὶ ἐν Σαλαμῖνι δημοτελὴς κρίσις ἐγένετο.

124,11 οὐ λόγων εὐφημίᾳ κριθεῖσα, ἀλλ᾽ ἔργων ἀποδείξει ἐπειδὴ κρίσις εἶπεν, ἡ δὲ κρίσις διὰ λόγου γίνεται, ἐπήγαγεν, ὡς οὐ λόγῳ ἐκρίθη, ἀλλ᾽ ἔργοις αὐτοῖς.

124,12 οὐ γὰρ εἰς φόβον τὴν θέαν ἔτρεψαν, ἀλλ᾽ εἰς προθυμίαν κατεχρήσαντο ὡς τοῦ μὲν πλήθους τοῦ βαρβαρικοῦ φόβον ἀπειλοῦντος, τῶν δὲ Ἀθηναίων εἰς προθυμίαν μεταβαλόντων τὴν θέαν.

124,13 τὴν ἀήθειαν εἶπε τὸ ξένον, ἅπερ ἄνω ἐκάλεσε φάσματα.

124,16 ὥσπερ χρήμασιν ἀπολαύσει χρημάτων παραβάλλει τῶν βαρβάρων τὸν φόνον. ἀφθόνως χρήσασθαι ταύτῃ. ταύτῃ τῇ ἀνδραγαθίᾳ.

124,17 νῆες νῆες εἶπεν, αἷς προσορμοῦσι τῶν βαρβάρων τῷ Μαραθῶνι. στρεπτοὶ δὲ, τὰ μανιάκια. ψέλλια χαλινούς. στρεπτοὶ τὰ λεγόμενα μανιάκια. δῶρα τῆς τύχης ἐστὶ τὸ Δημοσθενικόν. φύσει δ᾽ ὑπάρχει τὴν τῶν ἀπόντων.

124,18 στρατηγοὶ δέκα ἦσαν οἱ στρατηγοί. καθ᾽ ἑκάστην δὲ ἡμέραν ἀλλήλους διεδέχοντο, καὶ ὁ ἄρχων κύριος ἐγένετο τοῦ τὴν ἡμέραν στρατεύοντος. κατ᾽ ἐκείνην οὖν τὴν ἡμέραν, ὅτε οἱ Πέρσαι ἐπέβησαν τῷ Μαραθῶνι, Μιλτιάδης ἦν ὁ κύριος.

124,20 τοῦ φίλου παιῶνος τοῦ συνήθους αὐτοῖς πρὸς θεοὺς ὕμνου. οὐ μόνον ἐπὶ ἀφέσει λοιμοῦ ᾀδόμενος πρὸς Ἀπόλλω ὕμνος παιὰν λέγεται, ἀλλὰ καὶ ἁπλῶς πᾶς ὁ πρὸς θεοὺς ὕμνος, καὶ ὁ πρὸς ἀνθρώπους. τινὲς δὲ καὶ ᾆσμα πολεμικὸν ἐνταῦθά φασι τὸν παιᾶνα νοεῖσθαι. εὕρηται δὲ οὐ μόνον παιὰν παιᾶνος, ἀλλὰ καὶ παιὼν παιῶνος. παιών ἐστιν ᾆσμα πολεμικόν. φίλου δὲ λέγει οὐ πᾶσιν ἀνθρώποις, ἀλλὰ μόνοις ἐν Θηβαίοις, τουτέστι τοῦ συνήθους.

125,1 τοῖς βαρβάροις οὐκ ἔδωκαν ἰδεῖν, ὅ τι ἐστὶ τὰ γενόμενα διὰ τοῦ εἰπεῖν οὐκ ἔδωκαν ἰδεῖν σεμνύνει τοὺς Ἀθηναίους, δηλῶν ἐντεῦθεν τὴν τούτων περὶ τὸ ἔργον ὀξύτητα καὶ σπουδήν. ἔπασχον, φησὶν, οὐκ εἰδότες οἱ βάρβαροι, τὴν ὀξύτητα δηλῶν τῶν Ἀθηναίων. καὶ Ὅμηρος «Τυδείδην δ' οὐκ ἂν γνοίης.»

125,2 ἀλλ' ἅμα τάξεις ἐρρώγεσαν Ἀθηναίων καὶ βαρβάρων συνέρραξαν. τουτέστι συνεπλέκοντο καὶ συνέβαλλον. καὶ ὁ Θουκυδίδης «Οὐ μέντοι ὅ γε πόλεμός πω συνερρώγει.» οἱ δὲ ἀντὶ τοῦ συνῆπτο. ἄνδρες ἐκτείνοντο τῶν βαρβάρων. οἱ τῶν Περσῶν.

125,3 καὶ νῆες εἵλκοντο, καὶ χρήματα ἤγετο, καὶ χορεία Πανὸς ἦν τὰ ποιούμενα τὸ νῆες εἵλκοντο λέγει διὰ τὸν Κυναίγειρον· οὗτος γὰρ ἀγομένην τὴν Δάτιδος ναῦν κατασχὼν ἐχειροκοπήθη, ὡς ὄπισθεν ἔφημεν. τὸ δὲ χορεία Πανὸς νοητέον, ἢ ὅτι τὴν τοιαύτην τέρψιν εἶχον τοὺς βαρβάρους φονεύοντες, οἵα ἐστὶν, ἣν ὁ Πὰν χορεύει· ἢ διότι καὶ ὁ Πὰν αὐτοῖς συνεμάχει· φασὶ γὰρ, ἐπιόντων τῶν Περσῶν πέμψαι τοὺς Ἀθηναίους πρὸς Λακεδαιμονίους Φιλιππίδην τὸν ἡμερόδρομον, ἐν Ἀρκαδίᾳ δὲ ἐν τῷ Παρθενίῳ ὄρει συναντήσας αὐτῷ ὁ Πὰν εἶπεν ὅτι τῇ μάχῃ παρέσομαι· εἰπὲ δὲ Ἀθηναίοις τιμᾶν με. Λακεδαιμόνιοι μὲν οὖν οὐκ ἦλθον διὰ τὴν πανσέληνον, μόνοι δὲ Ἀθηναῖοι μετὰ πάνυ ὀλίγων Πλαταιέων συνέβαλλον. νῆες εἵλκοντο δηλοῖ τὸν Κυναίγειρον, ὃς φεύγουσαν κατέσχε τὴν Δάτιδος ναῦν, καὶ ἐπιβαλὼν τὴν δεξιὰν, ἥπτετο τῇ εὐωνύμῳ, καὶ πάλιν καὶ αὐτῆς ἀφαιρεθεὶς κατεῖχε τῷ στόματι, ἕως ἀπετμήθη καὶ τὸν τράχηλον. χορεία Πανὸς ἦν τὰ ποιούμενα ζητεῖται διὰ τί μὴ εἶπε ἄλλου θεοῦ χορείαν. λέγομεν ὅτι ἐμιμοῦντο τὸν Πᾶνα χορεύοντα, ἤτοι ὅτι καὶ ὁ Πὰν αὐτοῖς συνεπολέμησε, οἱονεὶ καὶ ὁ Πὰν ἐχόρευε. λέγεται γὰρ ὅτι ἐπιόντων τῶν Περσῶν ἔπεμψαν οἱ Ἀθηναῖοι πρὸς Λακεδαιμονίους Φιλιππίδην ἡμερόδρομον, ἐν Ἀρκαδίᾳ δὲ ἐν τῷ Παρθενίῳ ὄρει ὁ Πὰν συναντήσας αὐτῷ εἶπεν ὅτι τῇ μάχη παρέσομαι· εἰπὲ δὲ Ἀθηναίοις τιμᾶν με. Λακεδαιμόνιοι μὲν οὖν οὐκ ἦλθον διὰ τὴν πανσέληνον, μόνοι δὲ Ἀθηναῖοι μετ' ὀλίγων Πλαταιέων συνέβαλλον.

125,4 ἤδη δέ τις καὶ τελευτήσας—ὥσπερ ἀθάνατος ὢν ὁ Καλλίμαχος. εἰς Καλλίμαχον ἀποτείνεται. οὗτος γὰρ ὑπὸ τοῦ πλήθους τῶν βαρβαρικῶν

τόξων στηριχθεὶς ἐπὶ τῆς γῆς εἱστήκει, πεσεῖν μὴ δυνάμενος. εἰπὼν δὲ ὥσπερ ἀθάνατος τὸ ἄτοπον τοῦ λόγου τῇ προσθήκῃ ἐκόλασε.

125,5 οἱ τὰ μεγάλα τολμήσαντες βάρβαροι. τρόπαια φέροντες ἐν ταῖς ναυσὶ μέγιστον λίθον ἐν ταῖς αὐτῶν ναυσὶν οἱ Πέρσαι ἐκ Σούσων ἔφερον, ἵνα τρόπαιον ἐγείρωσι κατ᾽ Ἀθηναίων ὁμολογουμένως τὴν νίκην ἐλπίζοντες· ὃν Ἀθηναῖοι λαβόντες Νεμέσεως ἄγαλμα ἐν Μαραθῶνι ἔστησαν, εἰς ἔλεγχον καὶ μέμψιν τῶν μεγαλαύχων βαρβάρων. βαρβαρικῷ φρονήματι Πέρσαι κρατούμενοι ἐνόμιζον μὴ δέεσθαι πολέμου καὶ μάχης· διὸ ἐπὶ τῶν τριηρῶν εἶχον ἕτοιμα τρόπαια. Σώπατρος δέ φησι, τὸν λίθον, ὃν ἦγον οἱ Πέρσαι, ἵνα στήσωσι Πέρσαι, Ἀθηναῖοι λαβόντες, Νεμέσεως ἐποίησαν ἄγαλμα, καὶ ἔστησαν ἐν Μαραθῶνι.

125,6 πλείους αὐτοῖς ἐφάνησαν ἢ πρότερον ἦγουν αὐτοὶ ἑαυτοῖς ἔδοξαν πλείους εἶναι ἢ σφᾶς αὐτοὺς ὑπελάμβανον τῷ πανταχῇ ἐσπάρθαι. ὅτε γὰρ ἔζων, συνηγμένοι ἦσαν· καὶ διὰ τοῦτο οὐ τοσοῦτοι ἐφαίνοντο, ὅσοι μετὰ τὴν ἧτταν· πάντα γὰρ κατέλαβον πίπτοντές τε καὶ φεύγοντες. ἀντὶ τοῦ ἐκ τῶν πεπτωκότων ἔγνωσαν Ἀθηναῖοι τῶν βαρβάρων τὸ πλῆθος· δεικνὺς ὅτι ζῶντας αὐτοὺς ὀλίγους ἐνόμιζον. αὐτοῖς τοῖς Ἀθηναίοις. οὔτε γὰρ τὸ ἕλος, οὔτε ἡ θάλαττα, ἀρκούντως αὐτοὺς ἐδέχετο ἕλος ἦν μικρὸν ἐν τῷ Μαραθῶνι παρακείμενον. ἐκ δὲ τοῦ ἑτέρου μέρους ἡ θάλαττα, ὡς εἶναι στενὸν μέσον χωρίζον τῆς μάχης τὸν Μαραθῶνα. τὸ ἕλος τὸ ἐν Μαραθῶνι.

125,7 οὐδ᾽ ἦν εὐρυχωρία τοῖς κακοῖς μεστὰ γὰρ πάντα ἦσαν κακῶν. οὐδ᾽ ἦν εὐρυχωρία τοῖς κακοῖς, οὐδὲ διέξοδος ἀντὶ τοῦ ὑπὸ τῶν κακῶν καὶ τοῦ πλήθους τῶν νεκρῶν οὐκ ἦν τοῖς βαρβάροις διαφεύγειν· διὸ ἐπήγαγε «μέγιστον ἐναντίωμα αὐτοῖς ὑπῆρχεν.» οὐδὲ διέξοδος τῶν φευγόντων διὰ τοὺς πίπτοντας.

125,8 ὡς ἀληθῶς ὄχλος ὄντες μάταιον πλῆθος. ὄχλον καλοῦσιν οἱ ῥήτορες τὸ μάταιον πλῆθος· καὶ ὁ ῥήτωρ «Ὡς ὁ μὲν δῆμός ἐστιν ὄχλος.» μέγιστον ἐναντίωμα ἑαυτοῖς ἠναντιώθη γὰρ αὐτοῖς τὸ πλῆθος εἰς τὴν φυγήν· οὐ γὰρ ἦσαν ὀλίγοι, ὥστε εἰς τὴν φυγὴν λαθεῖν.

125,9 τοῖς πλείοσιν ἥττους ἐγένετο ἢ ὅσοις ἄν τις ἐξ ἀρχῆς ἐθάρρησεν ἀντιστῆναι τὸ πλείοσι πρὸς τὸ ἢ ὅσοις ἄν τις ἐξ ἀρχῆς ἔχει τὴν δύναμιν. λέγει δὲ ὅτι οὐ μέρος τῆς στρατιᾶς ὄλωλεν, οὐδὲ τοσοῦτοι, ὅσοις ἄν τις ἐξ ἀρχῆς, ἦγουν πρὸ τῆς αὐτῶν ἥττης, ἐθάρρησε μάχην συνάψαι· ἀλλ᾽ οἱ πλείους αὐτῶν πεπτώκασιν, ὡς εἶναι τοὺς ὑπολειφθέντας ὀλίγους. σύντασσε δὲ οὕτως· καὶ ἐν τοῖς πλείοσιν ἢ ὅσοις ἄν τις ἐξ ἀρχῆς ἐθάρρησεν ἀντιστῆναι, ἐγένοντο ἥττους. εἰς τὸ κατὰ πόδας τῆς συντάξεως. ὁ δὲ νοῦς· ἀπώλοντο, φησὶ, πλείους, στρατιᾶς οὐ μόνον ἐξαρκούσης εἰς πόλεμον, ἀλλὰ καὶ δειλίαν τοῖς ἀνθισταμένοις ἐμποιούσης· τοσούτῳ πλήθει ἥττους οἱ ὑπολειφθέντες τῶν Περσῶν ἐγένοντο. ἀσαφὲς δὲ τὸ χωρίον. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τὸ πλεῖον τοῦ στρατοπεδεύματος ἀπώλετο, ᾧ καὶ μόνῳ τῷ ἀπολομένῳ χαλεπὸν ἦν ζῶντι πολεμεῖν· τὸ πλῆθος δὲ τῶν πεπτωκότων δεῖξαι βουλόμενος τοῦτο εἶπεν. ὥστε οἱ τοῦ αἵματος ῥύακες ἤρκουν ἐν νοτίῳ ταῖς ναυσὶν εἶναι δοκεῖ κοῦφον εἶναι τὸ λεγόμενον· πέλαγος γὰρ αἵματος ὑποτίθεται. ἀλλ᾽ ὅτε, φησὶν, ἔνδοξον τὸ πρόσωπον τὸ ἐγκωμιαζόμενον, εἴτε βασιλεὺς, εἴτε πόλις ἐπίσημος, ἔξεστι χρῆσθαι τῇ ὑπερβολῇ.

125,10 ἐν νοτίῳ ὑγρότητι. ὑγρότητι δυναμένῃ αὐτὰς ὑπερέχειν. ἀντὶ τοῦ ἐν διύγρῳ, ὅ ἐστιν ὑδατώδει· καὶ ὁ Θουκυδίδης «Ὁπότε χειμὼν εἴη νοτερός» ἀντὶ τοῦ δίυγρος καὶ ὑδατώδης. τῶν ἀνδρῶν ἐκείνων τῶν τότε τοὺς βαρβάρους νενικηκότων.

125,11 τοσοῦτον τῆς νίκης τὸ ἀξίωμα τὸ μέγεθος. ἀντὶ τοῦ τὸ μέγεθος τῆς νίκης. καινοπρεπῶς δὲ εἶπεν. τὸ χωρίον τὸν Μαραθῶνα.

125,13 οὐκ ἀνίσταται τῇ ψυχῇ πρὸς ἀνδρίαν καὶ μάχην. ἢ ὑπὸ τῆς ἡδονῆς, ἢ ὅτι εἰς ἀνδρείαν κινεῖται.

125,14 καὶ συνέβη δὲ τῇ πόλει πρώτῃ μὲν κινδυνεῦσαι τῶν κατὰ τὴν ἤπειρον Ἑλλήνων εἰ γὰρ καὶ Ἐρέτρια πρώτη κεκινδύνευκεν, ἀλλ᾽ ἐπειδὴ νῆσος ἦν, διὰ τοῦτο εἰρήκει πρώτῃ τῶν κατὰ τὴν ἤπειρον Ἑλλήνων. τὸ δὲ κινδυνεῦσαι εἶπε διὰ τὴν κατ᾽ αὐτῆς ἐπιστρατείαν τῶν Περσῶν, καὶ ὅτι ὅσον κατὰ τὴν γνώμην ἐκείνων ἀπόλωλεν. ἐπειδὴ πρώτη ἐκινδύνευσεν Ἐρέτρεια, διὰ τοῦτο εἶπε τὸ κατὰ τὴν ἤπειρον· νῆσος γὰρ ἡ Ἐρέτρεια.

125,15 τῶν δὲ ἰδίων κινδύνων κοινὰ τὰ ἆθλα ἅπασι καταστῆσαι πάντες γὰρ Ἕλληνες νενικηκυίας αὐτῆς ὠφέληνται. κοινὰ τὰ ἆθλα τὴν σωτηρίαν.

125,16 τροφὸν οὖσαν τῆς Ἑλλάδος διὰ τοῦ σίτου.

125,20 τοῦτο ὠμολογηκυῖα τοῖς προτοῦ πᾶσιν σημαίνει πρῶτον τὴν διάδοσιν σίτου, εἶτα τὴν ὑποδοχὴν τῶν φευγόντων, εἶτα τὴν ἀποικίαν. τοῖς προτοῦ πᾶσιν εὐεργετήμασι. τοῖς ῥηθεῖσι περὶ τοῦ σίτου καὶ τῶν ἄλλων.

126,1 ὥσπερ ἐλευθέριον Δία. συγκληρωθῆναι κατὰ κλῆρον δοθῆναι. συγκληρωθῆναι τουτέστι κατὰ κληρονομίαν καὶ εἱμαρμένην. ἐκεῖθεν γὰρ εἶπε τὴν λέξιν ἀντὶ τοῦ εἵμαρτο. ἄρα δὲ εἱμαρμένης τινὸς ὁ πόλεμος ὁ κατὰ Μαραθῶνα γενόμενος. τῇ τύχῃ οὖν, κατὰ γένεσιν καὶ εἱμαρμένην.

126,2 ἐκείνη ἡ ἐν Μαραθῶνι μάχη.

126,3 εἰ καὶ νεανικώτερον εἰπεῖν ἀντὶ τοῦ μειρακιῶδες, ἢ τολμηρότερον· ἐπειδὴ δοκεῖ τὸ ὄνομα τῆς μητροπόλεως κουφότερον εἶναι. ἀφορμὴ δὲ, οἷον ἀρχὴ καὶ πρόφασις.

126,4 ἀντὶ κρηπῖδος θεμελίου. ἀντὶ ἀρχῆς καὶ ῥίζης. παραδείγματος ὅτι δεῖ βαρβάρων καταφρονεῖν.
Ἀκμᾶς ἑστακυῖαν ἐπὶ ξυροῦ Ἑλλάδα πᾶσαν
ταῖς αὐτῶν ψυχαῖς κείμεθα ῥυσάμενοι.
παῖδες Ἀθηναίων Περσῶν στρατὸν ἐξολέσαντες
ἤρκεσαν ἀργαλέην πατρίδι δουλοσύνην.

126,5 πάντων ἐπιτηδευμάτων ἤγουν τεχνῶν.

126,6 τοῦ τῶν Ἑλλήνων σπέρματος διὰ τὸ πρῶτον ἐν τῇ Ἀττικῇ ὥσπερ φυτὸν ἀναδοθῆναι ἄνθρωπον. διήνεγκεν ἀντὶ τοῦ ἤνυσε. Θουκυδίδης «Ὡς δὲ εἰπεῖν τὸν πόλεμον διέφερον.» τὸ δὲ ἅπαντ᾽ ἂν ἔρρει ἀντὶ τοῦ ἐφθείροντο.

126,7 τὰ κοινὰ τῆς φύσεως τὰ συμβάλλοντα εἰς σύστασιν ἀνθρώπου. ἤγουν πάντα τὰ ἀνθρώπινα.

126,8 ὅσας μυριάδας τῶν βαρβάρων ἐνίκων ἀποδείκνυσιν ὅτι οὐ μόνον τοὺς βαρβάρους νενικήκασιν, ἀλλὰ πάντας ἀνθρώπους συλλογιστικῶς.

126,9 εἰ δεῖ παραιτησάμενον τὸν φθόνον εἰπεῖν τοῦτο δὲ ἐπήγαγε διὰ τοῦ εἰπεῖν πάντας ἐνίκησε. παραιτησάμενον ἀφέντα.

126,10 τοιούτων ἀγαθῶν λόγων καὶ πράξεων, καὶ ὧν ἄνω ἔφη.

126,11 ἐγγὺς εἶναι τούτων. τοῖς ὑπάρχουσιν τοῖς οἰκείοις ἔργοις. τοῖς οὖσιν αὐτοῖς πλεονεκτήμασι. λογίζεται δὲ, δι' ὧν κατασκευάζει, ὅτι πάντων κρείττους εἰσίν. ὥστ' εἰ, τὸ μὴ ἔχειν—ἅπαντας νενικήκασιν εἰ γὰρ ὁ μὴ ἔχων, φησὶ, τὰ ἴσα, ἐλάττων ἐστὶ τοῦ ἔχοντος, πάντως ἄρα νενικήκασι τῷ ἔχειν τὰ πλείονα.

126,12 οἶμαι μὲν οὖν, εἰ καὶ μόνα ταῦτα τὸ μὲν ἐνταῦθα πρὸς τὸ οὐ μὴν ἔχει τὴν ἀπόδοσιν· ἐπειδὴ δὲ μέλλει τῆς ἐν Σαλαμῖνι μάχης ἄρξασθαι, προοιμιάζεται. ποιεῖται δὲ μερικὴν ἀνακεφαλαίωσιν ζήλῳ Δημοσθενικῷ· ἐκεῖνος γὰρ ἐν ἄλλοις τε πολλοῖς καὶ ἐν τῷ παραπρεσβείας οὕτω ποιεῖ. ἐντεῦθεν ἄρχεται τῆς ἀνακεφαλαιώσεως τῶν εἰρημένων, ἥτις τυγχάνει μερικὴ κατὰ μίμησιν Δημοσθένους· καὶ γὰρ κἀκεῖνος ἐν τῷ περὶ παραπρεσβείας διὰ τὸ μῆκος τοῦ λόγου κατὰ μέρος μερικὴν ποιεῖται ἀνακεφαλαίωσιν, ἀναμιμνήσκων συντόμως τῶν εἰρημένων τὸν ἀκροατὴν ὅπερ καὶ οὗτος ἐνταῦθα ποιεῖται, τὴν ἀνακεφαλαίωσιν· ἐν τῷ ἑξῆς δὲ σελιδίῳ ἐστὶν ἡ ἀπόδοσις τούτου πρὸς τὸ οὐ μὴν ἐῶσιν αἱ πράξεις· ἵνα ᾖ οὕτως· οἶμαι μὲν οὖν, εἰ καὶ μόνα ταῦτα εἶπον, ἔχειν ἂν πέρας τὸν λόγον· οὐ μὴν ἐῶσιν ἀπελθεῖν αἱ πράξεις. μόνα ταῦτα ἐκλέξας ἃ ἐξ ἀρχῆς μέχρι τοῦ νῦν εἶπον.

126,14 τὴν γὰρ πρώτην μὲν ἀνεῖσαν ἀνθρώποις φύσασαν. καὶ ἀναδοῦσαν. ἀναδοῦσαν· σημαίνει τοὺς Ἀθηναίους αὐτόχθονας εἶναι.

126,15 ἀλλὰ καὶ πάντας καὶ τὴν ὑποδοχὴν σημαίνει τῶν εἰς αὐτὴν καταφευγόντων.

126,17 ἀποστείλασαν εἰς ἀποικίας.

126,18 τῶν τ᾽ ἐν τῇ ὑπερορίᾳ τῶν Ἰώνων λέγει, ὅτι δι᾽ αὐτοὺς ἐνέπρησαν τὰς Σάρδεις. τῶν ἐπὶ τῆς ἀρχαίας Ἑλλάδος ἐπειδὴ νέαν Ἑλλάδα καλεῖ τὴν Ἰωνίαν, διὰ τοῦτο εἶπε τὴν ἀρχαίαν. λέγει δὲ τὸν ἐν Μαραθῶνι πόλεμον. τὸ δὲ οὐ διὰ παντὸς πῶς φησὶν, οὐ διὰ τοῦ ὅλου εἴποι τις εὐεργετήματος τὴν πόλιν ἐλθεῖν τοῖς Ἕλλησιν. διὰ παντὸς εὐεργετήματος.

126,19 καθάπερ τοὺς δρομέας, τὸ γιγνόμενον συμπεπληρωκέναι τὸ ὀφειλόμενον. ὥσπερ γὰρ ἐκεῖνοι καλῶς καὶ ἀνελλιπῶς τὸν δρόμον ἀνύουσιν, οὕτω καὶ ἡ πόλις πάντα, ὅσα προσῆκεν, ἀνύουσα οὐκ ἐπαύετο. τουτέστι τὸ ὀφειλόμενον τέλος πεπληρωκέναι, δηλονότι τέλος τοῦ δρόμου. ὡς ἐπὶ ἀγῶνος δὲ εἶπε τὴν λέξιν, ἐπειδὴ καὶ δρομέων ἐμνημόνευσε.

126,20 ἐγχωρεῖν δυνατὸν εἶναι. πρὶν γὰρ ἄρχεσθαι τῶν ὁμοίων ἑτέρους τὸ ἑτέρους εἰς Λακεδαιμονίους αἰνίττεται. τῶν ὁμοίων τῇ πόλει. ἑτέρους Ἕλληνας. τοσοῦτον ὅσον ἐδείξαμεν.

127,1 οὐ μὴν ἐῶσί γε ἀπελθεῖν τὸ σχῆμα ὑπερβατόν· εἴρηται γὰρ πρὸς τὸ ἄνω, καὶ εἶχεν ἂν πέρας ἀρκοῦν ὁ λόγος, εἰ καὶ μόνον εἶπον τὰ εἰρημένα, ἀλλ᾽ οὐκ ἐῶσι, φησὶν, ἀπελθεῖν αἱ πράξεις.

127,2 τοσούτῳ μᾶλλον, ὅσῳ ταῦτα ἀκριβέστερον ἐξήτασται ἐπειδὴ γὰρ οὐδὲν ἐκείνων παρέλιπον, ἀλλ᾽ ἀκριβῶς, ὡς προσῆκεν, ἐμνήσθην, δεῖ μηδὲ τἆλλα παραλιπεῖν, ἵνα μὴ δόξωμεν ἄτοποι, τὰ μὲν αὐτῆς εἰς ἄκρον ἐξητακότες, τῶν δὲ μηδὲ τὴν ἀρχὴν μνημονεύσαντες. ἢ οὕτω· ταῦτα, ἃ μέλλομεν εἰπεῖν, ἀκριβέστερον καὶ κάλλιστον τῶν προτέρων ἐξήτασται καὶ κατεπράχθη τῇ πόλει. ἐξήτασται ἢ ἑαυτῷ λέγει ἐξήτασται· ἐπειδὴ δοκεῖ φιλοτιμότερον εἰρηκέναι τὸν Δαρείου πόλεμον· ἢ τῇ πόλει ἐξήτασται. τοσαύτην γὰρ ὑπερβολὴν ἡ τοιαύτη κατασκευὴ πρὸς τὸ οὐ μὴν ἐῶσιν ἐστί.

127,3 τοῖς ἐφεξῆς τὰ εἰρημένα ἐδήλωσεν· ἐφεξῆς γὰρ τοῦ Μαραθῶνος τὰ κατὰ Ξέρξην συμβέβηκε. τοῖς ἐφεξῆς οὖν λέγει τοῖς κατὰ Ξέρξην.

127,4 ὅσον περ πρὸ τοῦ τοὺς ἄλλους μόνη γὰρ αὕτη τὰ κατὰ Μαραθῶνα ἔπραξε.

127,5 ἀμιλλωμένη ἀγωνιζομένη. γενομένου γὰρ τοῦ ἐν Μαραθῶνι τολμήματος εἰκότως εἶπε τὸ τολμήματος δεικνὺς τὸ τῆς μάχης ἄνισον καὶ παράδοξον. ποῦ γὰρ ἴσον, ὀλίγους κομιδῆ πρὸς ἀριθμοῦ κρείττους ἀγωνίσασθαι; ἢ τίς ἂν ἤλπισε τοῦτο; ἢ τὸ τολμήματος, μὴ περὶ τῶν Ἀθηναίων, ἀλλὰ περὶ τῶν βαρβάρων ἐκληπτέον, ἵνα λέγῃ ἐντεῦθεν ὡς ἀτόπου πράγματος ἐπεθύμησαν Πέρσαι, Ἀθηναίους καταστρέψασθαι τοὺς ὑπερφυεῖς ἀγωνιστὰς ἐν πολέμοις. αἰτίους δὲ διαβάσεως λέγει τὸν Ἱππίαν καὶ τοὺς Ἀλευάδας· οἱ μὲν γὰρ Θετταλίας τυραννοῦντες ὑπ᾽ Ἀθηναίων ἐξέπεσον, Ἱππίας δὲ ἠβούλετο Ἀθηνῶν τυραννῆσαι. οὗτος τοίνυν εἰς Δαρεῖον μετ᾽ Ἀλευαδῶν ἐλθὼν πέπεικε κατ᾽ Ἀθηναίων καταστρατεῦσαι. σαφέστερον δὲ λέγει τὴν ἱστορίαν ἐν τῷ ὑπὲρ τῶν τεσσάρων εἰς τὸν Μιλτιάδην. τοῦ ἐν Μαραθῶνι τολμήματος ἀστείως εἶπεν· οὐ γὰρ εἶπε κατορθώματος, ὅτι ὀλίγα πρὸς πολλοὺς ἀντετάξαντο.

127,6 ὥσπερ κονιορτοῦ ἢ διὰ ἐλαφρὸν ἢ διὰ τὸ ἀηδές.

127,7 ὑποπεπτώκει τῇ πόλει τεταπείνωτο πρὸς τὴν πόλιν. αἰτίους δὲ εἶπε διὰ τὸν Ἱππίαν. οὗτος γὰρ ἐκπεσὼν ἐκ τῶν Ἀθηνῶν ὡς τύραννος, ἔπεισε τὸν Πέρσην κατ᾽ Ἀθηναίων στρατεύσασθαι· καὶ τοὺς Ἀλευάδας· καὶ αὐτοὶ γὰρ ἐκπεσόντες τῆς Θετταλικῆς τυραννίδος ἔπεισαν αὐτόν. σαφέστερον δὲ τοῦτο λέγει ἐν τῷ Μιλτιάδῃ.

127,9 τελευτᾷ δὴ πρίν τι δεύτερον κακὸν αὐτὸν ἐξεργάσασθαι ἀπολώλει γὰρ ἂν, εἰ τὸ δεύτερον ἐστράτευε. εἰ γὰρ κατ᾽ Ἀθηναίων αὖθις ἐστράτευσε, πάλιν ἂν ἡττήθη.

127,10 ταῖς ἐπινοίαις ἀτόποις ἐπινοήσεσιν. ταῖς μηχαναῖς. μηδὲν καταλιπὼν τινί. μηδὲν καταλιπὼν ἄτοπον νομίσαι οὐδὲ γὰρ οἷόν τε λογίσασθαί τι καινὸν καὶ παράδοξον, ὅπερ οὐκ ἐκεῖνοι εἰς ἔκπληξιν τῶν Ἑλλήνων ἐμηχανήσαντο. παράδοξον, ὃ οὐκ ἐποίησε. λέγει δὲ ὡς ὅσα ἄν τις ἐπινοήσειε παράδοξα καὶ ὑπερφυῆ παρὰ τὴν τῶν Ἀθηναίων, οὗτος ἐμηχανήσαντο ἔπληξιν οὐδὲν κατέλειψεν ἄτοπον νομισθῆναι παράδοξον τῷ πάντα δεικνύειν. καταγνοὺς μὲν τοῦ πατρὸς ἐμφατικῶς τὸ ἀπὸ τοῦ πατρός. ἀτοπώτερος ὁ νικήσας τῇ πονηρίᾳ τὸν φύσαντα.

127,12 τῶν Ἑλλήνων, ὡς οὐδαμοῦ φανησομένων εἰ κατ᾽ αὐτῶν οὗτος ἐπιστρατεύσειεν. τὸν μὲν Δαρεῖον.

127,13 τὴν δὲ πόλιν. μετὰ πολλοῦ τοῦ κρείττονος ἢ ὁ πατήρ. τοσοῦτον ὕβρισε ἠτίμασε τὰ τοῦ πατρός. τῇ περιβολῇ τῇ προσθήκῃ καὶ τῇ δυνάμει.

127,14 ὥστ᾽ ἔγνω τὸν πρότερον στόλον, ὡσπερεὶ παιδιὰν, ἀποφῆναι τὸν τοῦ πατρὸς αὐτοῦ· ἦλθε γὰρ, φησὶ, χιλίας ἔχων τριήρεις, ὅπερ Ξέρξης εὐτελὲς ἡγήσατο. ἀπὸ κοινοῦ δὲ τὸ ἁμιλλήσασθαι. τὰ δὲ ἐξ οὐρανοῦ δεινὰ καλοῦσι διοσημείας· οἷον βροντὰς καὶ κεραυνοὺς, ἃ καὶ οὐράνια βέλη καλεῖ

127,15 πρὸς τὰς διοσημίας τὰ ἐκ τοῦ Διὸς φαινόμενα σημεῖα. εἰπὼν διοσημίας, μετ᾽ ὀλίγον ἀπαριθμεῖ ταύτας, ὅταν λέγῃ, ποίαν γὰρ κυμάτων ἐπιρροὴν, ἢ τίνας σκηπτοὺς, καὶ τἄλλα. πάντα γὰρ ταῦτα, ὅταν γίνηται, σημεῖα τοῖς ἀνθρώποις παρὰ Διὸς γίνονται. τὸ δὲ, ὅτι βεβαίως αὐτοῦ ἐστιν ἡ γῆ, ὥσπερ παρ᾽ Ἰσοκράτους μεταπέφρασται. λέγει γὰρ, ὥσπερ πρὸς τὸν Δία τὰ ὄντα διανεμόμενος, τῷ μὲν τοῦ Ὀλύμπου παραχωρῶν, ἑαυτῷ δὲ τὴν γῆν ἔχειν. ἀήθεις δὲ ἀστέρας νόει κομήτας, πωγωνίας, δοκίδας, ξιφίας, καὶ ὅσα τοιαῦτα. κομῆται μὲν οὖν εἰσιν οἱ κόμῃ ἀνδρὸς ἐοικότες, πωγωνίαι δὲ οἱ τριγωνοειδεῖς, δοκίδες δὲ οἱ στενοεπιμήκεις, ξιφίαι δὲ οἱ ὀξεῖς. ἅπαντες δὲ οὗτοι οὐκ ἀεὶ ὁρῶνται, ἀλλ᾽ ὅταν φανῶσι, σημεῖα τοῖς ἀνθρώποις δεινῶν μαντεύονται.

127,16 ὅτι αὐτοῦ βεβαίως ἐστὶν ἡ γῆ ὁ θεῖος Ἰσοκράτης ἀνθηρότερον εἶπεν, αὐτὸ λέγων, καθάπερ πρὸς τὸν Δία τὰ ὄντα διανεμόμενος, τῷ μὲν Διὶ παραχωρήσας τοῦ οὐρανοῦ, ἑαυτῷ δὲ τὴν γῆν.

127,17 ποίαν γὰρ κυμάτων ἐπιρροὴν πρὸς τὴν τῶν ἔξω διαφθοράν. ἤγουν θαλάσσης κατακλυσμὸν πρὸς τὰς γειτονούσας πόλεις.

127,18 ποίους ἀήθεις ἀστέρας τοὺς καλουμένους κομήτας. ταῦτα μὲν οὖν καθ᾽ ἑαυτὰ οὐκ ἔστι δεινὰ, σημεῖα δὲ μᾶλλον τῶν δεινῶν. κομῆται δὲ καλοῦνται ἀστέρες οἱ κόμῃ ἀνδρὸς παραπλήσιοι, πωγωνίαι δὲ οἱ τριγωνοειδεῖς. δοκίδες δὲ οἱ ἐπιμήκεις. φόβους δὲ ἐγγείους σεισμοὺς, ἢ κατακλυσμούς.

127,19 συνέστειλε ἀπέκρυψε.

127,20 οὗ τὰς ἀπειλὰς πρῶτον οὐκ ἦν ἑστῶσι τοῖς ὠσὶν ἀκοῦσαι παροιμία τὸ οὐχ ἑστῶσι τοῖς ὠσὶν ἀκούειν, ἐπὶ τῶν δυσχερῶν καὶ βαρυτάτων ἀκουσμάτων λεγομένη. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν θηρίων, ἃ, ὅταν κτύπον αἴσθωνται, χαλῶσι τὰ ὦτα, ἵνα μὴ ἔτι ἀκούωσιν. ἀντὶ τοῦ θαρροῦσιν· ὅ ἐστι κάμπτεσθαι ὑπὸ τοῦ φόβου· ἀπὸ μεταφορᾶς τῶν ἀλόγων ζώων, ἅπερ, ὅτε θορυβοῦνται, τὰ ὦτα κλίνουσι συνεχῶς, καὶ οὐκ ἐῶσιν ὀρθά. ἀπῆγον εἰς ἔσχατα γῆς ἐξετόπιζον τοὺς ἀκούοντας.

127,21 αἰτεῖν μὲν γὰρ ἔφασκεν οὐδὲν τῶν ἀλλοτρίων ὧν οὐκ αὐτὸς ἔχει.

128,1 ἀπαρχὰς γῆς καὶ ὕδατος ἐπειδήπερ τὰς ἀπαρχὰς τῶν καρπῶν καὶ τῶν ἄλλων τοῖς θεοῖς διδόασιν ἄνθρωποι, ὡς δοτῆρσιν αὐτῶν, διὰ τοῦτο καὶ Ξέρξης οἰκείαν πᾶσαν γῆν καὶ πᾶν ὕδωρ λογιζόμενος, ὡς ὢν τῆς ἐπ᾽ οὐρανὸν πάσης κύριος, ἀπαρχὰς ᾔτει τούτων τοὺς Ἀθηναίους. ὅπερ Δαρεῖος ᾔτει. πάντων δ᾽ εἶναι τούτων κύριος τῆς γῆς καὶ τοῦ ὕδατος. ἀπὸ κοινοῦ τὸ ἔφασκε. τῆς δ᾽ ἀγνωμοσύνης ἀγνωμοσύνην ἐνταῦθα καλεῖ τὴν θρασύτητα. ἔστι δὲ καὶ ἡ ἀχαριστία καὶ ἡ μωρία. ἀγνωμοσύνης λέγει ἐνταῦθα τῆς ἀδικίας· ἀδικίαν γὰρ ὁ βάρβαρος ἐκάλει τὸ τολμῆσαι τὴν πόλιν ἐπὶ τοῦ Μαραθῶνος ἀντιπαρατάξασθαι. ἔστι γὰρ ἡ ἀγνωμοσύνη ἐν ἄλλοις ἡ ἀχαριστία.

128,2 εἰ ταῦτα συγχωρήσαιεν τὴν τοῦ ὕδατος καὶ τῆς γῆς δόσιν. μετὰ τῶν ἄλλων ἀνθρώπων γένοιντο ὡς ἤδη πάσης τῆς ἄλλης γῆς δουλευούσης. τῶν ὑποτεταγμένων αὐτῷ.

128,3 διδάξειν σωφρονίσειν. διδάξειν αὐτοὺς καλῶς τίς ὁ κοινὸς δεσπότης. τὴν δεσποτείαν.

128,4 μετὰ τῶν προπατόρων θεῶν ἢ ὁ Ξέρξης ἐκ θεῶν ἔλεγε κατάγειν τὸ γένος, ἢ Ἀριστείδης ἐξεπίτηδες τοῦτο πλάττει, βουλόμενος αὐτὸν ἀποδεῖξαι ὑπὲρ ἄνθρωπον φρονοῦντα. ἀλαζονείαν ἐμφαίνει βαρβαρικήν· τοὺς γὰρ θεοὺς καλεῖ αὐτοὺς προπάτορας ὄντας. οὕτω γὰρ θεοῖς τε καὶ Ξέρξῃ δοκεῖν ὑπὲρ τῶν Ξέρξου πραγμάτων ὑπὲρ τῶν ἁρμοζόντων ἐκείνῳ. τὸ Ἀθηναίους γνωρίσαι δεσπότην τὸν Ξέρξην.

128,5 ἥξειν γὰρ ἄγων ἅπαντα τὰ ἑαυτοῦ. ναῦς μὲν, ὅσας ἡ Ἑλληνικὴ θάλασσα οὐχ ὑποδέξεται ἐπέκεινα γὰρ τῶν χιλίων ἦσαν. ἡ Ἑλληνικὴ θάλασσα ὁ Αἰγαῖος. ἵππῳ θηλυκῶς ἡ ἵππος.

128,6 τὴν πόλιν ἱππόκροτον καταστήσειν ἐκ τῶν ἵππων ἠχουμένην. πεδίον ἵππῳ κροτούμενον τοῖς τῶν ἵππων ποσί. δηλοῖ δὲ διὰ τούτου ἐρημῶσαι αὐτὴν, ὡς εἶναι πρὸς ἱπποδρομίαν ἐπιτηδείαν. ἱππήλατον. ἱερά τε συμφλέξειν καὶ θήκας ἀναρρήξειν βαρβαρικὸν τὸ φρόνημα, ὅτι καὶ θεοῖς καὶ νεκροῖς ἠπείλει εἰς τὸ αὐτό. ἱερά τε συμφλέξειν ἐνθυμούμενος ὁ Ξέρξης ὡς, ὅτε Ἀθηναῖοι τὰς Σάρδεις ἐπόρθησαν, ἐν τῷ καίειν αὐτὰς καὶ τὸ τῆς Ῥέας ἱερὸν ἄκοντες ἔκαυσαν, πολλὰ ἱερὰ ἐν τῇ κατὰ τῶν Ἑλλήνων ἐπιστρατείᾳ καὶ αὐτὸς ἔκαυσεν. τοῦτο κατὰ τὸ ἀληθὲς ἐποίησε· πολλὰ γὰρ ἱερὰ ἐνέπρησεν, ἀμυνόμενος, ὅτι καὶ οἱ Ἀθηναῖοι, ὅτε καὶ Σάρδεις ἐπόρθουν, ἔκαυσαν τῆς Ῥέας τὸ ἱερὸν, οὐχ ἑκόντες, ἀλλ᾽ ἐν τῷ καίειν τὴν πόλιν. ὅπερ πρὸς ὕβριν οἰκείαν ὁ Ξέρξης ἐνόμισε γίνεσθαι.

128,7 θήκας τάφους. θήκας ἀναρρήξειν τάφους, ὥστε τοὺς ἔνδον ἀτιμάσαι. μετασκευάσειν ἅπαντα μεταβαλεῖν καὶ ἀνατρέψαι. ἔτι δὲ Ἀτλαντικοῦ πελάγους κληρουχίας ἀτίμους ἠπείλει τὸ Ἀτλαντικὸν πέλαγος περὶ τὸν ὠκεανόν ἐστι πελαγῶν μέγιστον. ἠπείλει οὖν Ἀθηναίοις, ὡς ῥῖνας αὐτῶν καὶ ὦτα ταμὼν ἀναγκάσῃ τὸ πέλαγος ἐπαντλήσαντας, καὶ τὸ παρακείμενον ὄρος, τὸν Ἄτλαντα, σκάψαντας, ἐντὸς τοῦ πελάγους τὸν χοῦν προφέρειν καὶ γαιοῦν, ἵνα σπείρωσι. τὸ δὲ πέτρας ὀρύττοντας λέγει, διότι καὶ ὁ Ἄτλας πετρώδης ἐστί. κληρουχία δὲ λέγεται ἡ γεωργία, ἐπειδὴ οἱ παλαιοὶ διὰ κλήρου τὴν σπειρομένην γῆν ἐλάμβανον. τὴν μεταβολὴν σημαίνει τῶν στοιχείων. παρὰ δὲ τὸν ὠκεανὸν λέγεται εἶναι τοῦτο τὸ πέλαγος. ἠπείλει οὖν καὶ τοῦτο αὐτοὺς γεωργῆσαι τὸ πέλαγος. δηλονότι ἀπαντλοῦντας, πέτρας δὲ ὀρύττοντας. κληρουχίαν δὲ καλεῖ τὰς γεωργίας, ὥσπερ ἔχομεν καὶ παρὰ Δημοσθένει κληρούχους, τοὺς γεωργούς.

128,8 κληρουχίας γεωργίας. κληρουχίας ἀτίμους ἠπείλει—ποιήσειν διὰ τὸν ἀκρωτηριασμόν. διὰ τὴν τῶν ῥινῶν καὶ τῶν ὤτων τομήν. ἀτίμους, ἀντὶ τοῦ δυστυχεῖς· οὐδὲ γάρ ἐστι γεωργία ἄτιμος. τοῦτο οὖν λέγει κληρουχίαν ἄτιμον. ἠκρωτηριασμένους δὲ λέγει τὰς ῥῖνας καὶ τὰ ὦτα. τὸ δὲ προχοῦν λέγει προχοῦντας εἶναι· ἵν᾽ ἡ σύνταξις οὕτως ᾖ. ἠπείλει γὰρ ποιήσειν

αὐτοὺς προχοῦντας εἰς τὸ πέλαγος· καὶ οὐχ εὑρίσκεται ἀντὶ μετοχῆς ῥῆμα κείμενον· τὸ προχοῦν οὖν ἐστιν ἀντὶ τοῦ προχοῦντας. ἐπ᾽ εὐθείας γὰρ οὕτω προβαίνει· ἠπείλει κληρουχίας γῆς ἀτίμους ποιήσειν· ἣν γῆν προχοῦν ἀναγκάζει εἰς τὸ πέλαγος· ἠπείλει καὶ τὰ ἑξῆς. ἔξω τῆς οἰκουμένης ἐπέκεινα τῆς οἰκουμένης.

128,9 προσχοῦν προσφέρειν καὶ γαιοῦν. προχοῦν προχοῦντας. τοσαῦτ᾽ ἔχοντας τοῦ σώματος μέλη.

128,10 ὅσα τοῖς ἔργοις ἀρκέσει ὀφθαλμοὶ, χεῖρες, πόδες. χεῖρας, πόδας, ὀφθαλμούς. χεῖρας καὶ πόδας, δι᾽ ὧν εἰργάζοντο. καὶ οὐκ ἠπείλει μὲν οὕτως ἀήθη ὥσπερ ἀντιπῖπτον λύει, ἵνα μή τις εἴπῃ, καὶ τί μέγα πεποίηκε μόνον ἀπειλῶν; ὁ δὲ λέγει ὅτι τοῖς ἔργοις ἀπέκρυπτε τὰς ἀπειλάς. ἀήθη καὶ ὑπερόρια ξένα καὶ παράδοξα.

128,11 φόβου μείζω εἰς ὑπερβολὴν φοβερά. ἐτελεύτησε δ᾽ ἐνταῦθα ἤγουν εἰς μόνας τὰς ἀπειλάς. ἀπέκρυψε τοῖς ἔργοις τὰς ἀπειλὰς ἐφανέρωσε πρὸ τοῦ ποιῆσαι.

128,12 ἄνευ γε τοῦ τι δυνηθῆναι λέγω δὴ, χρήσασθαι τῇ πόλει πάντα, φησὶν, ἐποίει, πλὴν τοῦ τὴν πόλιν τιμωρήσασθαι, ῥαχία δὲ καλεῖται ὁ πετρώδης τόπος· καὶ τοὺς τὴν ῥαχίαν οἰκοῦντας ἐπὶ τὸν πόλεμον ἤγαγεν. χρήσασθαι τῇ πόλει ἤγουν ὑποχειρίους τοὺς ἐν αὐτῇ ποιήσασθαι. τίνα γὰρ μεσόγειαν γῆν. τίνα γὰρ μεσόγειαν, ἢ ποίαν ἐκ τοῦ εἰπεῖν, τίνα μεσόγειαν οὐκ ἔσεισε, καὶ Ἀτλαντικὴν ῥαχίαν, καὶ ποῖον κόλπον, δείκνυσιν ὅτι πανταχόθεν συνήγαγε στρατιὰν, καὶ πάντας ἐξέπληξε τῇ ὑπὲρ φύσιν ταύτῃ παρασκευῇ· εἰ καί τινες οἴονται ὡς τὸν Ἄτλαντα κατέσκαψε, πλανώμενοι ἐκ τοῦ προτέρου λόγου, ὃν Ἀριστείδης εἶπεν, ὅτι ἠπείλει τὸν Ἄτλαντα τεμὼν εἰς τὸ πέλαγος ἐμβαλεῖν.

128,13 οὐκ ἔσεισεν τῇ τῆς στρατιᾶς φήμῃ. τῶν εἰσεχόντων ἤγουν τῶν εἰσρεόντων τεσσάρων κόλπων.

128,14 ἀπὸ τῆς ἔξω θαλάττης ἤγουν τοῦ ὠκεανοῦ. τουτέστι τῆς πλατείας, ἐξ ἧς οἱ κόλποι γίνονται. Φάσις δὲ ποταμὸς Σκυθίας. ἄνω δὲ Περσικὸν λέγει

τὴν καλουμένην Κασπίαν θάλασσαν. παρῆκεν ἀσύμβολον εἰς ὃν οὐκ ἐνέθηκε σύμβολα. οὐ τὸν εἰς Φάσιν κόλπον. εἰς Φάσιν τὸν ποταμόν.

128,15 οὐχ Ὑρκανίαν χώρα τῆς Ἀσίας. οὐχ Ὑρκανίαν, οὐ πάντας συνήγαγεν τὸ μὲν πρῶτον σχῆμα κατὰ ἀπόφασιν, τοῦτο δὲ κατὰ ἐρώτησιν. οὐδ' ἠρευνήσατο συνεμέτρησε.

128,16 ἢ Δάτις τὴν Ἐρετρικὴν τοῦτον τὸν Δάτιν ἔπεμψε Δαρεῖος ἀνθ' ἑαυτοῦ στρατηγὸν, ὃς ἐπιβὰς Ἐρετρείας, ὡς καὶ ὄπισθεν εἶπε, καὶ πᾶσαν καταστρεψάμενος, τὸ λοιπὸν τῶν ἀνδρῶν εἰς τὴν Ἀσίαν ἔπεμψεν. ἐσχατιαῖς δὲ, τοῖς τελευταίοις τόποις. τὴν Ἐρετρικὴν γῆν. οὐκ ἐσχατιαῖς γῆς καὶ θαλάττης τὸν στόλον ὡρίσατο ἤγουν μέχρι τῶν περάτων τῆς γῆς ἐξέτεινε.

128,17 ὥσπερ σαγηνεύων δίκην δικτύου περικλείων. φάσμα ἄτοπον θέαμα.

128,18 οὐκ ἐκινήθη εἰς τὸ εἶναι παρήχθη. τί τῶν ὄντων οὐχ ὑπερώφθη μείζω γὰρ τούτων ᾔτησε. οὐχ οἱ πορθμοὶ τοσοῦτον αὐτῷ τῶν ποταμῶν διαφέρειν ἐδόκουν, ὅσον οὐ παρέχειν πιεῖν ἐξ αὐτῶν ταυτὸν πάθος ἔπασχον καὶ πορθμοὶ καὶ ποταμοὶ ξηραινόμενοι, οἱ δὲ πατούμενοι. ταυτὸν πάθος ἔπασχον καὶ ποταμοὶ καὶ πορθμοὶ ξηραινόμενοι, οἱ μὲν πινόμενοι, οἱ δὲ ξηραινόμενοι, ὡς πατούμενοι. ἴσμεν ὅτι οἱ πορθμοὶ στενοὶ ὄντες φοβεροί εἰσι τοῖς διαπλέουσι, τῶν πελαγῶν εἰς αὐτοὺς προσρηγνυμένων, οἱ δὲ ποταμοὶ εὐχερεῖς. βούλεται οὖν εἰπεῖν ὅτι τῷ μὴ πίνειν μόνον διέφερον τῷ βασιλεῖ τῶν ποταμῶν. ἄλλοι δέ φασιν· ἐπειδὴ οἱ πορθμοὶ πολλοῦ ὕδατος οὐκ εὐποροῦσι, τοῦτο εἶπεν, ἀντὶ τοῦ πάντα ἐνόμιζε τοὺς πορθμοὺς ἔχειν τῶν ποταμῶν ὅμοια, πλὴν τοῦ μὴ ἔχειν ἄφθονον ὕδωρ.

128,19 ὅσον οὐ παρέχειν πιεῖν ἐξ αὐτῶν ἁλμυρὸν γάρ. ἁλμυρόν ἐστι τὸ αὐτῶν ὕδωρ.

129,1 ἐκείνων ἤγουν τῶν χειμάρρων. ἐκ Διὸς ὕοντος.

129,2 ὑπὸ Ξέρξῃ πάντα ἐπέλιπεν κατεπόθησαν γὰρ ὑπὸ τῶν βαρβαρικῶν ἵππων Μαίανδρος, Πηνειὸς, Ἰλισσὸς, καὶ ἕτεροι. τὰ τῶν ποταμῶν· ἐπίνοντο γὰρ ὑπὸ τῆς στρατιᾶς, καὶ καμήλων καὶ ἵππων. ταῦτα ἡ γῆ καὶ ἡ θάλασσα.

129,3 μετέβαλλεν εἰς ἄλληλα μετεβλήθησαν. γῆ τε γὰρ, ἡ μὲν ἐγίγνετο ἡ τοῦ Ἑλλησπόντου. ἡ δ' ἀπώλλυτο ἡ τοῦ Ἄθω.

129,4 θάλαττα ὑπεχώρει ἐν τῷ Ἑλλησπόντῳ. καὶ πάλιν συνῄει τῷ βασιλεῖ ἐν τῷ Ἄθῳ. καὶ νῦν ἐστι τῆς νέας θαλάττης, ὅσος τῆς ἐκείνου διαβάσεως, χρόνος ὅτε διώρυξε τὸν Ἄθω. ἐγκωμιάζων δὲ τὸν Πέρσην, μεταβολὴν αὐτὸν στοιχείων λέγει πεποιηκέναι λέγει δὲ ὅτι ἐκ τότε νέα θάλαττα φαίνεται, ἀφ' οὗ διέβη, ἕως νῦν.

129,5 ὁ Ἄθως Ἄθων καὶ Ἄθως ὄρος. ἔστι δὲ τὸ νῦν λεγόμενον ἅγιον ὄρος. ὁ Ἄθως ἀντὶ στήλης τῷ ἔργῳ λέλειπται ὥσπερ ἡ στήλη τοὺς ἀνθρώπους εἰς ἀνάμνησιν ἄγει τοῦ στήσαντος, οὕτω καὶ οἱ τὸν Ἄθω νῦν ὁρῶντες ἀναμιμνήσκονται τὴν πάλαι τομήν. τῷ ἔργῳ τῇ τομῇ.

129,7 κάμηλοι ὥσπερ χιλίας διακοσίας εἶχε τριήρεις, οὕτω καὶ τοσαύτας καμήλους. κατέλαμπον οὐχ ἁπλῶς κατέλαμπον· βούλεται γὰρ δεῖξαι αὐτὸν οὐ μόνον θάλατταν μεταβεβληκότα, ἀλλὰ καὶ νύκτα καὶ ἡμέραν. ὅσον μήκιστόν ἐστιν ἀνύσαι ὅσον, φησὶν, ἔστιν ἀνύσαι τῷ βαδίζοντι. διὰ δὲ τούτου τὸ πλῆθος ἐμφαίνει τῶν καμήλων, οὐχ ἁπλῶς δὲ, ἀλλ' ὅτε χρείαν ἐπλήρουν. οὐ πρὸς τὰ δύο δὲ παραδείγματα ἡ αἰτία, πρὸς τὴν σκιὰν καὶ τὰς καμήλους, ἀλλὰ πρὸς τὴν μεταβολὴν καὶ τὴν κίνησιν. τοσοῦτον διάστημα. τοσοῦτον ἐπέχουσαι διδοῦσαι νύκτωρ.

129,8 εἰ δ' ἐπιθυμήσειε σκιᾶς μεθ' ἡμέραν. δένδρον ἦν αὐτῷ χρυσοῦν ἡ σκιὰ ἐλθὼν μεσημβρίας ὁ Ξέρξης ὑπό τινι πλατάνῳ, καὶ σκηνώσας ἐκεῖ, ἀπεδέξατο τότε αὐτὴν τοῦ κάλλους καὶ χρυσῆν ἑτέραν τοιαύτην κατασκευασθῆναί οἱ προσέταξεν, ἣν γενομένην μεθ' ἑαυτοῦ στρατεύων ἔφερεν. λέγεται ὅτι πλάτανον εἶχε χρυσῆν ἐπὶ τοῦ ὀχήματος, συσκιάζουσαν αὐτὸν, ὥς φησιν Ἡρόδοτος, ἣν παρέσχεν αὐτῷ Πυθέας ὁ Λυδός. πλάτανον εἶχεν ἐκ χρυσοῦ κατεσκευασμένην, ἣν ἐχαρίσατο αὐτῷ Πυθέας ὁ Λυδῶν βασιλεύς.

129,10 πολλοῖς δ' ἦν ἀφανὴς, ὧν ἦγεν οὗ γῆς εἴη τανῦν ἐπειδὴ εἶπεν ὅτι πᾶσαν τὴν οἰκουμένην εἶχε στρατόπεδον, ἀναγκαίως τὸ πλῆθος τὸ ἑπόμενον ἠγνόει, ποῦ ἄρα ὁ προηγούμενος ἐτύγχανε τοῦ στρατεύματος. οὐδὲν δ' ἦν ἔθνος τῶν κατὰ τὴν πορείαν μεῖζον ἢ κρύπτεσθαι τυχὸν εἰ ἑκατὸν

σταδίων ἦν ἡ Θρᾴκη· ἐκρύπτετο ὑπὸ τοῦ στρατεύματος· καὶ οὐδὲ ἔθνος οὕτω μέγιστον ἦν καὶ ἐπὶ πολὺ ἐκτεταμένον ὥστε δύνασθαι μὴ καλύπτεσθαι ὑπὸ τοῦ πλήθους. ἢ οὕτως· ἀντὶ τοῦ οὐχ οὕτω μέγα τὸ ἔθνος ἐτύγχανεν, ὡς μὴ τῷ πλήθει τῷ ἑπομένῳ καλύπτεσθαι.

129,11 κρύπτεσθαι ἀφανίζεσθαι ὑπὸ τῆς στρατιᾶς.

129,12 ἐχρῆν γὰρ καὶ τοῦτο ἐκείνῳ γενέσθαι δυνατὸν ὡς ἀδυνάτου ὄντος τοῦ ἀριθμῆσαι τοσούτους.

129,13 τεῖχος μυρίανδρον μυρίους χωροῦν ἄνδρας.

129,14 πρὸς μέτρον ἠρίθμει διὰ μὲν γὰρ τὸ τεῖχος ἐμέτρει, διὰ δὲ τὸ πολλοὺς περιέχεσθαι ὑπὸ τοῦ τείχους ἠρίθμει. ἐμέτρει μὲν, διὰ τὸ πολλοὺς ὑφ᾽ ἓν εἶναι. ἀριθμεῖν δὲ, διὰ τὸ πολλὰς εἶναι τὰς μυριάδας. τίνι δὲ διαφέρει τὸ μέτρον τοῦ ἀριθμοῦ, αὐτὸς ἐν τοῖς προοιμίοις εἶπεν. ὁ μὲν οὕτω πάντα κινῶν ᾖει οὐ μόνον, φησὶ, τὰ βάρβαρα, ἀλλὰ καὶ τὰ Ἑλληνικά. διὰ τί δὲ οὐκ εἶπε κατὰ Ἀσίαν; λέγομεν ὅτι, ἐπειδὴ κατὰ τῆς Εὐρώπης ἐπῄει, ὅλως τε τῷ εἰπεῖν τὰ ἐπὶ γῆς πάντα περιέλαβε καὶ τὴν Ἀσίαν.

129,15 ὁπόσοις γένεσιν. ἐντύχοι ἐν τῇ ὁδῷ.

129,16 πρὸς τὴν κίνησιν αὐτοῦ. ὥσπερ τὰ κοῦφα οἱονεὶ τὰ φύλλα ὑπὸ τοῦ ἀνέμου φερόμενα. εἴκει πρὸς τὴν κίνησιν.

129,17 τῆς ὑπερηφανίας ἀντὶ τοῦ μεγέθους· οὐ γὰρ ἐπὶ ἀλαζονείας νῦν κεῖται. τῆς ὑπὲρ ἄνθρωπον φαντασίας.

129,18 θορύβου τοσούτου διὰ γῆς ἁπάσης καταρραγέντος ὡς ἄνωθεν ἀπ᾽ οὐρανοῦ πνεύματός τινος κατιόντος.

129,19 τῶν ἠπείρων ἀμφοτέρων ἤγουν τῆς Ἀσίας καὶ τῆς Εὐρώπης. κρινομένων ποτέρα κρείττων ἐστί. δοκιμαζομένων. ἀντέσχεν ἠναντιώθη.

130,1 πρῶτον μὲν τοῖς περὶ τὰς ἐπιστολὰς ἀκροβολισμοῖς ἐντεῦθεν ἄρχεται λέγειν τὰ πρὸ τοῦ πράγματος· εἰς τρία γὰρ διαιρεῖ, καὶ λέγει τὰ πρὸ τοῦ πράγματος, τὰ ἐν τῷ πράγματι, τὰ μετὰ τὸ πρᾶγμα. ἡ δὲ λέξις ἡ τοῦ ἀκροβολισμοῖς εἴρηται ἀπὸ τοῦ πόρρωθεν βάλλειν κατ᾽ ἄκρας ἀλλήλους,

εἰ βούλονται πολεμεῖν. λέγει οὖν ὅτι τοῖς ἀκροβολισμοῖς τοῖς διὰ τῶν ἐπιστολῶν. διάπειραν γὰρ ἐποίει διὰ τῶν ἐπιστολῶν ὁ βάρβαρος τῶν Ἀθηναίων. αὐτὸς δὲ εἰρηκὼς καὶ πείραις ἐξηγήσατο, τί ἐστιν ἀκροβολισμός. ἀκροβολίζειν γάρ ἐστι τὸ ἀποπειρᾶσθαι, εἰ θέλουσιν οἱ ἐναντίοι πολεμεῖν. περὶ τὰς ἐπιστολὰς τὰς τοῦ Ξέρξου. ἐκείνου.

130,2 τοῦ πτοηθῆναι φοβηθῆναι. πρὸς τὰς τῶν ἀτόπων ἐκείνων φόβων ἐπαγωγὰς ἐπελεύσεις. ὥστε οὐκ ἐδεήθη ψηφίσματος πρὸς ταῦτα ἔτι καθάπερ πρώην ἐπὶ τῶν τοῦ Δαρείου κηρύκων.

130,3 ἑνὸς κοινοῦ ψηφίσματος.

130,4 αὐτῇ σκευῇ καὶ ποικίλμασι μετὰ τῶν ἱματίων αὐτῶν. σκευὴν καλεῖ τὴν ποικίλην ἐσθῆτα· τοιαύτη γὰρ ἦν ἡ Περσική.

130,5 τοῖς εὖ φρονοῦσι τῶν Ἑλλήνων ἡγεμὼν τῆς ἀποκρίσεως ἐγένετο ἤγουν πῶς δεῖ ἀποκρίνεσθαι πρὸς τοὺς βαρβάρους ἐν ὁμοίοις καιροῖς. αἰνίττεται δὲ Λακεδαιμονίους, ὅτι καὶ αὐτοὶ Ἀθηναίους μιμησάμενοι, ταυτὰ πρὸς τοὺς ἐλθόντας παρ᾽ αὐτοῖς τότε ἐκ τῶν βαρβάρων ἀγγέλους ἐποίησαν. εἰς Λακεδαιμονίους αἰνίττεται· αὐτοὶ γὰρ ἀπέκτειναν τοὺς ἐλθόντας παρ᾽ αὐτοῦ ἀγγέλους.

130,6 πάντα χρήματα μίγνυται θάλασσα γῇ καὶ γῆ θαλάσσῃ καὶ τἆλλα τοῖς ἄλλοις.

130,7 τῶν Ἑλλήνων κερδανοῦσιν οἱ τελευταῖοι οὐ τῷ σώζεσθαι, ἀλλὰ τῷ τελευταῖοι πεσεῖν. σωθήσονται γὰρ, ἐπειδὴ τοὺς ἄλλους ἰδόντες κατεστραμμένους ὑπ᾽ ἐκείνῳ γενήσονται.

130,9 οὐδὲν μᾶλλον ὑφεῖτο ἠμέλησεν. οὐχ ὑπεχώρησεν, οὐχ ὑπεῖξεν. τῆς ὁρμῆς.

130,10 οὐδὲ ἐμέμψατο αὐτῇ τῆς ἀποκρίσεως ἀπόκρισιν λέγει τὴν σφαγὴν τῶν ἀγγέλων.

130,11 αἰσχυνομένη, μοι δοκεῖν, μόνη φανῆναι τῷ βαρβάρῳ ἵνα μή τις εἴπῃ ὅτι ἀσθενὴς οὖσα καὶ δεομένη τῆς συμμαχίας αὐτῶν συνήγαγεν αὐτούς.

130,14 ἀμφοῖν ἀμφοτέρων· τοῦ τε μὴ ἔχειν ἐν ἄλλοις ἢ Ἀθηναίοις τὰς ἐλπίδας, καὶ τοῦ μὴ ἐπὶ ἄλλοις ἐλπίζειν τοὺς Ἕλληνας· ἤλπιζον γὰρ ὅτι, ὡς πάντας ἐν Μαραθῶνι ἐνίκησαν Ἀθηναῖοι τοὺς Πέρσας, οὕτω καὶ ἐν Σαλαμῖνι μέλλουσι νικᾶν. τοῦ μὴ ἔχειν αὐτὴν τὰς ἐλπίδας ἐν ἄλλοις, καὶ τοῦ ἔχειν τοὺς ἄλλους ἐν αὐτῇ τὰς ἐλπίδας.

130,15 ὅ τι ἀντὶ τοῦ τί.

130,16 τοῖς θαύμασι παραδοξοποιίαις. γῆς μὲν οὐδαμοῦ ἐπειδὴ οὐ μέγα ἦν τὸ μετοικίσασθαι, προσέθηκε τὸ γῆς μὲν οὐδαμοῦ.

130,17 πᾶσα γὰρ εἴχετο ὑπὸ τοῦ Ξέρξου. ὑπὸ τῆς τοῦ Ξέρξου στρατιᾶς. καὶ τῆς περὶ τὸν Ἄθω διωρυχῆς ἐνταῦθα ηὐτέλισεν, ἅπερ πρὸ ὀλίγου ηὔξησε. διὰ τοῦτο δὲ ηὐτέλισε, διὰ τὸ συγκρίνειν αὐτὰ, ὡς παρὰ τῶν Ἀθηναίων γενόμενα.

130,18 οὔτε γνώμη φαυλότερον ἀλαζονικώτερον.

130,19 τὸ ἴχνος μόνον τὰ οἰκοδομήματα.

131,1 ὥσπερ τῶν ποιητῶν φασί τινες τὸν Ἀλέξανδρον Στησίχορος ἐν τῇ ποιήσει λέγει ὡς ἁρπακὼς τὴν Ἑλένην Ἀλέξανδρος, καὶ διὰ τῆς Φάρου ἐρχόμενος, ἀφῃρέθη μὲν ταύτην παρὰ Πρωτέως, ἔλαβε δὲ παρ᾽ αὐτοῦ ἐν πίνακι τὸ εἴδωλον αὐτῆς γεγραμμένον, ἵνα ὁρῶν παραμυθοῖτο τὸν αὐτοῦ ἔρωτα. εἰς Στησίχορον αἰνίττεται· λέγει γὰρ ἐκεῖνος ὅτι ἐλθὼν ὁ Ἀλέξανδρος ἐπὶ ταύτης τῆς νήσου, τῆς Φάρου, ἀφῃρέθη παρὰ τοῦ Πρωτέως τὴν Ἑλένην, καὶ εἴδωλον αὐτῆς ἐδέξατο· καὶ Ὅμηρος δὲ αἰνίττεται τοῦτο, ἔνθα λέγει· «Ἀμφὶ δὲ εἰδώλῳ Τρῶες καὶ δῖοι Ἀχαιοὶ μάχοντο.» φανερῶς δὲ οὐκ εἶπεν ἵνα μὴ τὴν ποίησιν ἀσύστατον ἐργάσηται, ὅτι διὰ εἴδωλον τοσοῦτος γέγονε πόλεμος.

131,3 πλήν γε δὴ ἀντὶ τοῦ ὅμως δέ· ἐπειδὴ δὲ τὸ μὴ εὑρεῖν φυγῆς ἐστι τεκμήριον, ἐθεράπευσεν αὐτὸς εἰπὼν ὅτι καλῶς εὗρεν ἐπὶ τῆς Σαλαμῖνος. ἐπ᾽ Ἀρτεμισίῳ χωρίον τι τῆς Εὐβοίας, ἔνθα πρὸ τῆς Σαλαμῖνος ἐναυμάχησαν πρὸς τὰς πρόπλους τριήρεις τῶν βαρβάρων. Σαλαμῖνι ἐνταῦθα τὸ ναυτικὸν ὑπὸ Θεμιστοκλέους.

131,4 ὥσπερ τινὸς ἐν μύθῳ Γοργόνος ἀντὶ τοῦ ὥσπερ μυθευομένης Γοργόνος.

131,5 περὶ τῶν λοιπῶν ἀντὶ τοῦ περὶ τῆς βασιλείας. οὓς ἦγε. περὶ τοῦ σώματος ἑαυτοῦ. ἀήθης ὢν τούτου τοῦ δεδιέναι τὸ Ἑλληνικόν. τοῦ φοβεῖσθαι.

131,6 τῷ φοβεῖν τοὺς ἄλλους. ὅπερ δὲ καὶ πρὶν ἅπτεσθαι τῶν λόγων τούτων προειρήκειν ἐν τῷ ἄρχεσθαι λέγειν περὶ τῶν ἐν Μαραθῶνι. ὅτε τῶν Περσικῶν ἤρχετο· ἔφη γὰρ ἐκεῖ· τότ' ἐνίκησεν ἡ πόλις ἅμφω τὼ γένη κάλλιον εὐχῆς. τῶν λόγων τούτων τῶν τοῦ Ξέρξου.

131,8 τὸ μὲν τὸ βαρβαρικόν. ἁπάντων ὧν ἤλπισε. οὐκ ἐγγὺς τῆς πόλεως.

131,10 φανεῖται γὰρ πανταχῆ τὰ ἀκόλουθα τῆς συντάξεως· φανεῖται πάντα κατειργασμένη· καὶ ἑξῆς.

131,11 ὥστε μὴ πρώτη τῶν Ἑλληνίδων, μηδὲ μάλιστα αἰτία τῆς ἐλευθερίας μᾶλλον ἢ μόνη δικαίως ἂν ἀκοῦσαι τὸ πρῶτον ἔχει δεύτερον, καὶ τὸ μάλιστα συγκριτικόν ἐστιν, ὡς καὶ ἄλλου πολεμήσαντος. θέλει οὖν εἰπεῖν ὅτι οὔτε μάλιστα τῆς ἐλευθερίας αἰτία γέγονεν, ἀλλὰ δῆλον ὅτι μόνη.

131,12 πρῶτον μὲν γὰρ ἐκεῖνο ἐντεῦθεν κατασκευάζει, πῶς μόνη τὸν πόλεμον κατειργάσατο, λέγουσα· παρέσχε τὸν καλῶς βουλευσάμενον, δηλῶν Θεμιστοκλέα. τοῦτο γὰρ ἐγκώμιον, ὅταν τὰ τοῦ ἑνὸς κατορθώματα ὡς πάσης εἶναί τις εἴπῃ τῆς πόλεως.

131,13 τοῖς τοσοῦτον λειπομένοις τῶν ἀντιπάλων.

131,14 ἀντίρροπον ἀντάξιον τούτων πάντων. ἐναντίον, ἢ ἀντάξιον.

131,15 ὡς ἀληθῶς Ἑλληνικὸν Ἑλλήνων γὰρ τοῦτο, καὶ οὐ βαρβάρων. ἴδιον γὰρ Ἑλλήνων τὸ φρόνιμον, βαρβάρων δὲ τὸ ἀνόητον. ἴδιον γὰρ Ἑλλήνων ἡ βουλὴ, τῶν βαρβάρων δὲ ἡ ἀβουλία. χρῆναι ἀτίμως συμπατηθῆναι τοὺς Ἕλληνας. καθάπερ τὰ μικρὸν τῆς γῆς ὑπερέχοντα εἰώθαμεν τὰ μικρὰ τῆς γῆς ἐπαναστήματα πατεῖν τοῖς ποσὶν, ἐπὶ τῷ ἐξισωθῆναι. τὰ γὰρ τῆς γῆς ἐπαναστήματα εἰώθαμεν τοῖς ποσὶν ὠθεῖν, ἐπὶ τῷ ἐξισωθῆναι τὸ ὅλον.

131,16 μὴ γὰρ ὅτι οὐ μόνον.

131,17 οὐκ ἂν ἦν τὸ ἐπίδηλον τῆς προσθήκης.

131,18 ταύτῃ ἐπὶ βουλῆς δηλονότι. τῇ βουλῇ. οὕτως. κατ᾽ αὐτὸ ψηφιζομένων ἀντὶ τοῦ κατὰ τοῦτο ψηφισαμένων, σοφῶν δὲ λέγει φρονίμων· ἴσως δὲ εἰς Πλάτωνα αἰνίττεται, καὶ ὅτι ἐκεῖνος διαβάλλει τοὺς περὶ Θεμιστοκλέα ὡς δειλοὺς, ἐπειδὴ τὸ πεζομαχεῖν ἀφέντες πρὸς τὸ ναυμαχεῖν ἐτράπησαν. ψηφιζομένων, ἢ θεμένων, καὶ σοφῶν, καὶ πολλῶν εἰκότως μετὰ τὸ ψηφιζομένων εἶπε τὸ ἢ θεμένων. ἡ γὰρ θέσις, ἤγουν ἡ συγκατάθεσις, χωρίς τινος ἐξετάσεως γίνεται. πρὸς μὲν οὖν τὸ σοφῶν εἶπε τὸ ψηφιζομένων· ψηφίζονται γὰρ οἱ σοφοί· πρὸς δὲ τὸ πολλῶν τὸ θεμένων· οἱ γὰρ πολλοὶ μόνον συγκατατίθενται. οὐκ ἔστιν ἀντειπεῖν, ὡς οὐκ—ἃ σώζειν ἔμελλεν ὁ γὰρ τὸν ἐκ τοῦ Πυθίου χρησμὸν γνοὺς, ὡς δεῖ νοῦς ποιήσεσθαι, οὐχ ἕτερος ἦν ἢ ὁ Θεμιστοκλῆς.

131,19 τὸν βουλευσάμενον τὸν Θεμιστοκλέα. περὶ αὐτῶν τῶν σοφῶν, ἢ τῶν Ἀθηναίων.

132,1 ὃ δὲ τούτου τ᾽ ἐξήρτηται δεύτερον τοῦτο κατόρθωμα εὐβουλίας δείκνυσι. τὰ δὲ ἄλλα μάταια. τοῦτο δὲ ὁ Πλάτων εἰς ἀνανδρίαν τῆς πόλεως διέβαλε καὶ Θεμιστοκλέους, λέγων ὅτι καταλιπὼν τὴν πόλιν εἰς τὴν θάλατταν αὐτοὺς μετήγαγεν. ὁ οὖν Ἀριστείδης ἐγκώμιον αὐτῷ τίθησι καὶ τοῦ Θεμιστοκλέους καὶ τῶν Ἀθηναίων. ἤγουν τῆς βουλῆς ἀκόλουθόν ἐστι. καθ᾽ αὐτὸ διαρκῆ τὴν ἐπίδειξιν ἔχει αὐτὸ γὰρ ἑαυτῷ πρὸς θαυμασμὸν ἐξαρκεῖ. ἤγουν αὐτὸ ἑαυτὸ ἀρκετῶς ἐπέδειξεν, ὅτι τοῦτο ἔδει γενέσθαι· διὰ γὰρ τοῦ ναυτικοῦ ἡ τῶν βαρβάρων ἧττα γέγονεν ἐν Σαλαμῖνι ὑπὸ Θεμιστοκλέους.

132,2 οὐδεὶς γὰρ οὕτω σκαιός ἐστιν, οὐδὲ τἀναντία τοῖς φανεροῖς φρονῶν οὐκ ἔστι τὸ αὐτό. σκαιὸς γὰρ ὁ πάντα ἀγνοῶν καὶ ἀμαθὴς, ἐναντία δὲ τοῖς οὖσι φρονῶν ὁ ἐπιστάμενος μὲν, κακουργῶν δὲ παρὰ τὴν ἀλήθειαν.

132,3 τῆς γνώμης τῆς βουλῆς. τῆς βουλῆς ἣν ἔδει ποιήσασθαι.

132,4 οἱ μὲν γὰρ εἰς Πύλας ἐξελθόντες χιλίους ἑαυτῶν ἔπεμψαν Λακεδαιμόνιοι ἐν ταῖς Πύλαις, — αἱ δέ εἰσι τόπος οὕτω καλούμενος — κωλῦσαι τὸ Ξέρξου πεζὸν ἐν τῇ παρόδῳ· μέλλοντος δὲ ἤδη τούτου καταλαβεῖν, μάντις τις ἐξ αὐτῶν εἶπε τούτοις ὡς, εἰ μενοῦμεν, τεθνηξόμεθα, εἰ δὲ φευξούμεθα, σώσομεν ἑαυτούς. τούτων οἱ μὲν τριακόσιοι παραμείναντες

ἠγωνίσαντο μέχρι θανάτου· οἱ δὲ φεύγειν ἐπιχειρήσαντες ἑπτακόσιοι ὑπὸ Θετταλῶν προδοθέντες, ἰόντος κατὰ πόδας Ξέρξου ἀτίμως ἐφθάρησαν. ἐπειδὴ βουλῆς ἔδει, οὐδὲν ἄλλο ἔδει βουλεύσασθαι ἢ εἰς τὰς ναῦς ἐμβῆναι. λέγει οὖν ἀντὶ τοῦ εἰς τὰς ναῦς ἐμβῆναι τὸ ὃ ἀντὶ τοῦ βουλῆς ἔδει τὸ τούτου. οὐκ ἐνεγκόντες τοὺς Πέρσας. διπλῇ δυνάμει ἐλθόντος τοῦ Πέρσου, πεζῇ καὶ ναυτικῇ, ἐμερίσαντο τὸν πόλεμον Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι· καὶ οἱ μὲν Λακεδαιμόνιοι, ἅτε πεζομάχοι, χιλίους πέμψαντες, ἀπήντησαν εἰς Πύλας, κωλύειν θέλοντες αὐτὸν εἰσελθεῖν· τούτων οἱ μὲν ἑπτακόσιοι ἔφυγον, οἱ δὲ τριακόσιοι, οἱ καὶ Σπαρτιᾶται μείναντες ὑπὸ Θετταλῶν τινων προεδόθησαν. οὗτοι γοῦν ἐδίδαξαν τοὺς Πέρσας τὴν ὁδὸν, καὶ κατὰ νώτου ἐλθόντες ἔλαβον αὐτοὺς ἐν μέσῳ, καὶ κατεπάτησαν. λέγουσι δὲ ὅτι καὶ μάντις τῶν Λακεδαιμονίων εἶπεν ὅτι, ἐὰν μείνωμεν, τελευτῶμεν· καὶ ὅμως ᾐρήσαντο μὴ φυγεῖν, ἀλλὰ ἐνδόξως πεσεῖν. τάξαντες στήσαντες. ἐπὶ τὰς παρόδους τῶν πολεμίων. οἱ μὲν, ὥσπερ νεφέλην τοὺς ἑπτακοσίους λέγει. οἱ ἑπτακόσιοι.

132,5 τὴν ἐπίνοιαν τὴν πρόθεσιν· ἠβούλοντο γὰρ κωλῦσαι τῶν βαρβάρων τὴν εἴσοδον· ἐπαινεῖ δὲ αὐτῶν τὴν ἐπίνοιαν. τὴν περὶ τοῦ τὴν πάροδον κλεῖσαι βουλήν.

132,6 σώζειν ἑαυτοὺς χωρὶς ἕκαστοι ἦσαν γὰρ χίλιοι· καὶ οἱ μὲν ἔφυγον, οἱ δὲ τριακόσιοι ἔμειναν. οὕτως ἀνομοίως τὴν Μαραθῶνι μάχην ἐμιμήσαντο τὸ μὲν ἐμιμήσαντο εἶπε, διότι, ὥσπερ οἱ Ἀθηναῖοι πρὸς Μαραθῶνα ἀπήντησαν, οὕτω καὶ οὗτοι πρὸς Πύλας· τὸ δὲ ἀνομοίως, ἐπειδήπερ Ἀθηναῖοι μὲν μέχρι θανάτου ἀγωνισάμενοι νενικήκασιν, οὗτοι δὲ πρὸ τῆς μάχης φεύγειν ἤρξαντο. δείκνυσι λεληθότως καὶ πεζομάχους τοὺς Ἀθηναίους.

132,7 οἱ δὲ οἱ τριακόσιοι.

132,9 καταχωσθέντες οἱονεὶ ταφέντες. ἐνὶ τούτῳ κοσμήσαντες τὴν Ἑλλάδα, τῷ καλῶς ἀποθανεῖν ἐπίγραμμα εἰς τοὺς ἐν ταῖς Πύλαις ἀποθανόντας
Εἰ τὸ καλῶς θνήσκειν ἀρετῆς μέρος ἐστὶ μέγιστον,
ἐκ πάντων τοῦθ’ ἡμῖν ἀπένειμε τύχη·
Ἑλλάδι γὰρ σπεύδοντες ἐλευθερίην περιθεῖναι

κείμεθ᾽ ἀκηράτῳ χρώμενοι εὐλογίῃ.
ἕτεροι τοῦ αὐτοῦ·
Παῖδες Ἀθηναίων Περσῶν στρατὸν ἐξολέσαντες
ἤρκεσαν ἀργαλέην πατρίδι δουλοσύναν.

132,10 οἱ δ᾽ οἱ Πέρσαι. οἱ δ᾽, ὥσπερ χειμάρρους, ἐχώρουν διὰ πάντων εἰκότως χειμάρροις αὐτοὺς παρείκασεν· ὥσπερ γὰρ οὐχ ἕνα τόπον ὁ χείμαρρος τῇ ῥοῇ κατέχει, ἀλλ᾽ ἀσχέτως πανταχῆ λιμνάζει, οὕτω καὶ Πέρσαι πάντα τὸν τῆς Ἑλλάδος τόπον κατέσχον τῷ πλήθει. ῥεύμασι παραβάλλει τοὺς Πέρσας, τὸ πλῆθος δηλῶν. διὰ πάντων ἤδη δεχομένων Θηβαίων, Φωκέων, καὶ ἄλλων. τῶν Βοιωτῶν λέγει· πρὸ γὰρ τῆς Ἀττικῆς ἡ Βοιωτία. καίτοι τοῦτο δυοῖν ἐστι σημεῖον ἐπειδήπερ ἔφη ὡς οἱ εἰς Πύλας ἐλθόντες οἱ μὲν ἔφυγον, οἱ δὲ ἐναπολειφθέντες ἀπώλοντο, καὶ οὐκ ἐνίκησαν, ὥσπερ οἱ εἰς Μαραθῶνα Ἀθηναῖοι, καὶ πάλιν, ὡς πάντα τὸν ἐν γῇ τόπον κατέσχον οἱ βάρβαροι, πρὸς ἄμφω ταῦτα ἐπιφέρει τὸ καίτοι τοῦτο, δεικνὺς ὡς καὶ τὰ κατὰ γῆν ἁπάντων ἀμείνους ἦσαν Ἀθηναῖοι, ἐπειδήπερ Λακεδαιμόνιοι, οἳ μάλιστα δόξαν πάντων ἔχουσι κατὰ γῆν μάχεσθαι, οὐκ ἐξισώθησαν σφίσι, καὶ ὅτι ἀναγκαίως εἰς τὰς ναῦς ἔβησαν, ἐπειδήπερ ὁ κατὰ γῆν ἅπας τόπος πλήρης Περσῶν ἦν.

132,11 τοῦτο τὸ διὰ πάντων χωρεῖν. τὸ σχῆμα ἀγωνιστικόν.

132,12 οἷς ἐκεῖνοι πρότερον κατέπραξαν τὰ ἐπὶ τῆς Μαραθῶνος. καὶ τὰ πραττόμενα ἐκείνων. τοῦ τὰ ἐν τῇ θαλάττῃ μόνα τότε τοῖς Ἕλλησι λειφθῆναι πᾶσαν γὰρ τὴν γῆν Πέρσαι κατέλαβον.

132,13 τούτου σαφοῦς ὄντος ἀντὶ τοῦ ἀναμφιβόλου. τοῦ κρείττω τὴν πόλιν εἶναι τῶν ἄλλων κατὰ γῆν, καὶ τοῦ μόνην τὴν θάλατταν ὑπολειφθῆναι τοῖς Ἕλλησιν. σαφοῦς ὁμολογουμένου. διπλῆν ἀμφίβολον.

132,14 ἐν τούτοις ἐν τῇ κατὰ θάλατταν παρασκευῇ. τοῖς κατὰ θάλατταν.

132,16 πρός γε τὸν συλλεχθέντα τοῦ ναυτικοῦ ἀριθμὸν ἀντὶ τοῦ πρὸς σύγκρισιν τοῦ ἀριθμοῦ τοῦ ναυτικοῦ.

132,17 τὰς μὲν τῆς πόλεως ναῦς εἶχε γὰρ σξ′. τὰς δὲ κοινὰς ἁπάντων εἶχον γὰρ πάντες οἱ Ἕλληνες ρλ′.

132,18 ὥστ᾽ εἴ τις θεῶν ἤρετο τοὺς Ἕλληνας διὰ τοῦ εἰπεῖν, εἴ τις θεῶν, καὶ οὐκ ἀνθρώπων, πιστοῦται τὸν λόγον· οὐ γὰρ οἷόν τε θεῷ ἐρωτῶντι τὰ ψευδῆ ἀποκρίνεσθαι. καθ᾽ ὑπόθεσιν. πανταχοῦ δὲ τὸ σχῆμα ἀγωνιστικόν. ἐκ θεοῦ δὲ τὴν ἐρώτησιν εἶπεν, ἵνα πιστώσηται τὸν λόγον. πάσας τὰς πάντων Ἑλλήνων καὶ Ἀθηναίων ναῦς.

132,19 μηδ᾽ ἐξείη μηδὲ δυνατὸν εἴη· ἵνα δείξῃ ἀναγκαίαν τὴν αἵρεσιν.

132,20 οὐχ αἵρεσιν οὐ σκέψιν. ὑπὲρ σφῶν πάντων τῶν Ἑλλήνων.

133,2 οὐ γὰρ μέρος εἰς τὸ κοινὸν εἰσήνεγκαν ἦσαν γὰρ αἱ μὲν τῶν ἄλλων Ἑλλήνων ἑκατόν, αἱ δὲ τῆς πόλεως διακόσιαι. εἰς τὸ κοινὸν ὑπὲρ τοῦ κοινοῦ.

133,3 ἡ παρὰ πάντων συντέλεια εἰσφορά.

133,4 ἀλλὰ μὴν τήν γε εὐψυχίαν καὶ τόλμαν τοσαύτην εἰπὼν πρῶτον περὶ τῆς εὐβουλίας ἐσκιασμένως, εἶτα καὶ περὶ τῶν τριήρων πλατύτερον, βούλεται νῦν περὶ τῆς τῆς πόλεως ἀπολείψεως διεξελθεῖν. οὕτω δὲ καὶ Θουκυδίδης ἐν τῷ ἐπιταφίῳ ποιεῖ. σεμνύνων δὲ σοφιστικῶς τὴν ἀπόλειψιν εὐψυχίαν καὶ τόλμαν καλεῖ. τὸ δὲ ἀληθὲς διὰ τοῦτο τὴν πόλιν ἀνέλιπον, διὰ τὸ μὴ ἔχειν ἐν τῇ γῇ σωτηρίαν· καὶ γὰρ καὶ αὐτὸ τὸ εἰς τὴν θάλατταν ἐμβῆναι, οὐκ ἐλπίδα ἐντεῦθεν ἔχοντες ἀγαθὴν, ἀλλ᾽ ἀπορίᾳ πολλῇ συνεχόμενοι, ῥιψοκινδύνως εἰργάσαντο. πληρώσας τὴν εὐβουλίαν καὶ τὰς τριήρεις, μεταβαίνει ἐπὶ τὸ τρίτον, τὴν κατάλειψιν τῆς πόλεως. ὅπερ ἐστὶ τολμηρόν. καὶ Θουκυδίδης οὕτως ἐποίησε· βουλόμενος δεῖξαι τῶν Ἀθηναίων τὸ πᾶν κατόρθωμα, πρῶτον εἶπε τὴν εὐβουλίαν, εἶτα τὸ πλῆθος τῶν τριήρων, τρίτον τὴν ἀπόλειψιν τῆς πόλεως.

133,6 ὑπὲρ τοῦ μὴ τὴν τῶν ἄλλων ἁπάντων ἀνάστατον γενομένην ἐπιδεῖν ὅπερ ἐκ τῆς τύχης συνέβη, εἰς τὴν τῶν Ἀθηναίων ἀναφέρει προαίρεσιν.

133,7 οὐχ ὑπὸ πολεμίων τοῦτο παθόντες οὗτοι γὰρ τοῦτο ποιοῦσιν, οὓς ἂν πορθήσωσιν. τοῦτο παθόντες τὸ ἐκβληθῆναι καὶ φυγαδευθῆναι. οὐ κατὰ συμφορὰν ὑφ᾽ ἑτέρων ἀντὶ τοῦ ἡττηθέντες.

133,8 ἃ τοῖς ἄλλοις—ἀτυχημάτων, ταῦτ᾽ ἤγουν τὸν ἐξοικισμόν. ἀντὶ τοῦ ἐξέβαλον αὐτοὺς ἀπὸ τῆς πόλεως, ὅπως νικήσωσιν.

133,9 τὸ καθ᾽ αὑτοὺς ζητήσειεν ἄν τις, διὰ τί εἶπε τὸ καθ᾽ αὑτούς· δηλοῖ γὰρ ὅσον ἦκεν εἰς αὐτοὺς, τουτέστιν ἠθέλησαν μὲν λέγομεν, ὅτι καθ᾽ ἑαυτοὺς εἶπεν, ἀντὶ τοῦ μόνοι, ἄνευ τῶν ἄλλων Ἑλλήνων.

133,10 τὰς ἑστίας οἰκίας.

133,11 τὸ τῶν Ἀθηναίων ἀξίωμα τὸ φρόνημα.

133,12 ἀπέραντα πονεῖ ἀντὶ τοῦ ἀδύνατον πονεῖ. τοῖς ἐν Ἅιδου καταδίκοις προσόμοια κατάδικοι Ἅιδου εἰσὶ Τάνταλος, Σίσυφος, Τιτυὸς, Ἰξίων, καὶ αἱ Δαναοῦ θυγατέρες. αἱ μὲν γὰρ κόσκινον κατέχουσαι εἰς τετρυπημένον πίθον ἀντλοῦσι· Τάνταλος δὲ κολάζεται τῇ τοῦ ὕδατος φυγῇ καὶ τῷ ὑπὲρ κεφαλὴν λίθῳ· Ἰξίων δὲ τροχοῦ περιφορᾷ συνεχεῖ· Σίσυφος δὲ πρὸς κολωνὸν πέτρον ἀναγωγῇ καὶ ὀλίσθῳ· Τιτυὸς δὲ τῇ τῶν ἐγκάτων ὑπ᾽ ὄφεων τρώσει. πάντες οὖν οὗτοι ἀπέραντα κάμνουσιν. ὡς Τάνταλος, ἢ αἱ Δαναοῦ θυγατέρες ἐν Ἅιδου· ὁ μὲν ὑπεκφεῦγον ἔχων τὸ ὕδωρ, αἱ δὲ κοσκίνῳ φέρουσαι ὕδωρ τὸν τετρημένον οὐ δύνανται πίθον πληρῶσαι. αἰνίττεται δὲ, οἶμαι, Ταντάλου μὲν ὁ ὑπὲρ κεφαλῆς λίθος τὴν λήθην, ᾗ κατεκέκριτο φιλόσοφος φυσικὸς ὤν· ἐν ὅσῳ γάρ τοι τῶν δι᾽ ἐπιθυμίας θεωριῶν ἐπήρχετο τὴν διάνοιαν τοῦ φιλοσόφου, περὶ ἃ μάλιστα διψητικώτατον ἦν, ἡ λήθη τοῦτον ὑποτρέχουσα διαδιδράσκειν ἐποίει τὸ θηραθέν. τῶν δὲ Δαναΐδων ὁ τετρημένος πίθος, τὸ μήποτε ταύτας μετὰ τὸν φόνον τῶν φιλτάτων τὴν ἀναψύχουσαν ταύτας ἐκ τῆς ἀνδρῴας κηδεμονίας χάριν παρ᾽ ἄλλων τυγχάνειν, πᾶσι γενομένας ὑπόπτους διὰ τὸ ἄγος, καὶ μηδαμόθεν ταύτην πληρουμένην εὑρεῖν. ἐν Ἅιδου δὲ ταῦτα πάσχειν αὐτοὺς μυθολογεῖται ἢ διὰ τὸ τοῖς πολλοῖς ἀδήλους καὶ ἀφανεῖς εἶναι τὰς τιμωρίας, ἢ διὰ τὸ ξενίζον τῆς κατακρίσεως, ὡς οὐχ οἷόν τε ἐν ζῶσιν ὂν τοιοῦτον εἰς καταδίκην ἰδεῖν. ὁ δὲ νοῦς ὅτι, ὥσπερ ἐκείνας ἀδύνατόν ἐστι πληρῶσαι τὸν πίθον, οὕτω καὶ τὸν Ξέρξην λαβεῖν τὰς Ἀθήνας.

133,13 τίς προθυμία λαμπροτέρα ταύτης.

133,14 οἳ τῆς γῆς ἐξέστησαν πάλιν τὰ δοκοῦντα ὑπαίτια τῶν Ἀθηναίων πεποίηται ἐγκώμια.

133,16 τὴν δὲ τῶν ὄντων στέρησιν παραχώρησιν.

133,17 τοὺς ἔχοντας τὰ ἑαυτῶν τοὺς Ἕλληνας λέγει πάντας. πάλιν δὲ ἐκ τοῦ ἀποβάντος κατεσκεύασεν, ἐπειδὴ τῇ νίκῃ τοῦτο ἐπισυμβέβηκε.

133,18 πρὸ τῶν κινδύνων τε πρὸ τῆς μάχης· οὕτω γὰρ ἤρξατο τοῦ πολέμου.

133,19 καὶ οὕτως ἄλογος, —οὕτως εὔλογος τὸ ἄλογος ἀντὶ τοῦ παράδοξος εἶπε. μᾶλλον δὲ εὔλογος· τὸ γὰρ ἄλογον καὶ ἐπὶ τῆς ἀνοίας λέγεται. οὕτως ἄλογος παράδοξος, καὶ παρὰ λόγον. ἡ δὲ προθυμία. παρ᾽ αὐτὸν τὸν ἀγῶνα, καὶ κίνδυνον ἀντὶ τοῦ ἐν αὐτῷ τῷ πολέμῳ.

133,21 τὴν τροπὴν τὴν δίωξιν.

134,1 βούλομαι δὲ ἐπαναχωρήσας ἔτι μικρὰ πρὸ τῆς ναυμαχίας προειπεῖν περὶ τῆς ἐπιεικείας καὶ σοφίας τῶν Ἀθηναίων εἰπεῖν βούλεται, ὅτι τοσαύτην χορηγίαν νεῶν παρασχόμενοι, καὶ τοιοῦτοι ὄντες, ὑπεῖκον, τοῖς Λακεδαιμονίοις δόντες αὐτοὶ τότε τὴν τῶν νεῶν ἡγεμονίαν. τοῦτο δὲ δοκοῦν ἀσθενείας θαυμασίως οὗτος μεταχειρίζεται, καὶ δείκνυσιν ἐπαίνων πολλῶν ἄξιον. ἐνταῦθα ὁ Ἀριστείδης βούλεται εἰπεῖν περὶ τῆς ἐπιεικείας καὶ σοφίας τῶν Ἀθηναίων, ὅτι τοσαῦτα παρασχόμενοι εἰς τὸν πόλεμον ὑπεῖκον τοῖς Λακεδαιμονίοις. βούλεται δὲ, ὡς καὶ αὐτός φησι, περὶ τῆς ἡγεμονίας εἰπεῖν, ἐπειδὴ καὶ τῇ τάξει πρὸ τῆς μάχης τοῦτο πρῶτον ἐτύγχανε. θαυμασίως δὲ ὁ Ἀριστείδης, ὅπερ ἐδόκει τοῖς Ἀθηναίοις ἀσθενείας ὑπαίτιον, τὸ παραχωρῆσαι τῆς στρατηγίας Λακεδαιμονίοις, εἰς ἔπαινον μεταφέρει.

134,3 πάντας αὐτοὺς τοὺς ἐπαινοῦντας.

134,4 τἀληθὲς οὐκ αἰσχυνθεὶς ἐπειδὴ, ὡς εἴπομεν, αἰσχύνην ἔφερεν ἡ παραχώρησις τῆς ἡγεμονίας. Λακεδαιμόνιοι γὰρ ἡγοῦντο κατ᾽ ἐκεῖνον τὸν χρόνον. λέγει οὖν ὅτι μεῖζόν ἐστι τοῦτο τῆς πόλεως ἐγκώμιον, εἴ γε ἐκεῖνοι μὲν ἡγοῦντο, οὗτοι δὲ κατώρθουν.

134,5 αἰσχύνῃ τῆς πόλεως.

134,7 πάλαι τε δὴ τὰς Ἀθήνας οἰκοῦντες ἐπειδὴ τότε ἐν τῇ θαλάττῃ ἦσαν.

134,8 τῇ δ᾽ ἐπιεικείᾳ τῇ φιλανθρωπίᾳ· ὡς καὶ δι᾽ αὐτὴν παραχωρήσαντες τῆς στρατηγίας.

134,9 τὸ γὰρ τοσαύτην μὲν προθυμίαν—τοσαύτην δὲ εἰσφορὰν προθυμίαν μὲν λέγει τὴν κατάλειψιν τῆς πόλεως, εἰσφορὰς δὲ τὰς τριήρεις.

134,11 τῶν μὲν πραγμάτων εἰς τὴν θάλατταν καὶ τὰς ναῦς—ἀνακειμένων αὕτη γὰρ ἦν μόνη ἐλπίς. ἀνακειμένων τουτέστι τὰς ἐλπίδας ἐχόντων. τῶν δ᾽ ἄλλων τῶν Ἑλλήνων.

134,13 ὁρμούντων ἐλλιμενιζόντων. τροπικῶς εἶπεν, ὡς ἐπὶ λιμένος.

134,14 τοσοῦτον πρᾳότητος καὶ μεγαλοψυχίας προσθεῖναι ὧδε τὸ ὑπερβατὸν πρὸς τὸ εἰρημένον ἄνω· τὸ γὰρ τοσαύτην προθυμίαν παρεχομένους. ἑτέροις τοῖς Λακεδαιμονίοις.

134,15 τὴν ἐπὶ σχήματος ἡγεμονίαν οὐκ εἶπεν ἔργων, ἀλλὰ σχήματος, δηλῶν Ἀθηναίων τὸ μεγαλόψυχον. οἱ νωθρότατοι τὴν φύσιν ἀσθενέστατοι. οἱ δυσκίνητοι καὶ βραδεῖς καὶ ῥᾴθυμοι.

134,16 ὑπὲρ αὐτῶν τῶν νωθροτάτων. μηδὲν μήτε φθέγξασθαι ἤγουν βουλεύσασθαι. μήθ᾽ ὅλως φωνὴν ἔχουσιν ἐοικότας ὀφθῆναι τούτων ἕνεκα ἐπειδὴ εἶπε φωνὴν ἀφεῖναι, ὅπερ ἦν βλάσφημον, ἐπήνεγκε τὸ τούτων ἕνεκα· ὅπερ ἦν τῆς ἡγεμονίας· ἐνταῦθα δὲ διὰ μακροῦ ἡ ἀπόδοσις.

134,17 πᾶσαν ἤδη σοφίαν ἣν εἶπεν ἄνω ἐπιείκειαν καὶ πρᾳότητα, ἐνταῦθα σοφίαν καλεῖ, ὅ ἐστι σύνεσις· καὶ ἑρμηνεύει λέγων οὕτως· εἰ ἦσαν, φησὶ, φιλονεικήσαντες, ἀπώλετο ἂν τὰ πράγματα, νῦν δὲ ὑπὸ φιλοσοφίας ἡσύχασαν.

134,18 κατὰ ἔθνη κατὰ συστήματα, ἢ φυλάς. κατεχρήσατο γὰρ ἐπὶ μιᾶς πόλεως εἰρηκὼς ἔθνη. κατὰ πλήθη.

134,19 τὴν τοιαύτην ἀγνωμοσύνην τῶν Ἑλλήνων.

134,20 ποῖον ὄναρ χρηστὸν ἐκ τοῦ ποῖον ὄναρ χρηστὸν εἰπεῖν δείκνυσιν αὐτῶν τὴν παντελῆ ἀπορίαν, ἣν ἔμελλον σχεῖν, ἐπειδὴ καὶ δυστυχοῦντες

ἄνθρωποι ὄναρ ἔσθ᾽ ὅτε χρηστὸν βλέπουσιν. ἢ τίς τῶν εἴτε πλεόνων— τοῖς Ἕλλησιν ἔτι εἰς τὸ τίς ἀντὶ τοῦ ναῦς νόει. λέγει δὲ ὡς οὔτε πολλαὶ οὔτε ὀλίγαι νῆες ὤνησαν. εἰώθαμεν δὲ καὶ ἐν συνηθείᾳ λέγειν ὡς οὔτε πολλὰ οὔτε ὀλίγα. καθ᾽ ὑπερβατόν. ὁ νοῦς τοιοῦτος· ἢ τίς, φησὶν, ὑπῆρξεν ἂν εἰς τὸ δέον τοῖς Ἕλλησι, τῶν εἴτε πλείους, εἴτε ἥττους ναῦς παρασχομένων· ἐπειδὴ κατὰ μέρος οἱ ἄλλοι Ἕλληνες εἰσήνεγκαν τὰς τριήρεις.

135,1 προσδιατρίψωμεν παρελκύσωμεν.

135,2 τὸ ἦθος αὐτῶν τὴν ψυχικὴν αὐτῶν κατάστασιν. αὐτῶν τῶν Λακεδαιμονίων, ἢ τῶν Ἀθηναίων.

135,3 ἂν μὲν κρατηθῶσι τῇ ναυμαχίᾳ καταναυμαχηθῶσι.

135,7 ἱεροῖς αὐτοῖς τὸ αὐτοῖς ἱεροῖς πρὸς τὸ ἀφανισθέντας σύναπτε, οὐ πρὸς τὸ ἀπελθεῖν, ὡς οἴονταί τινες.

135,9 ἐκλέλειπται τὰ κοινὰ τῆς ἀνθρωπείας φύσεως ἡμῖν ὑπὲρ ὑμῶν πατρὶς, συγγενεῖς, τέκνα, πάντα χρήματα. τὸ χωρισθῆναι πατρίδος καὶ γυναικῶν καὶ παίδων. ἁπάντων χρημάτων, ἃ πᾶσιν ἀνθρώποις ἐστὶ τιμιώτατα εἴτε παρασκευῆς οὕτως ἔχειν, ὡς ἀβίωτον ὂν ἡττηθεῖσιν, ἡμεῖς τοῦτο διανενοήμεθα ἤγουν οὕτω παρεσκευάσμεθα πρὸς τὸ πολεμεῖν, ὡς ἀβίωτον ἡγεῖσθαι τὸν βίον, ἐὰν ἡττηθῶμεν. ἔστι δὲ ἡ γενικὴ τὸ παρασκευῆς πρὸς τὸ ἀπὸ τοῦ ὡς νοούμενον οὕτως.

135,10 μόνοις ἡμῖν ἀναγκαῖόν ἐστι τὸ νικᾶν οὐδὲν γὰρ ἔχομεν, δι᾽ ὃ φιλοψυχήσομεν.

135,11 εἴτε τι νίκης δεῖσθε τὸ δεῖ πρὸς τὸ δεῖσθε κατὰ συνεκδοχὴν ἀπὸ τοῦ τὴν συντέλειαν δεῖ σκοπεῖν λάμβανε. τοσοῦτον ἡμῖν προκέκοπται παρεσκεύασται, ᾠκοδόμηται, ἐνηργήθη. τοῖς γὰρ ἀποκτισαμένοις τὰ ὄντα ἀναγκαίως ἐστὶ τὸ νικᾶν, οὐδενὸς φιλοψυχῆσαι πείθοντος. ὅσον ἐδείξαμεν τὴν πατρίδα καταλιπόντες καὶ μόνης τῆς νίκης γενόμενοι. ἔστι δὲ τὸ προκέκοπται ἀντὶ τοῦ προκεχάρακται καὶ προγεγένηται· ἢ ἀντὶ τοῦ κατώρθωται νόει.

135,12 τοῦ παντὸς στόλου. οὗτοι δ᾽ οἱ Λακεδαιμόνιοι. οὗτοι δ᾽ εἰκοστὸν τοῦ παρ᾽ ἡμῶν δέκα ναῦς ἔδωκαν οἱ Λακεδαιμόνιοι. οἱ Λακεδαιμόνιοι ιγ′ εἶχον τριήρεις.

135,13 εἰ μὲν δέχεσθε ἐπὶ τούτοις καλόν ἐστι. τὸ σχῆμα ἀναπόδοτον· λείπεται γὰρ τὸ εὖ ἂν ἔχειν· ὡς καὶ παρ᾽ Ὁμήρῳ τὸ «Ἀλλ᾽ εἰ μὲν δώσουσι γέρας.» λείπει τὸ εὖ ἂν ἔχοι. καὶ παρὰ τῷ ποιητῇ «Ἀλλ᾽ εἰ μὲν
δώσουσι γέρας μεγάθυμοι Ἀχαιοὶ, ἄρσαντες κατὰ θυμόν·»
εὐθὺς γὰρ ἐπάγει «εἰ δέ κε μὴ δώσουσι». τὸ δὲ σχῆμα καλεῖται ἀναπόδοτον. ἐπὶ τούτοις οἷς εἴπομεν.

135,14 τὸν ἡγούμενον τὸν Θεμιστοκλῆν. τὸν τοῦ ναυτικοῦ τῶν Ἀθηναίων, Θεμιστοκλῆν.

135,15 ὃς μόνος καὶ τόπους—ὥσπερ μάντις, ἐξηγεῖτο διὰ τὸν χρησμόν. καὶ τόπους καὶ καιροὺς ἐν ποίῳ δεῖ τόπῳ καὶ πότε συμβαλεῖν τοῖς βαρβάροις. τὰ τῶν βαρβάρων ἀπόρρητα ἤγουν τὴν βουλήν.

135,16 τὰ μέλλοντα συμβήσεσθαι.

135,17 τῇ προκλήσει τῇ διαφορᾷ. πρόκλησίς ἐστιν, ὅταν τίς τινα προκαλῆται ἐπί τι. ἄλλως καὶ οὐχ ὡς ἡμεῖς λέγομεν. ἡμῖν δ᾽ ἕτερος δώσει δέον οὕτως εἰπεῖν ἡμῖν ἕτερος δώσει· ἡμῖν δὲ εἶπεν Ἀττικῷ ἔθει. καὶ γὰρ ἐν ταῖς ἀποδόσεσιν οὕτως εἰώθασιν οὗτοι ποιεῖν· ὡς ἔχει τὸ τοῦ Σοφοκλέους· εἰπὼν γὰρ ὥσπερ γὰρ ἵππος, ὡσαύτως δὲ σὺ εἶπον ἐν τῇ ἀποδόσει. ἕτερος Δαρεῖος. ὁ Ξέρξης. ἡμῖν δ᾽ ἕτερος δώσει τὴν ὑμετέραν ἡγεμονίαν ἄσμενος χαίρει γὰρ ἡμᾶς μεθ᾽ ἑαυτοὺς συμπαραλαβεῖν, καὶ δίδωσιν ἆθλα τούτου πρὸς πολλοῖς ἄλλοις χρήμασι καὶ τὴν τῶν Ἑλλήνων ἀρχήν.

135,18 πρὸς ταῦθ᾽ αἱρεῖσθε ὁπότερα βούλεσθε ἢ ἡγεμόνας ἡμᾶς ποιεῖσθε, ἢ οὔ.

135,19 τῷ δικαίῳ λόγους οὐχὶ συμβαίνοντας— εἶπον ἂν ἀντὶ τοῦ οὐ δίκαια ἔλεγον. ταῖς παρούσαις ἀνάγκαις οἵους ἐνεχώρει παριδεῖν δηλοῖ ὅτι καὶ ἡ παροῦσα ἀνάγκη μεγάλη ἦν, ὥστε μὴ παριδεῖν τοὺς λόγους αὐτῶν· ἐν γὰρ ταῖς μικραῖς ἀνάγκαις παρορῶμεν πολλάκις καὶ τὸ δίκαιον. ἀπὸ κοινοῦ δὲ τὸ ἐνεχώρει παριδεῖν.

135,20 εἰ τούτοις ἐχρῶντο ἀντὶ τοῦ εἰ ταῦτα ἔλεγον. μὴ γὰρ ὅτι λειπομένης μὲν σημείωσαι τὴν σύνταξιν· δέον γὰρ οὕτως εἰπεῖν· μὴ γὰρ ὅτι λειπομένης μὲν τῆς θαλάττης, αὐτοὺς δὲ ὄντας τοιούτους ἔδει καταστῆναι ἡγεμόνας τῶν ἄλλων. ὁ δὲ οὐχ οὕτω τὴν ἀπόδοσιν ἐποιήσατο, ἀλλὰ τὰς μὲν αἰτιατικὰς ταύτας ἀναποδότους εἴασεν εἰς τὸ φανερόν. ἔδωκε δὲ ἡμῖν ἐλλειπτικῶς ἐννοεῖν τὴν τούτων ἀπόδοσιν, ἐκ τοῦ ἔδει δ' ἐκ τῶν ὑπαρχόντων σκεψαμένους τοὺς ἡγησομένους καταστῆσαι ὁ νοῦς τοιοῦτος· οὐ λέγω, φησὶν, ὅτι οἱ Ἀθηναῖοι διὰ τόδε καὶ τόδε ὤφειλον τὴν ἡγεμονίαν ἔχειν, ἀλλ' εἰ καὶ κοινὰ μὲν ἅπαντα ὑπῆρχε, καὶ ἐξίσης τῶν ἀνδρῶν καὶ τῶν τριήρων ἡ εἰσφορὰ ἦν, καὶ μὴ τῶν μὲν κατὰ φύσιν, τῶν δὲ κατὰ τὸ πλῆθος λιπόντων, δέον δὲ ἦν σκοπῆσαι τίς ὤφειλε τῶν Ἑλλήνων ἡγήσασθαι, πῶς οὐκ ἂν ἡ Ἀθηναίων πόλις ἐξέλαμψε κἀνταῦθα. λειπομένης μὲν τῆς θαλάττης μόνης οὔτε γὰρ πόλιν, οὔτε οἰκίας εἶχον. κατείχοντο γὰρ τὰ ἐν τῇ γῇ πάντα.

136,2 ἀγωνιστὰς οἷον ἀθλητάς. πρᾶγμα δὲ λέγει τὴν σωτηρίαν. τοῦ πράγματος τῆς σωτηρίας, ἢ τοῦ πολέμου.

136,3 προβεβληκότας αὐτοὺς ὡς πρόβολον τὴν λέξιν τέθεικε. οὐχ ἡγεμόνων τάξιν μόνον, ἀλλὰ καὶ πατέρων, δέον ἐν τάξει ἡγεμόνων εἰπεῖν. ὁ δὲ πρὸς τὴν αἰτιατικὴν, τὸ ἑαυτοὺς, ἐπήγαγε καὶ τὸ τάξιν, οἷον προέβαλλον αὐτοὺς εἰς τάξιν οὐχ ἡγεμόνων μόνον, ἀλλὰ καὶ πατέρων. ἀλλὰ καὶ πατέρων ὅ ἐστι μεῖζον τοῦ ἡγεμόνος· ὁ γὰρ πατὴρ φιλοστοργότερος.

136,4 παρ' αὐτῶν ὧν ἐποίουν τῶν ἔργων λέγει.

136,5 οἱ δὲ ναύαρχοι ὁ τῶν Ἀθηναίων, Θεμιστοκλῆς, καὶ τῶν Λακεδαιμονίων, Εὐρυβιάδης. Θεμιστοκλῆς, καὶ Εὐρυβιάδης, ὁ Λακεδαιμονίων. Θεμιστοκλέα λέγει, καὶ Εὐρυβιάδην, τὸν τῶν Λακεδαιμονίων. λέγει δὲ τοὺς στρατηγούς. οὕτω καὶ Δημοσθένης καλεῖ τούτους.

136,6 ἔρανος ἐκλογή. ἔρανος δ' ἦν ἀντὶ τοῦ ἐξ ἴσου συνετέλουν. τοῦτο γὰρ λέγει ἔρανον. ἐκ τῶν ὑπαρχόντων Ἀθηναίοις καὶ Λακεδαιμονίοις πλεονεκτημάτων· λέγω τὴν ἐπιστήμην καὶ τὸ κινδυνεῦσαι ἐν τῷ προτέρῳ πολέμῳ· ὡς καὶ προϊὼν ἐρεῖ· ἅπερ ἦσαν Ἀθηναίοις μόνοις. ἐκ τῶν ὑπαρχόντων λέγει πλεονεκτημάτων.

136,7 πῶς οὐκ ἐκεῖνοι διὰ πάντων ὧδε ἡ ἀπόδοσις διὰ μακροῦ. διὰ πάντων ὧν εἶχον.

136,8 οὐ μόνον κατὰ τὴν ἐπιστήμην οὐδένες τῶν Ἑλλήνων ἐμπειρότεροι Ἀθηναίων ἦσαν τὰ ναυτικά, ὥσπερ γὰρ ἄλλο τι, καὶ τοῦτο Ἀθήνησι νενόμιστο, πρὶν ἄλλο τι τοὺς παῖδας μαθεῖν, πλεῖν διδάσκεσθαι, εἶτα καὶ ἄλλην ἥντινα δὴ τέχνην. ἀντὶ τοῦ διὰ τὴν ἐπιστήμην. ἐπιστήμην δὲ καλεῖ τὴν ναυτικὴν τέχνην· καὶ τοῦτο δὲ ἄλλο δικαίωμα προσβάλλεται. ἔσχατον ἀντὶ τοῦ κεφάλαιον. ἀκρότατον.

136,9 αὐτοῖς τοῖς Ἀθηναίοις, ἢ τοῖς ἄλλοις Ἕλλησιν.

136,10 ταῦτα ἤτοι τὴν τέχνην.

136,11 ἀλλ᾽ ἐκεῖνό γε δὴ ἐρωτηματικὸν, ἢ ἀποφαντικόν. δέον οὕτως εἰπεῖν· οὐ μόνον κατὰ τὴν ἐπιστήμην, ἀλλὰ καὶ τὸ κινδυνεῦσαι πρὸς τὸν πρότερον στόλον τῶν αὐτῶν τούτων βαρβάρων. ὁ δὲ πολλὰ διὰ μέσου θεὶς, καὶ ἐπειπὼν, ἀλλὰ καὶ τοῦτο μικρὸν ἐκείνοις τὸ δίκαιον, πρὸς τοῦτο ἐπιφέρει· ἀλλ᾽ ἐκεῖνό γε δὴ καὶ πρόδηλον· ὅπερ τῇ μὲν ἐννοίᾳ πρὸς τὸ οὐ μόνον ἀποδέδοται, τῷ δὲ σχηματισμῷ τοῦ λόγου πρὸς τὸ ἀλλὰ καὶ τοῦτο μικρὸν ἐκείνοις τὸ δίκαιον.

136,12 οὐκοῦν τοὺς πρὸς τὸν πρότερον στόλον αὐτὸς καὶ ἐρωτᾷ καὶ ἀποκρίνεται.

136,14 οἷς γὰρ τὰ παρόντα κοινὰ τὸ νόημα τοιοῦτόν ἐστι· τοῦ παρόντος πολέμου κοινοῦ ὄντος, αὐτοὶ δὲ τῶν ἰδίων πάντας ὑπερεβάλοντο, διὸ, φησὶ, δίκαιοι ἦσαν τὴν ἡγεμονίαν ἔχειν. ἀπὸ τοῦ ἐλάττονος δὲ τὸ ἐπιχείρημα. τὰ παρόντα κοινὰ ἤγουν ὁ παρὼν πόλεμος. πρὸς τοὺς μετέχοντας Ἕλληνας. τοῖς ἰδίοις ἐνίκων ἅπαντας ἤγουν τῷ μόνοι νικῆσαι τὸν πρότερον πόλεμον. τοσούτῳ γε ἐλάττω τῆς προσηκούσης.

136,15 ἐκομίζοντ᾽ ἂν εἰ ἡγεμόνες κατέστησαν. ὅσῳ πάντας μὲν ἠλευθέρωσαν εἰ γὰρ μὴ ἐν Μαραθῶνι τότε τοὺς Πέρσας ἐνίκησαν, πάντες ἂν ἐδούλευον Πέρσαις Ἕλληνες. τῶν παρόντων δὲ ἤτοι τοῦ πρὸς τὸν Ξέρξην πολέμου. τῶν παρόντων δὲ καὶ ἐν ταῖς ἄλλαις γὰρ ἁπάσαις Ἑλληνικαῖς τριήρεσιν εἷς Ἀθηναῖος ναύαρχος διὰ τὴν ἐπιστήμην.

136,16 καὶ μὴν εἰ μὲν οὐδεὶς ἀντεῖπεν τὸ σχῆμα διλήμματον. τὸ δὲ ἀμφοῖν χεροῖν παροιμία ἐστὶν, ἐπὶ τῶν σφοδρῶς καὶ ἐκ περιουσίας πραττομένων λεγομένη. ὁ γὰρ ἀμφοτέραις χερσὶ πράττων μετ᾽ ἐπιτάσεως πράττει. ἔστι δὲ ὅμοιον καὶ τὸ ἐκ δυοῖν ποδοῖν. τὸ σχῆμα διλήμματον· ἐξ ἀμφοτέρων γὰρ τῶν προτάσεων συλλογίζεται. τὸ δὲ ἀμφοῖν χεροῖν ἐπιτατικῶς, ὡς τὸ ἐκ δυοῖν ποδοῖν. εἰ μὲν οὐδεὶς ἀντεῖπεν αὐτοῖς πρὸς ταῦτα δηλονότι ἐν τῷ πολέμῳ.

136,17 ἀπέστησαν παρεχώρησαν αὐτοῖς τῆς ἡγεμονίας. πῶς οὐκ ἄξιον τῆς μεγαλοψυχίας ἀγασθῆναι αὐτούς.

136,18 τὰ καθ᾽ ἑαυτοὺς ἤγουν τὸ ἁρμόζον αὐτούς· πατρίδα λέγει, καὶ παῖδας καὶ γυναῖκας. τὸν πρόσθεν ἤγουν τὸν χρησμόν. τουτέστι τὸν ἴδιον χρησμόν. λέγει δὲ τὴν ἡγεμονίαν διὰ τὴν δόξαν, ἢ διὰ τοὺς φόρους. πόλεμον. ἐν τῷ τότε ἤγουν ἐν τῷ κατὰ τὸν Ξέρξην. ὑπὲρ τὴν φύσιν φιλοτιμούμενοι ὑπὲρ τὴν φύσιν λέγει, ἐπειδὴ ἐκτὸς φύσεως ἀνθρωπίνης ἦν γυναῖκας καὶ παῖδας καὶ πατρίδα καταλιπεῖν. εἶπε γὰρ, ὅτε καὶ τὰ κοινὰ τῆς φύσεως ἐξέλιπον.

136,19 πλέον οὐδὲν ἐζήτησαν τῆς τοιαύτης φιλοτιμίας. προσέξειν φροντίζειν.

136,20 οἱ δὲ πρὸς ὀργὴν ἐγκατέλιπον τὰ πράγματα. πρὸς ὀργὴν ἀντὶ τοῦ ὑπὸ ὀργῆς. εἰ πρὸς ὀργὴν γὰρ ἐχώρησαν οἱ Ἀθηναῖοι, οὐδὲ ὄνομα ἂν ὑπελείπετο τῆς Ἑλλάδος τῆς καὶ παρὰ τοῖς βαρβάροις θαυμαζομένης. ἐγκατέλιπον ἀντὶ τοῦ προδεδώκεσαν καὶ εἴασαν μόνους· τοῦτο γὰρ δηλοῖ τὸ ἐγκατέλιπον. τί ἦν ἐν μέσῳ—τὸ θαυμάζεσθαι ἤγουν τί ἂν ἐπεπόνθει ἡ Ἑλλὰς ἡ καὶ ὑπὸ βαρβάρων θαυμαζομένη. τῆς οὐδ᾽ ἐν τοῖς βαρβάροις ἀπεστερημένης Ἑλλάδος τὸ θαυμάζεσθαι ἀντὶ τοῦ ὑπὸ βαρβάρων θαυμαζομένης.

136,21 οὐδ᾽ ὄνομα αὐτῆς. κατηνάγκαστο ἀντὶ τοῦ ἐξ ἀνάγκης ἐγένετο.

137,1 οὗ τοῦ ἔχειν.

137,2 προῖκα κατὰ χάριν, καὶ οὐ διὰ οἰκεῖον κέρδος. ταῦτα ἤγουν τὴν ἡγεμονίαν.

137,3 καταλειφθέντας προδοθέντας καὶ μονωθέντας. δίχα τὰς ψήφους ἐλθεῖν ὡς τοὺς μὲν συγχωρεῖν, τοὺς δὲ μή. μερισθῆναι πρὸς Ἀθηναίους καὶ Λακεδαιμονίους. ὡς τοὺς μὲν ἐθέλειν αὐτοὺς ἡγεμόνας, τοὺς δὲ Λακεδαιμονίους.

137,4 οὐκ ἔχοντας ὅπως χρὴ προσιέναι τοῖς βαρβάροις διὰ τὴν στάσιν. διὰ τὴν στάσιν, φησὶν, οὐ δυναμένους πολεμεῖν. ἀπὸ κοινοῦ γὰρ τὸ πολεμεῖν. ὅπως χρὴ πολεμεῖν.

137,5 τῇ δ' ἐκείνων προνοία συνέσει. ἐκείνων δὲ λέγει Ἀθηναίων. προγνόντες γὰρ Ἀθηναῖοι ἑτέροις παρεχώρησαν τῆς ἀρχῆς. καὶ μὴν εἰ μὲν ἐκίνει ταῦτα αὐτοὺς, ἃ νῦν διεξῆλθον ὅτι ἄξιοι ἦσαν τὴν ἡγεμονίαν λαβεῖν.

137,6 τοὺς λογισμοὺς τοὺς περὶ τούτου. ἐσχάτην βάσανον ἀντὶ τοῦ μεγίστην. βάσανον δὲ λέγει τὴν δοκιμασίαν, ἀπὸ μεταφορᾶς τοῦ λίθου τῆς βασάνου.

137,7 οὐδένων φαύλων ἀνθρώπων, οἱ δὲ οὐ τοῦτο ἐφρόντισαν. ἐλαττοῦσθαι βλάπτεσθαι.

137,8 πρὸς ἓν τοῦτο ἅπαντα συνετάξαντο ἅπαντα νοητέον, τὴν τῆς πατρίδος ἀπόλειψιν, τὸ τῶν νεῶν πλῆθος, τὸ ἐκστῆναι τῆς ἡγεμονίας, τἄλλα. τὸ δὲ συνετάξαντο ἀντὶ τοῦ εἰσέφερον· σύνταξις γὰρ ἡ εἰσφορά. τὴν τῆς πατρίδος καὶ γυναικῶν καὶ παίδων ἀπόλειψιν, καὶ τὴν τῆς ἡγεμονίας παραχώρησιν. τὸ δὲ συνετάξαντο, ἀντὶ τοῦ συνήγαγον. συνετάξαντο ἀντὶ τοῦ ἔταξαν ἑαυτούς. ὅπως καὶ τοὺς παρόντας, καὶ τοὺς ἀπόντας, τοὺς μὲν ἑκόντας, τοὺς δ' ἄκοντας, ἐξαιρήσωνται Θηβαῖοι ἑκόντες ὑπεῖξαν τότε τῷ βασιλεῖ, Θετταλοὶ δὲ ἄκοντες. λέγει δὲ τὸ παρόντας καὶ δι' ἀμφοτέρους, τὸ δὲ ἀπόντας, διὰ τοὺς ἄλλους Ἕλληνας, ἵν' ᾖ καὶ τὸ μὲν ἑκόντας, καὶ διὰ τοὺς κατ' ἀνάγκην ὑπείξαντας αὐτῷ, καὶ διὰ τοὺς ἄλλους Ἕλληνας. τὸ δὲ ἄκοντας διὰ τοὺς κατὰ βούλησιν αὐτῷ προσχωρήσαντας. ἢ τὸ παρόντας καὶ ἀπόντας νοητέον, διὰ τοὺς ἄλλους εὑρισκομένους τότε τῶν Ἑλλήνων ἐν τῇ παρατάξει, καὶ μή· ὧν οἱ μὲν παρατυχόντες ἑκόντες τὴν σωτηρίαν παρ' Ἀθηναίων εὕροντο, διὰ τὸ τοῖς κινδύνοις παρεῖναι· οἱ δὲ οὐ παρατυχόντες ἐσώθησαν ἄκοντες διὰ τὸ μὴ παρατυχεῖν.

137,9 τοὺς μὲν ἑκόντας, τοὺς δ᾽ ἄκοντας τῶν γὰρ Ἑλλήνων οἱ μὲν ὑπεῖξαν τῷ βασιλεῖ, ὡς Θηβαῖοι, οἱ δὲ ἄκοντες, ὡς Θετταλοί· ἢ ἑκόντας μὲν, τοὺς παρόντας, ἄκοντας δὲ, τοὺς μηδίσαντας. ἐξαιρήσωνται τῆς τοῦ Πέρσου δυναστείας.

137,10 πάντα γε ἤγουν τὰ αὐτῶν καὶ τῶν Ἑλλήνων. εἰ καθαρῶς εἰ ἀκριβῶς καὶ κατὰ ἀλήθειαν. εἰ ὀρθῶς λόγῳ ἔκρινον. οὐδεὶς ἂν Ἑλλήνων τότ᾽ ἦν ἐν Σαλαμῖνι Ἀθηναίοις γε ἑπόμενοι συνήνεσαν, ὧν ἂν ἀπόντων οὐδὲ τῶν ἄλλων οὐδεὶς ἐκεῖσε παρῆν. εἰ μὴ γὰρ Ἀθηναῖοι ταῖς ναυσὶ πρὸς ταύτην ἐχώρησαν πρῶτοι, οὐδένες ἂν τῶν Ἑλλήνων ἐτόλμησαν. ἐν Σαλαμῖνι ἀντὶ τοῦ ἐν Ἑλλάδι.

137,11 τοῦτο καὶ οὐδὲν ἕτερον. τὸ καταστῆναι εἰς κατάστασιν ἐλθεῖν.

137,12 καὶ διὰ τοῦτο οὐ μόνον τὸ μεῖζον πάλιν εἶπε τῆς ἡγεμονίας.

137,13 ἁπάσης ἰδίας ἀσφαλείας διὰ τὴν πόλιν. πλεονεξίας διὰ τὴν ἀρχήν.

137,14 μεγάλην ἡγεμονίαν κατεργάσασθαι ἑαυτοῖς. κατεργάσασθαι ἀντὶ τοῦ κατορθῶσαι καὶ ἀνύσαι.

137,15 ὥσπερ οἱ τοὺς παῖδας προδιδάσκοντες καὶ γὰρ τὰ παιδία εἰώθαμεν φιλοφρονεῖσθαι, καὶ προτρέπεσθαι αὐτοὺς τῇ τιμῇ μᾶλλον πρὸς μάθησιν ἢ ἐπιπλήξει. καὶ γὰρ ὀπώραις τισὶν ἐξ ἀρχῆς τούτους προτρέπομεν εἰς τὸ μάθημα.

137,16 εἰς τὸ πρόσθεν εἰς αὔξησιν καὶ τιμήν. ἤγουν εἰς τὸ προστάτας τῶν Ἑλλήνων εἶναι.

137,17 παρακλήσεως εἵνεκα προτροπῆς. τοῦ τὰ πραττόμενα ὑπὸ σφῶν μιμεῖσθαι μιμητὰς καθιστᾶν αὐτοὺς ἐν τοῖς ψηφίσμασι. ταῦτα δὲ ἐποίουν καὶ τοῖς ψηφίσμασιν οὐ γὰρ μόνον λόγῳ παρεχώρησαν, ἀλλὰ καὶ ἐγγράφως, ψήφισμα ποιήσαντες. οὐ γὰρ μόνον παρεχώρησαν τῆς ἀρχῆς, ἀλλὰ καὶ διὰ ψηφίσματος ἐβεβαίωσαν.

137,19 οἱ μὲν οἱ Λακεδαιμόνιοι. οἱ δ᾽ οἱ Ἀθηναῖοι.

137,20 τὸ σχῆμα τὸ ἀξίωμα.

138,1 Ἀθηναίων ἑνὶ τῷ Θεμιστοκλεῖ. ὁ μὲν Λακεδαιμονίων ναύαρχος ὁ Εὐρυβιάδης.

138,2 τῶν ἀφ᾽ ἑκάστων ἀρχόντων ἦρχεν ἐθνῶν Ἑλληνικῶν. ὁ δὲ τῶν Ἀθηναίων ἄρχοντος ἀρχόντων ἀντὶ τοῦ ἐνδοξοτέρων. ἡγεμόνων γὰρ, φησὶν, ἡγεμόνες ἐτύγχανον. ἄρχοντος δὲ, τοῦ Εὐρυβιάδου αὐτοῦ. κατὰ κοινοῦ δὲ τὸ ἦρχεν.

138,3 τὰ ἀριστεῖα τῶν ναυμαχιῶν ἀπέδοσαν τῇ πόλει τὰ ἐξαίρετα τῶν λαφύρων· λέγω δὴ τὸν δίφρον τὸν ἀργυρόποδα, καὶ τὸν Μαρδονίου ἀκινάκην. τὰ ἀριστεῖα λέγει τὰ ἐξαίρετα τῶν λαφύρων. μέμνηται Δημοσθένης τὸν δίφρον τὸν ἀργυρόποδα, καὶ τὸν ἀκινάκην τὸν Μαρδονίου. τινὲς δὲ λέγουσιν ὅτι νῦν πρὸς χάριν τῶν Ἀθηναίων λέγει· ὁ γὰρ Ἡρόδοτος λέγει, τὴν τῆς ναυμαχίας ἀπενέγκασθαι δόξαν τοὺς Αἰγινήτας. μαρτυρίαν παρόντων ὡς ἀληθῶς καὶ ἑωρακότων παρέσχοντο οἱ μαρτυροῦντες ἐκεῖνο, ὃ παρόντες ἑωράκασιν, ἀξιοπιστότεροί εἰσιν.

138,4 ἑωρακότων καλῶς τὸ ἑωρακότων· ἔστι γὰρ καὶ ἀκοῆς μαρτυρία, ἥτις καλεῖται ἐκμαρτυρία. παρέσχοντο διὰ τῆς τῶν ἀριστείων δόσεως.

138,6 ἀνὴρ Ἀθηναίων εἷς ὁ Θεμιστοκλῆς. ἦγουν ὁ Θεμιστοκλῆς.

138,7 ἐν τῷ συγχωρῆσαι τὴν ἡγεμονίαν. ὃ δὲ ἀληθινῆς ἡγεμονίας ἦν ἀληθεῖς γὰρ ἡγεμόνες εἰσὶν οἱ τῶν ὑποτεταγμένων σωτῆρες.

138,8 παρὰ πάντων ἐκείνοις ἀνετέθη προαναφωνεῖ· οὔπω γὰρ εἶχε πάντα. πρὸς τὰ λοιπὰ τοῦ πολέμου ἦγουν πρὸς τὴν τοῦ πεζοῦ μάχην.

138,9 προεστήσαντο προστάτην ἐποιήσαντο. πάντες γὰρ οἱ σύλλογοι, καὶ πᾶσαι αἱ σύνοδοι πρὸς Ἀθηναίους καὶ παρ᾽ Ἀθηναίων ἐκ τούτων ἐγίγνοντο τὸ πρὸς Ἀθηναίους λέγει, ἐπειδὴ πρὸς τὴν τοῦ βαρβάρου μάχην πάντες οἱ ἐκεῖ ὄντες Ἕλληνες συνελέγοντο πρὸς Ἀθηναίους, κοινολογοῦντες αὐτοῖς περὶ ὧν δεῖ ποιῆσαι· τὸ δὲ παρ᾽ Ἀθηναίων, ἐπειδὴ ἐν ταῖς Ἑλληνικαῖς συνόδοις παρ᾽ Ἀθηναίων ἐφοίτων ἄνδρες μετ᾽ ἀξιώσεως, ἵνα παρατυχόντες ὡς τῶν πραγμάτων ἐπιστήμονες ἄκροι τὰ δέοντα συμβουλεύσωσιν. σύλλογος κυρίως, ὅταν εἰς πόλιν συνάγωνταί τινες ἀπὸ μιᾶς μὲν τῆς πόλεως· σύνοδος δὲ, ὅταν ἐκ πολλῶν πόλεων εἰς μίαν

συνάγωνται· πρὸς Ἀθηναίους δέ ἐστι τῷ ἐν τῇ πόλει τῶν Ἀθηναίων ἔρχεσθαι συμβουλευομένους· παρ᾽ Ἀθηναίους δὲ, ὅτι, κἂν μὴ ὦσιν ἐν τῇ Ἀττικῇ, ἀλλ᾽ οὖν παρ᾽ ἀνδράσιν Ἀττικῶς συμβουλεύονται, περὶ οὓς θελήσουσι. τοῦτο δὲ ἡγεμονίας σημεῖον.

138,10 ἐκ τούτων τοῦ πρὸς τὴν πόλιν προστήσασθαι. τῶν Ἑλλήνων. κατέστη κοινὸν βουλευτήριον ἡ πόλις τεκμήριον ἐκ τούτου, εἶναι αὐτοὺς ἡγεμόνας· παρὰ γὰρ τοῖς προύχουσι γίνονται αἱ ἐκκλησίαι. ἐπλήρωσε δὲ τὸ μέρος τὸ περὶ παραχωρήσεως τῆς ἡγεμονίας. ὁμολογεῖ δὲ καὶ αὐτὸς τῆς μνήμης τὸ περίεργον. διὸ θεραπεύει λέγων παρήνεγκε περαιτέρω, ὅ ἐστι παρέσυρε. οὐκ εἶπε δὲ ἔξω τοῦ προκειμένου παρήνεγκεν, ἵνα μὴ δόξῃ περιττὸν εἰρηκέναι τι, ἀλλὰ περαιτέρω.

138,12 περὶ τὰς ἀποδείξεις τὰς περὶ τῆς ἐπιεικείας.

138,13 περαιτέρω τοῦ δέοντος. ἐπ᾽ αὐτὰς πάλιν τὰς πράξεις ἐπὶ τὰς ναυμαχίας.

138,14 μηδεὶς δὲ ἡμᾶς ἡγείσθω πέρα ἐπειδὴ βούλεται πάλιν ἀναλαβεῖν τὰ περὶ τοῦ πολέμου, ἀπολογησάμενος ἱκανῶς περὶ τῆς ἀποχωρήσεως, ἵνα μή τις μέμψηται αὐτῷ τῆς πολυλογίας, ὅτι πολλὰ πρόσθεν διεξιὼν περὶ τοῦ πολέμου καὶ τῆς τοῦ Ξέρξου κατασκευῆς, πάλιν τούτων ἅψασθαι βούλεται, φησὶν ὡς ἀναγκαίως ἐκεῖνά τε εἴπομεν καὶ ταῦτα λεχθήσεται. μηδ᾽ ἐπ᾽ ἐξειργασμένοις ἀναλαμβάνειν τοῦτο εἶπεν, ἵνα μή τις εἴπῃ, καὶ διὰ τί, ἃ εἶπες, πάλιν ἐρεῖς. θεραπεύει δὲ πάλιν· ἐπειδὴ ἐδόκει περιττὸν εἶναι τὸ μνησθῆναι τῆς παραχωρήσεως, μέμφονται δέ τινες αὐτῷ ὡς ταῦτα λέγοντι· καὶ τῶν Μηδικῶν γὰρ πανταχοῦ μέμνηται καὶ τῶν Ἡρακλειδῶν· διότι οὖν ἀντέπιπτεν αὐτῷ· τί οὖν εἰ τὰ εἰρημένα πάλιν λέγεις; τὸ γὰρ ἐπ᾽ ἐξειργασμένοις τοῦτο σημαίνει. σκοπείτω οὖν τις, φησὶ, τὴν αἰτίαν, δι᾽ ἣν εἴρηται, ὡς οὐκ ἀργῶς, ἀλλ᾽ ἀναγκαίως.

138,15 σκοπείσθω τὴν χρείαν διὰ τούτου δείκνυσιν ὅτι οὐκ ἀργῶς, ἀλλ᾽ ἀναγκαίως ἐμνήσθη τῆς παραχωρήσεως τῆς ἡγεμονίας. τὴν ἑκάστου τοῦ λόγου πρόφασιν ἥτις ἦν δεῖξαι, ὁποία ἦν ἀκριβῶς ἡ τοῦ Ξέρξου παρασκευή.

138,16 ποῖ φέρει ἀντὶ τοῦ ὅπου ἁρμόζει. δηλοῖ δὲ πραότητα τῶν Ἀθηναίων, ἀλλ᾽ οὐκ ἀσθένειαν. ποῖ φέρει εἷς ἕκαστος λόγος. τὰ λεγόμενα περὶ τοῦ πολέμου.

138,17 τῇ μὲν ἀνάγκῃ ἐφάμιλλα πάντα ὁμοίως γὰρ ἦσαν ἀναγκαῖα πάντα λεχθῆναι. ὥστε μηδὲν εἶναι παραλιπεῖν ἀτιμάσαντα τί οὖν, εἰ μικρὰ τυγχάνει τὰ εἰρημένα. ἀνάγκῃ, φησὶν, εἶπεν, ἵνα μὴ τῇ σιωπῇ ἀτιμάσωμεν.

138,18 τῇ τάξει δ᾽ ἑτέρως οὐκ ἐγχωροῦντα συμβῆναι ἀλλ᾽ ὥσπερ εἴρηται. τὸ δὲ ἀεὶ παρενεγκὸν εἰς μέσον φέρον ἡμᾶς λέγειν αὐτό. τῆς συνεχείας ὂν καὶ τῆς ἀκολουθίας εἴσεται ἀκόλουθον γὰρ ἦν εἰπεῖν πρὸ τῆς μάχης τὴν παραχώρησιν, ἐπειδὴ καὶ πρὸ τῆς μάχης ἐφιλονείκησαν περὶ ταύτης. ἀκόλουθον γὰρ ἦν κατὰ συνέχειαν τῷ προτέρῳ λεχθῆναι.

138,20 περὶ μηδενὸς ἀξίων πραγμάτων ταῦτα εἶπεν, ἵνα μὴ εἴπῃ τις, ἀλλὰ περὶ σμικρῶν. περὶ ὧν ἐκ γειτόνων ἐστὶ τὰ παραδείγματα ἢ καθόλου λέγει, ὡς οὐκ ὄντων ἀλλαχοῦ τοιούτων, ἢ εἰς Λακεδαιμονίους ἀποτείνεται· ἡ γὰρ πρὸς ἐκείνους ζηλοτυπία ἐστί. οὐ γὰρ ἔστιν ἑτέρας πράξεις εὑρεῖν ὁμοίας ταῖς ἐν Σαλαμῖνι καὶ Πλαταιᾶσι.

139,1 μικρολογεῖσθαι τουτέστι περὶ σμικρῶν λέγειν· κυρίως δὲ σμικρολόγος ἐστὶν ὁ φειδωλός.

139,2 πάντες δ᾽ ὥσπερ ὑπ᾽ ἐκπλήξεως θαυμάζουσι μᾶλλον ἢ δι᾽ ἀκριβείας ἕκαστα ἑωρακότες ὅταν ὑπὲρ τὴν φύσιν πράγματά τις θεάσηται, οἷα τὰ ἐν Σαλαμῖνι, ἐκπληττόμενος θαυμάζει μόνον, οὐχ οἷός τε ὢν περὶ τούτων λόγον ἀξίως ἀποδοῦναι. συνάπτει δὲ τὸ ὥσπερ πρὸς τὸ ἑωρακότες, οὕτω· πάντες δὲ ὥσπερ ἑωρακότες θαυμάζουσι μᾶλλον ὑπ᾽ ἐκπλήξεως, ἢ θαυμάζουσιν ἕκαστος δι᾽ ἀκρίβειαν· τουτέστιν· ὥσπερ ἂν εἰ εἶδον, καὶ μᾶλλον ἐκπληττόμενοι ἐθαύμαζον, ἢ κατὰ λεπτὸν λέγοντες. ὥσπερ ὑπ᾽ ἐκπλήξεως ἐπὶ γὰρ τῶν μεγάλων καταπλήττεταί τις, οὐκ ἐξισχύων τὸ πᾶν εἰπεῖν.

139,3 περὶ τούτων ἀγωνιζόμεθα ὑπερβατόν ἐστι πρὸς τὸ ἀγωνιζόμεθα· νῦν δὲ ὑπὲρ ὧν πάντες ἥττηνται. οὐδὲν ἐλάττω κατὰ τοὺς λόγους—ἐκεῖνοι τότε

τοῦτο τὸ νόημα καὶ πρόσθεν εἰρήκει, ὅτε ἔλεγεν· ἃς ἐγὼ δέδοικα μὴ τῷ λέγοντι κίνδυνον εἰπεῖν ἔχωσι μᾶλλον ἢ τῇ πόλει τῶν ἔργων, ὅτε ἐπραγματεύετο. τοῦτο εἶπε τὸ ἐνθύμημα καὶ ἀρχόμενος τῶν πράξεων ὄπισθεν.

139,4 μικροῦ δεῖν σχεδόν. ἐκεῖνοι οἱ ἐν Σαλαμῖνι.

139,6 καὶ γὰρ τοῦτο ἕτερον τρόπον ἄν τις εἶναι φαίη μικρολογουμένου ἐπειδὴ μικρολόγος ἐστὶν ὁ περὶ τὰ μικρὰ διατρίβων, νῦν ἕτερον τρόπον ἀντὶ φειδωλίας τῇ μικρολογίᾳ ἐχρήσατο, μικρολογουμένου εἶναι λέγων, τουτέστι φειδωλοῦ, τὸ περὶ μεγάλων ἐγχειρήσαντα λέγειν τὰ πλεῖστα τούτων παραλιπεῖν.

139,7 μικρολογουμένου φειδωλοῦ καὶ βασκαίνοντος.

139,8 συμβάντος γὰρ τοῦ περὶ τὰς Πύλας πάθους ἄρχεται τῆς ναυμαχίας. καλῶς δὲ εἶπε πάθους· οὐδὲ γὰρ ἡττήθησαν, ἀλλ᾽ ἐδυστύχησαν προδοθέντες ὑπὸ Θετταλῶν· καὶ Ἰσοκράτης φησὶν ἐν τῷ Πανηγυρικῷ «Οὐ γὰρ φεύγειν ἠξιώθησαν, ἀλλ᾽ οὐκ ἤρκεσαν αὐτῶν πρὸς τὴν μάχην τὰ σώματα.» τῆς Ἑλλάδος λαμπρῶς καὶ σφαλερῶς ἀνοιχθείσης τὸ σφαλερῶς λέγει ἢ διὰ τοὺς Πέρσας, ὡς ἐπὶ κακῷ σφῶν αὐτῶν ἠνοίχθη, ἢ διὰ τὸ φόβον παρέχειν, μὴ καὶ τὰ λοιπὰ τοῦ πολέμου οὕτω κατορθώσουσι Πέρσαι. τὸ δὲ δυοῖν μερίδοιν λέγει, ἢ ὅτι καὶ κατὰ τὴν γῆν καὶ κατὰ τὴν θάλατταν ἡ στρατιὰ ἦν, ἢ ὅτι τῶν μὲν ἑκόντων, τῶν δ᾽ ἀκόντων ἐκράτουν. ὡς πρὸς τὰς πύλας εἶπεν ἀνοιχθείσης· λαμπρῶς δὲ λέγει μεγάλως· σφαλερῶς δὲ, ἐπικινδύνως. μετὰ γὰρ τὸ μηκέτι κωλῦσαι τοῦτον τὴν εἴσοδον αὐτῶν εἰσῄεσαν οἱ βάρβαροι.

139,9 ὥσπερ πύλας ἀπὸ τῆς ὁμωνυμίας εἶπε τὸν τόπον· καλεῖται δὲ τὸ τοιοῦτον παρονομασία. δυοῖν μερίδοιν ἢ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ἢ ὅπερ ἐπιφέρει, ἀκόντων καὶ ἑκόντων.

139,10 οἱ μὲν τῶν Ἑλλήνων. οἱ μὲν γὰρ ἑκόντες, οἱ δ᾽ ἀνάγκῃ, προσεχώρουν οὐ τὰ γένη λέγει, Ἕλληνας καὶ βαρβάρους, ἀλλ᾽ ὅτι τῶν Ἑλλήνων οἱ μὲν ἑκόντες, οἱ δὲ ἄκοντες προσετέθησαν τῷ Πέρσῃ· ἑκόντες μὲν Θηβαῖοι καὶ Θετταλοὶ, ἄκοντες δὲ Φωκεῖς.

139,11 πάντων ἐφεξῆς, ὥσπερ πῦρ ἐπιὸν, ὑποφευγόντων αὐτῷ. οἱ δὲ τῆς Ἀθηνᾶς τινὲς μὴ νοοῦντες ἀσύντακτον εἶναι τὸν λόγον ὑπέλαβον. ἔστι δὲ ἐνταῦθα τὸ οἱ δὲ δεικτικὸν, ἵνα νοήσωμεν οὕτως· ἄλλων φευγόντων, μόνοι οὗτοι οἱ Ἀθηναῖοι τόδε διεπράξαντο. οἱ δὲ τῆς Ἀθηνᾶς ἐν πολλοῖς ἤδη πολλάκις δείξαντες ὡς ὀρθῶς εἰσιν ἐπώνυμοι τὸ ὀρθῶς εἰσιν ἐπώνυμοι λέγει, διὰ τὸ οὐ μόνον Ἀθηναίους κεκλῆσθαι ἐξ Ἀθηνᾶς, ἀλλὰ καὶ τὴν τῆς θεοῦ εὐτυχίαν περὶ τοὺς πολέμους μιμεῖσθαι· πολεμικὴ γὰρ ἡ θεός. ὡς πολεμικῆς θεοῦ προσηγορίαν εἰληφότες.

139,12 τῆς τοῦ θεοῦ χρῶνται διανοίας τὸ χρῶμαι ἐνταῦθα γενικῇ. συνειδότες ἔξωθεν οὖσαν τῇ πόλει τὴν φυλακὴν τῶν ἔξω τῆς πόλεως σωζομένων, καὶ ἡ πόλις σώζεται· ἀφανιζομένων δὲ ἐκείνων, ἀνάγκη καὶ τὴν πόλιν. ὁρῶντες οὖν τὰ περὶ τὴν Ἀττικὴν ὑπὸ Περσῶν κατασχεθησόμενα περιττὸν ἡγήσαντο φυλάττειν τὴν πόλιν. ἤγουν οὐκ ἀπὸ τῆς τῶν τειχῶν περιβολῆς, ἀλλ᾽ ἀπὸ τῆς τῶν ἐνοικούντων σπουδῆς καὶ τόλμης καὶ θείας βοηθείας. λεληθότως ἀπολογεῖται, ὑπὲρ οὗ κατέλειψαν τὴν πόλιν.

139,13 ψήφισμα ποιοῦνται Θεμιστοκλῆς μὲν ὁ γράψας· κοινὸν δ᾽ αὐτό φησι, πρὸς τὴν χρείαν ἁρμοττόμενος.

139,14 παῖδας δὲ καὶ γυναῖκας εἰς Τροιζῆνα παρακαταθέσθαι καλῶς εἶπε τὸ παρακαταθέσθαι· ὥσπερ γὰρ τὰς παρακαταθήκας τοῖς δυναμένοις φυλάσσειν διδόαμεν, οὕτω καὶ τοῦτο τὸ ὄρος, ὡς ἱκανὸν τοὺς τῶν Ἀθηναίων παῖδας καὶ γυναῖκας φυλάττειν, ἐζήτησαν Ἀθηναῖοι. τὸ δὲ προβαλέσθαι λέγει, ἀντὶ τοῦ ὥσπερ τινὰ πρόβολον καὶ φυλακὴν αἱρήσεσθαι τὴν θάλατταν. γυμνωθέντες τῶν περιττῶν τῶν γερόντων, γυναικῶν, καὶ παίδων, καὶ τῶν ἄλλων. τὸ δὲ γυμνωθέντες, ἀντὶ τοῦ μονωθέντες.

139,15 τῶν περιττῶν γυναικῶν, παίδων, καὶ τῶν ἄλλων κτημάτων. προβαλέσθαι τὴν θάλατταν καλῶς εἶπε προεβάλλοντο τὴν θάλασσαν, πρὸς τὸ γυμνωθέντες ἀποδούς.

139,17 διὰ τὴν πίστιν, ἣν ἐν τοῖς θεοῖς εἶχον τούτοις γὰρ θαρρήσαντες εἰς τὸν ἀγῶνα κατέστησαν, καὶ τὴν πόλιν ἐπέτρεψαν. ὅτι ἐπίστευσαν τῇ Ἀθηνᾷ. ἐξηγεῖται δὲ τὰ εἰρημένα. ὡς ὑπὸ τούτων σωθεῖεν.

139,18 ἀπεζευγμένοι χωριζόμενοι· διὸ καὶ καρτερίας εἶπεν. φέροντι τῷ θυμῷ καλῶς εἶπε φέροντι τῷ θυμῷ, δεικνὺς ὡς ἑκόντες καὶ προθύμως τοῦτο ἐποίουν, οὐχ ὑπ᾽ ἀνάγκης. μεγαλοψυχία δέ ἐστιν οὐ μόνον ἡ δαψιλὴς εὐεργεσία, ἀλλὰ καὶ ἡ γενναιότης, ὡς κἀνταῦθα. φέροντι τῷ θυμῷ ἀντὶ τοῦ μὴ λυπούμενοι. τουτέστι προαιρέσει, καὶ οὐκ ἀναγκαζόμενοι.

139,19 ταῦτα ὑπὲρ τῆς τῶν ἄλλων σωτηρίας ὑπέμενον σοφίζεται ἀπὸ τῶν ἀποβάντων· ὑπὲρ γὰρ αὐτῶν ἐποίησαν. μεγαλοψυχίᾳ γε κυρίως μὲν ἐπὶ χρημάτων ἡ λέξις λέγεται, ἐνταῦθα δὲ τὴν τῆς πόλεως καταφρόνησιν οὕτως ἐκάλεσεν.

139,20 ἀλλὰ μὴν τό τε γνῶναι λείπει ἡ εἰς πρόθεσις. ἀλλὰ μὴν εἰς τό γε γνῶναι· καὶ ἀπὸ κοινοῦ δεῖ λαβεῖν, τίς ἀνθρώπων ἐκείνοις ὅμοιος. τὸ δὲ γνῶναι, ἀντὶ τοῦ καταγνῶναι· ὁ δὲ νοῦς τοιοῦτός ἐστιν· ἀλλὰ μὴν τίς ὅμοιος ἐκείνοις εἰς σοφίαν, καὶ τῷ δόγματι τῆς εὐπειθείας τῆς τιμωμένης ὑπὸ τῶν ἀρχόντων. βούλεται γὰρ τοὺς ὑπηκόους τῷ εὐπειθεῖς αὐτοὺς εἶναι, νενικηκότας ἅπαντας. τοῦτο δέ φησιν, ἐπειδὴ εὐπειθεῖς ἦσαν τοῖς ἄρχουσι. τό τε γνῶναι τὸ μόνον μέλλον διασώζειν ἅπαντα τὰ πράγματα τὸ ναῦς ποιῆσαι, ὃ Θεμιστοκλῆς μόνος συνῆκεν ἀπὸ τοῦ χρησμοῦ.

139,21 τὴν σοφίαν ἀντὶ τοῦ τὴν φρόνησιν. ἀπὸ κοινοῦ δὲ τὸ παρέσχοντο. δεῖ δὲ καὶ τοῦτο ἀπὸ κοινοῦ λαβεῖν, τὸ ψήφισμα ἐποίησαν, καὶ πάλιν ἀπὸ κοινοῦ τὸ παρασχόμενοι σύμβολα· ἵν᾽ ᾖ ὁ νοῦς οὕτως· καὶ ψήφισμα ποιοῦνται, παρασχόμενοι σύμβολα τῆς αὐτῶν σοφίας, δι᾽ ἧς σοφίας καὶ τῆς τιμωμένης ἐν τοῖς λόγοις θαυμαζομένης εὐπειθείας τῷ δόγματι τοὺς πάντας ἐνίκησαν. λέγει δὲ τῷ δόγματι τῷ ἑαυτῶν. ποῖον δὲ δόγμα, ὅπερ ἔδοξεν αὐτοῖς, λέγει δὲ τὸ εὐπειθῆσαι τοῖς ἄρχουσι, καὶ ἀνασχέσθαι ἡγεμονεύεσθαι. ἢ οὕτως· ἔτι δὲ καὶ φρονήσεως σύμβολα παρέσχοντο, διὰ τὸ γνῶναι τὸ μέλλον σώζειν τὰ πράγματα· τί δ᾽ ἔστι τοῦτο; ἡ σοφία. τὴν αὐτὴν γὰρ φρόνησιν καλεῖ καὶ σοφίαν· δι᾽ ἣν σοφίαν καὶ τῷ δόγματι τῆς εὐπειθείας τῆς γινομένης τοῖς ἄρχουσι καὶ τῆς τιμωμένης ἐν τοῖς λόγοις πάντας ἀνθρώπους ἐνίκησαν.

140,1 τῆς ὑπὸ πάντων ἐν τοῖς λόγοις τιμωμένης τοῖς ἄρχουσιν εὐπειθείας πάντες γὰρ ἐν τοῖς αὐτῶν λόγοις ὡς δεῖ τοῖς ἄρχουσι πείθεσθαι λέγουσιν.

τιμωμένης ἀντὶ τοῦ ἐπαινουμένης. ἔστι δὲ ἀντίπτωσις. ἀντὶ ὀρθῆς γὰρ εἶπε γενικήν. τοὺς πώποτ᾽ τοὺς πάντας. τοὺς πώποτ᾽ ἐνίκησαν τῷ δόγματι τοσαῦτα γὰρ ὡς ἔφαμεν ἔχοντες πλεονεκτήματα, εἰς τὴν τοῦ στόλου ἡγεμονίαν Λακεδαιμονίοις παρεχώρησαν· ὅπερ ἐποίησαν φρόνησιν ἐπιεικείᾳ μίξαντες.

140,2 ἀπεσκευασμένοι ἀποζευχθέντες παίδων καὶ γυναικῶν· ἢ τὰ περιττὰ ἀποθέμενοι· ἢ θαλάττιοι γενόμενοι. πρὸς τῇ Σαλαμῖνι κατεῖχον τοὺς Ἕλληνας εἰκότως εἶπε τὸ κατεῖχον, δεικνὺς ὅτι ἄκοντας τοὺς Ἕλληνας ἠνάγκαζον μένειν ἐκεῖσε. ἰδόντες γὰρ τὸ τῶν βαρβαρικῶν νεῶν πλῆθος φυγεῖν ἐπεχείρουν. τὸ δὲ ἀμφοτέρᾳ τῇ χειρὶ ἐπεξηγεῖται διὰ τοῦ ἄγων τοὺς μέχρι τῆς Ἀττικῆς Ἕλληνας ὁμοῦ καὶ βαρβάρους. καὶ γὰρ ἐν τῇ παρόδῳ οἱ μὲν τῶν Ἑλλήνων ἑκόντες, οἱ δ᾽ ἄκοντες προσεχώρησαν αὐτῷ. ἢ τοῦτο λέγει, διὰ τὴν κατὰ γῆν καὶ κατὰ θάλατταν στρατιάν. κατεῖχον τοὺς Ἕλληνας ἑωρακότες γὰρ τὸ πλῆθος τῶν νεῶν φεύγειν ἐσκόπησαν.

140,3 ὁ δὲ ὁ Ξέρξης. ἀμφοτέρᾳ τῇ χειρὶ παρῆν πάλιν ἢ κατὰ γῆν καὶ κατὰ θάλατταν, ἢ καὶ ἑκόντας καὶ ἄκοντας.

140,5 καμφθήσεσθαι εἶξαι.

140,6 ἐνταῦθα δὴ ἀντὶ τοῦ τῷ καιρῷ· οὐ γὰρ τὸν τόπον λέγει.

140,7 τις Κυρσίλος, εἷς ὢν τῆς βουλῆς. τὸν Κῦρον βασιλέα λέγει· οὗ καὶ Δημοσθένης μέμνηται.

140,8 αὐτοὶ μὲν αὐτὸν, αἱ δὲ γυναῖκες τὴν γυναῖκα ἐπελθοῦσαι διέφθειραν ἐκ χειρὸς ἀκούσασαι γὰρ ὡς τὸν αὐτῆς ἄνδρα ἐν Σαλαμῖνι οἱ αὐτῶν ἄνδρες κατέλευσαν, ἐν Τροιζῆνι καὶ αὗται ταύτην κατέλευσαν. ἐν γὰρ Τροιζῆνι οὖσαι, καὶ ἀκούσασαι τοῦ Κυρσίλου τὸν θάνατον, τοὺς ἑαυτῶν ἐμιμήσαντο ἄνδρας εἰς τὴν ἐκείνου γυναῖκα.

140,9 παράκλησις κίνησις.

140,11 τῆς ἐπ᾽ Ἀρτεμισίῳ τόλμης χωρίον τῆς Εὐβοίας, ἔνθα πρὸ τῆς Σαλαμῖνος ἐναυμάχησαν πρὸς τὰς πρόπλους τριήρεις τῶν βαρβάρων.

140,12 νικῶντος ἤδη τοῦ δρασμοῦ, διεκώλυσαν αὐτοὶ, καὶ κατηνάγκασαν, ὥσπερ παῖδας, ἄκοντας ὑποστῆναι ἰδόντες οἱ Ἕλληνες τὸ τῶν νεῶν πλῆθος, ἐκπλαγέντες εἰς δρασμὸν ἐχώρησαν. Θεμιστοκλῆς οὖν λογισάμενος ὡς, εἰ τοῦτο γένοιτο, οἰχήσεται ἡ Ἑλλὰς, καὶ ἄκοντας ἠνάγκασεν ὑποστῆναι τὴν μάχην. πέμψας γὰρ ὡς τὸν ναύαρχον τῶν Περσῶν Δίκυνον, τὸν τῶν υἱέων αὐτοῦ παιδαγωγὸν, ἔφησεν ὡς, ἐπεὶ φεύγειν θέλουσιν, ἐπίθες σφίσι, καὶ νίκα. καὶ ὃς πεισθεὶς ἐπετέθη. τοῦτο ἑωρακότες Ἕλληνες οὐκ ἔτι φεύγειν ἠδύναντο, ἀλλ᾽ ἠναγκάσθησαν μένειν· ὅθεν ἐνίκησαν. ἠνάγκασαν αὐτοὺς πολεμεῖν τῷ κωλῦσαι καὶ φυγεῖν. ὁ γὰρ Θεμιστοκλῆς ὅτε ἑώρα αὐτοὺς φεύγειν ἐθέλοντας, ὡς δῆθεν προδότας, δηλοῖ τῷ Πέρσῃ διὰ Οἰκίννου τοῦ παιδαγωγοῦ τῶν παίδων αὐτοῦ· ἐπειδὴ φυγεῖν θέλουσιν, ἐπίθου καὶ νικᾷς. ὁ δὲ πεισθεὶς ἐπετέθη. τοῦτο ἑωρακότες οἱ Ἕλληνες οὐκ ἔτι φυγεῖν ἠδυνήθησαν, ἀλλ᾽ ἀνάγκῃ ἔμειναν. τοῦ δρασμοῦ τῆς φυγῆς.

140,13 ὑποστῆναι ὑπ᾽ αὐτοῦ στῆναι καὶ ὑπεῖξαι. τῇ θεραπείᾳ τῇ τοῦ ἀγῶνος. τῇ τῆς μάχης. πραγματευσάμενοι μηχανησάμενοι.

140,14 ἐνδεχομένους ἀντὶ τοῦ δεχομένους· δῆλον δὲ διὰ τὸν φόβον. ὡς ἀπέραντον ἦν ἤγουν ἀνενέργητον τὸ διὰ λόγων πείθειν. τὴν τούτων φωνὴν ἐξικνεῖσθαι πρὸς αὐτούς.

140,15 συσκευάσαντες κακουργήσαντες καὶ μηχανησάμενοι. αἰνίττεται δὲ εἰς τὴν Θεμιστοκλέους μηχανήν. μηχανησάμενοι αὐτοῖς. τὴν ναυμαχίαν τὴν Περσῶν.

140,16 περικαλυψάντων περικυκλωσάντων.

140,17 ἅπαντα τὸν ἔξω τόπον τῆς τῶν Ἑλληνικῶν νεῶν στάσεως. τὸν ἔξω λέγει, τὸν καὶ πλατύν. τῆς Σαλαμῖνος, καὶ τὸν ἐν τῇ γῇ. παρὰ τοσοῦτον ἐκτὸς τόσου.

140,18 ἐξειργόμενοι τὸ ἐξειργόμενοι καὶ τὸ ὁρῶντες καὶ διὰ τοὺς Ἀθηναίους καὶ διὰ τοὺς Ἕλληνας τοὺς ἄλλους νόει. τὸ δὲ παρεῖσαν διὰ τοὺς Ἀθηναίους μόνους.

140,19 οὐδὲν παρεῖσαν ἑτέροις παρεχώρησαν τῆς μάχης. ἑτέροις τοῖς Λακεδαιμονίοις.

140,20 πρῶτοι μὲν αὐτοὶ κατῆρξαν τῆς ναυμαχίας, ὥσπερ ἐν Εὐβοίᾳ πάντων ἀποκνούντων Σώφιλός τις, ἀνὴρ Ἀθηναῖος, πρῶτος ἐν τῇ σφετέρᾳ τριήρει κατά τινος τριήρους Περσικῆς ἐχώρησεν. ἐμπαγέντος οὖν ταύτῃ τοῦ τῆς τριήρους αὐτοῦ ἐμβόλου, καὶ θραῦσιν ποιήσαντος, ἰδόντες οἱ ἄλλοι ταὐτὰ ποιεῖν ἤρξαντο, καὶ οὕτως ἐνίκησαν. τὸ δὲ πάντων ἀποκνούντων καὶ πρὸς τὴν Σαλαμῖνα νόει, καὶ πρὸς τὴν Εὔβοιαν. πρῶτον μὲν αὐτοὶ κατῆρξαν τῆς ναυμαχίας Σωκλῆς πρῶτος Ἀθηναῖος ἐνέβαλε Περσικῇ νηΐ, καὶ ἐνεπάγη ὁ ἔμβολος. ἐνταῦθα οὖν τῶν Περσῶν κινηθέντων, καὶ οἱ Ἀθηναῖοι ἀντελάβοντο. ἐν Εὐβοίᾳ ἐν τῷ Ἀρτεμισίῳ.

141,1 ὅσα μὲν στρατηγοῦ προνοίᾳ κακῶσαι τὸν βασιλέα ἔδει Ἴωνες, ἄποικοι Ἀθηναίων ὄντες, ὡς ἴσμεν, μετὰ Ξέρξου ἐστράτευσαν. Θεμιστοκλῆς οὖν προϊδὼν, ἔνθα ἔμελλον ὁρμήσεσθαι, ἔγραψεν ἐν ταῖς ναυλόχοις πέτραις ταυτί· μνήσθητε, ἄνδρες Ἴωνες, κατὰ πατέρων στρατεύοντες. ἐλθόντες οὖν Ἴωνες, καὶ ταῦτα ἀναγνόντες ἐβουλεύσαντο, ὡς ἐν τῇ τῆς μάχης συμβολῇ Ἀθηναίοις συμπρᾶξαι, καὶ μετ᾽ αὐτῶν τὸ ναυτικὸν καταπολεμῆσαι τοῦ Ξέρξου. περὶ τῶν Ἰώνων λέγει· ἄποικοι γὰρ ὄντες τῶν Ἀθηναίων μετὰ τοῦ Ξέρξου ἦλθον. ὁ δὲ Θεμιστοκλῆς προορώμενος, ἔνθα ἤμελλον προσορμίσασθαι ἐν ταῖς ναυλόχοις πέτραις ἔγραψεν· μνήσθητε, Ἴωνες, κατὰ πατέρων στρατεύοντες. καὶ τοῦτο ἀναγνόντες πρὸς Ἀθηναίους ἦλθον. τοὺς βασιλέως ἀκολούθους. λέγει δὲ τοὺς Ἴωνας.

141,4 τῶν ὑφ᾽ ἡλίῳ μάρτυρι πάντα γὰρ ὁρᾷ ὁ ἥλιος. ἀντὶ τοῦ ἡλίου μαρτυροῦντος· παρὰ τὸ Ὁμηρικὸν «᾽Ηέλιος, ὃς πάντ᾽ ἐφορᾷ καὶ πάντ᾽ ἐπακούει.» ἀπὸ κοινοῦ δὲ τὸ πᾶν ἐξειργάσαντο. τολμησάντων καὶ τελεσάντων.

141,5 ἐκείνοις τοῖς Φοίνιξι. τοὺς Φοίνικας λέγει· οὗτοι γὰρ ἦσαν οἱ ναυτικώτεροι τῶν βαρβάρων. τοῖς Φοίνιξιν· οὗτοι γὰρ ἦσαν ναυτικώτεροι τῶν Περσῶν.

141,6 ἐν παντοδαποῖς τῶν ἔργων εἴδεσι τουτέστι τροπαίοις πολλοῖς πολεμικοῖς· εἴδεσιν, ἀντὶ τοῦ τρόποις, τουτέστιν ἐμβολαῖς, ἀναστροφαῖς, διέκπλοις·

πολλὰ γὰρ εἴδη τῆς ναυμαχίας. ἐμβολαῖς, ἀναστροφαῖς, διέκπλοις.

141,7 παρασχόντες δὲ ἀπὸ κοινοῦ τὸ πᾶν ἐξειργάσαντο. τοῖς λοιποῖς Ἕλλησι. ὥστ᾽ ἐμοὶ μὲν παραπλησίως—παρόντες, μετέσχον τῆς νίκης μόνοι γὰρ ἦσαν οἱ Ἀθηναῖοι ἐν τῷ Μαραθῶνι. βούλεται οὖν εἰπεῖν ὅτι καὶ παρόντες ἴσοι ἦσαν τῶν ἀπόντων, ὥσπερ καὶ ἐν Μαραθῶνι.

141,10 τῶν δὲ γιγνομένων παρὰ τῆς πόλεως. τῶν λαφύρων. ἀπέλαυσαν ἀντὶ τοῦ οὐκ ἐπολέμησαν, ἀπέλαυσαν μόνον τῶν λαφύρων. τότε μὲν ἐν Μαραθῶνι. τότε μὲν ἡμέρᾳ μιᾷ τῆς μάχης ὑστέρησαν Λακεδαιμόνιοι διὰ τὴν πανσέληνον.

141,11 ἐκείνῃ δὲ τῇ ἡμέρᾳ καθ᾽ ἣν ἡ ἐν Σαλαμῖνι μάχη γέγονεν. αὐτῆς ὑστέρησαν τῆς τροπῆς τοῦ στρέψαι πρὸς νίκην. ἐν τῷ Μαραθῶνι, φησὶν, ἀπόντες ὑστέρησαν ταῖς συμβολαῖς. τοῦτο γάρ ἐστι τῆς τροπῆς. οἱ συντελεῖς δὲ οἱ συμπολεμοῦντες. ἀντὶ τοῦ ὑπερέβαλον· τοῦτο γὰρ μεῖζον τοῦ πρώτου τὸ παρόντας ὑστερεῖν. οἱ συντελεῖς οἱ συμπολεμοῦντες. οἱ τὴν συντέλειαν τῶν νεῶν ποιησάμενοι Ἕλληνες.

141,14 καὶ γὰρ ταύτην, ὥσπερ ἄλλο τι, κέρδος προσλαβόντες φαίνονται εἰκότως εἶπε τὸ ταύτην προσλαβόντες, δεικνὺς ὅτι οὐκ αὐτὴν ταύτην ἐποίησαν, ἀλλ᾽ ἐπειδὴ μετὰ τῆς πόλεως ἦσαν, ἡ δὲ πόλις τὴν νίκην εἰργάσατο, μετέσχον καὶ αὐτοὶ ταύτης σὺν τῇ ἐλευθερίᾳ καὶ τοῖς ἄθλοις, ἃ ἐκ τῆς ναυμαχίας ἐκτήσατο.

141,15 τῆς φιλοτιμίας ὅ ἐστι τῆς νίκης. λέγει δὲ ὅτι ἔδοξαν νικᾶν μὴ καμόντες. τῆς ἐκ τῆς νίκης. ναυαγίων συντετριμμένων. ναυαγίων ἐπέπληστο ἐπεπλήρωτο νεκρῶν βαρβαρικῶν, ἢ τῶν ἐκπιπτόντων σκευῶν τριηρικῶν.

146,16 οἱ πορθμοὶ πορθμοὺς καλεῖ τὰ μεταξὺ τῶν παρακειμένων τῇ Ἀττικῇ νήσων. συνεκέχυντο τῶν ναυαγίων. ὁ πόρος ἡ φορὰ τοῦ ῥεύματος. ἡ τῆς θαλάττης ὁρμὴ καὶ τῶν κυμάτων πρόοδος. πρὸς τὴν ἤπειρον ἐκεῖ γὰρ ἐκαθέζετο ἐπὶ θρόνου, θεωρῶν τὴν μάχην.

141,17 μάλα ἀπᾴδοντα τῆς ἐκείνου παροινίας καὶ τρυφῆς ἀπᾴδοντα λέγει ἀντὶ τοῦ ἀπαρέσκοντα. περινοίας δὲ λέγει τῆς περιττῆς ἐννοίας· περιττὰ γοῦν

ἐννόει, τὸ πᾶσαν αὐτοῖς ἐθέλειν ἐπιθεῖναι συμφοράν. τρυφῆς δὲ ἐπειδὴ ταῖς ἐλπίσιν ἐτρύφα νικᾶσθαι νομίσας Ἀθηναίους. παροινίας ὕβρεως καὶ ἀλαζονείας. ἄξιον δὲ καὶ τῆς ἐπιθήκης τῶν κακῶν τῶν γενομένων τοῖς βαρβάροις ἐπιμνησθῆναι νῦν βούλεται εἰπεῖν καὶ τὸ ἐν Ψυταλίᾳ ἔργον, ὃ καὶ ἐπιθήκην, ἤτοι προσθήκην, καλεῖ, ὡς ἔργου μὲν ὄντος τοῦ ἐν Σαλαμῖνι, τούτου δὲ παρέργου. ἐν γὰρ τῇ Ψυταλίᾳ ἀπέβησάν τινες τῶν Περσῶν, ἵνα, ὅσοι τῶν Ἑλλήνων τὴν ναυμαχίαν ἐκφεύγουσι, περιτυγχάνοντες αὐτοῖς διαφθείρωνται.

141,18 τῆς ἐπιθήκης τουτέστι προσθήκης. αὐτὸς δὲ ἐπιφέρει, τί ἐστιν ἡ προσθήκη. τῶν κακῶν τοῖς βαρβάροις λείπει τὸ γενομένων.

141,19 τὸ γὰρ δὴ πάρεργον τῶν ἔργων πάρεργον καλεῖ τὴν Ψυτταλίαν, ἔργον δὲ τὴν Σαλαμῖνα.

141,20 τὴν πρὸ τῆς Σαλαμῖνος νῆσον Ψυτταλίαν. τὴν Ψιτταλίαν. τὴν Ψυτταλίαν λέγει. ἐκεῖ γὰρ τινὲς τῶν Περσῶν ἀπέβησαν, ἵνα, ὅσοι τῶν Ἑλλήνων τὴν ναυμαχίαν ἐκφεύγουσι, περιτυγχάνοντες αὐτοῖς διαφθείρωνται. ἐνταῦθα Ἀριστείδης, ὁ Λυσιμάχου, συστρατηγὸς Θεμιστοκλέους, μετὰ τὴν νίκην τῆς ναυμαχίας ἀποβὰς μετὰ τῶν γερόντων τῶν Ἀθηναίων ἀνεῖλε τὸ Περσικόν.

142,1 ὅπως ἀκριβέστερον ἢ δικτύῳ συγκλείοιντο οἱ Ἕλληνες οὐδαμοῦ οὔσης ἀδείας διαφυγεῖν.

142,2 παρὰ τὸν νόμον τὸν Μηδικὸν, εἴ τις τῶν ἀνταίρειν νόμος ἦν Πέρσαις, εἴ τις ἀντῆρκε τῷ βασιλεῖ, τοῦτον φονεύειν· ὡς καὶ Ἰσοκράτης ἐν τῷ Εὐαγόρᾳ μαρτυρεῖ. νόμος γὰρ ἦν, μᾶλλον δὲ ἔθος Περσικὸν, κατακράτος φονεύειν τοὺς τολμῶντας ἀντιστῆναι τῷ βασιλεῖ. ὡς λέγει καὶ Ἰσοκράτης ἐν τῷ Εὐαγόρᾳ.

142,3 κατὰ οὖν τοὺς ἐκπίπτοντας ἀντὶ τοῦ κατὰ τῶν ἐκπιπτόντων. ἔστι γὰρ ἀντίπτωσις. κατὰ οὖν τοὺς ἐκπίπτοντας Ἕλληνας.

142,4 τὴν νῆσον τουτέστι τὴν Σαλαμῖνα· ὡς ὁμολογουμένης τῆς ἐν Σαλαμῖνι νίκης. τῶν πρώτων ἤγουν τῆς ἐν Σαλαμῖνι νίκης.

142,5 περιέστραπτο ἡ πεῖρα εἰς τὸ ἐναντίον περιέστη ἡ τόλμα. ἡ πεῖρα ἤγουν ἡ μεταχείρησις τῶν Περσῶν, καὶ τὸ τέχνασμα. ἀνὴρ Ἀθηναίων εἷς Ἀριστείδης ὁ δίκαιος. ὁ Ἀριστείδης.

142,6 τὸν κίνδυνον διὰ τοῦ εἰπεῖν κίνδυνον ἐμφαίνει ὅτι μεγίστης τόλμης ἦν καὶ τοῦτο τὸ ἔργον.

142,8 ἐπὶ τῆς ἠπείρου εἰς τὸ αὐγαλέον ὄρος ἀντικρὺ Σαλαμῖνος. ὥσπερ ἄλλον τινὰ ἀγῶνα ποιῶν γυμνικὸν, ἀλλ᾽ οὐ πολεμικόν. Ὀλύμπια, ἢ Πύθια, καὶ οὐ πόλεμον.

142,9 οἰόμενος τοῖς ἑαυτοῦ τὸν παρ᾽ αὐτοῦ φόβον ἀρκέσειν εἰς παροξυσμὸν μάχης.

142,10 τὸ ἔργον ὁ κάματος. τοῖς μὲν φεύγουσι. εἰ νικηθεῖεν. τοὺς δὲ τοὺς ἐφεστηκότας. εἰ νικήσαιεν.

142,11 ῥοθίῳ κύματι.

142,12 θαυματοποιὸν θαύματα ἐπιδεικνύμενος.

142,13 παλινῳδίαν ᾖδε παροιμία ἐστὶν ἐπὶ τοὺς τἀναντία ποιοῦντας τοῖς πρόσθεν· ἀπὸ Στησιχόρου τοῦ Ἰμεραίου, ποιήσαντος μὲν ψόγον εἰς τὴν Ἑλένην, καὶ διὰ τοῦτο τυφλωθέντος, μετὰ ταῦτα δὲ ἔπαινον ᾄσαντος, καὶ ἀπειληφότος τοὺς ὀφθαλμοὺς, ὡς Ἰσοκράτης φησὶν ἐν τῆς Ἑλένης ἐγκωμίῳ. παροιμία ἐπὶ τῶν τὰ ἐναντία ἑαυτοῖς ποιούντων· ἀπὸ Στησιχόρου τοῦ Ἰμεραίου. ᾖει τὴν αὐτὴν ὁδὸν, ἣν ἦλθε. οὐ μετὰ τοῦ αὐτοῦ σχήματος πρότερον γὰρ θρασὺς ἦν, τότε δὲ περίφοβος. οὐ μετὰ τοῦ αὐτοῦ ἀξιώματος· φυγὰς γὰρ ἐγένετο, ἀντὶ τοῦ βασιλέως. πρόσθεν μὲν γὰρ ἐχώρει σοβῶν καὶ μέγα πνέων, νῦν δὲ κατηφὴς καὶ φόβου ἔμπλεως.

142,14 τὴν σχεδίαν καταλαβεῖν τὸ τοῦ Ἑλλησπόντου ζεῦγμα· ἐφοβεῖτο γὰρ μὴ φθάσαντες οἱ Ἕλληνες αὐτὸ καταλύσωσι, καὶ τοῦτον φθείρωσιν. τὸ ζεῦγμα τοῦ Ἑλλησπόντου· ἵνα μὴ λυθῇ ὑπὸ τῶν Ἑλλήνων.

142,16 τῷ λοιπῷ μέρει τῆς οἰκουμένης τοῖς περὶ τὴν δύσιν λέγει. τίσι δὲ λέγω τοῖς πᾶσιν; τὸ σχῆμα ἔοικεν ἀνακεφαλαιώσει· ἀνακεφαλαιοῦται γὰρ δι᾽ ὅσων Ἀθηναῖοι νενικήκασι.

142,17 οἷς ὕστερον τοσοῦτον παρῆλθε τοὺς συστάντας ἐν Σαλαμῖνι. τοὺς συστάντας τοὺς συμπολεμήσαντας Ἕλληνας.

142,18 τοῖς στόλοις ἀμφοτέροις τῷ πρώτῳ, τῷ δευτέρῳ. τῷ Δαρείου καὶ Ξέρξου. τοῖς ἐν Πύλαις ἀτυχοῦσιν ἄνευ τῆς πόλεως ἀπορία, πῶς τῇ ἐν Πύλαις ἀτυχίᾳ φυλακτήριον ἡ πόλις τοῖς Ἕλλησι γέγονε. καὶ φαμὲν ὅτι τοῦτο λέγει διὰ τὸ Λακεδαιμονίους εἶναι τοὺς ἀτυχήσαντας, καὶ οὐκ Ἀθηναίους, ἢ ὕστερον νικήσειν ἔμελλον. εἰ γὰρ τότε ἠτύχουν, οὐκ ἂν ἃ ὕστερον κατώρθωσαν ἔπραξαν, κατακλασθέντες τῷ φόβῳ. οὐ γὰρ ἂν τοῦτο ἔπαθον, εἰ συμπαρῇ τούτοις ἡ πόλις. τοῖς ἐπ᾽ Ἀρτεμισίῳ νικῶσι τὰς τῶν βαρβάρων πρόπλους τριήρεις.

142,19 ταῖς τοῦ θεοῦ μαντείαις διπλοῖ ἦσαν οἱ χρησμοί· διδοίη Τριτογενίῃ ξύλινον τεῖχος εὐρύοπα Ζεύς. ὁ δὲ Ἑλλήνων ἀπώλειαν ἐθέσπιζε τὴν Ἀθηναίων μετὰ τῶν βαρβάρων παράταξιν. διτταὶ ἦσαν αἱ μαντεῖαι· αἱ μὲν διὰ τὸ ξύλινον τεῖχος, αἱ δὲ, ὅτι ἀπολοῦνται τέκνα γυναικῶν παρὰ Σαλαμῖνα. τῆς Ἀθηνᾶς εἶναι τὴν δωρεὰν τὸ ξύλινον τεῖχος.

143,1 ἐξ ὧν ἔμελλον πείσεσθαι τὸ ἐξ ὧν ἔμελλον πείσεσθαι λέγει διὰ τὴν ἀπώλειαν, ἣν ἔπαθον ἂν, εἰ Ἀθηναῖοι μετὰ τῶν βαρβάρων συνέστησαν. ὅτι οὐκ ἐγένοντο οἱ Ἀθηναῖοι μετὰ τῶν βαρβάρων. οἷς ἐποίησεν ἡ πόλις οἷς ἐνίκησεν.

143,2 οἷς οὐκ ἐποίησε ἐξ ὧν ἔπαθεν. λέγω τὸ μὴ συστῆναι μετὰ τῶν βαρβάρων. μόνη φέρεται τὴν τοῦ παντὸς κρίσιν ὅτι αὐτῆς μὴ παρούσης ἐν Πύλαις ἀπώλοντο· τὴν τοῦ παντὸς δὲ κρίσιν, τὸ τέλος τοῦ πολέμου. τῇ τοῦ στρατηγοῦ συντελείᾳ ὅτι τοιοῦτον στρατηγὸν εἰσέφερε, τὸν Θεμιστοκλῆν. ἤγουν τὸ τοιοῦτον εἰσενεγκεῖν στρατηγόν· λέγει δὲ τὸν Θεμιστοκλέα. τοῦ στρατηγοῦ Θεμιστοκλέους.

143,3 τῷ τοὺς τόπους εὑρεῖν ἢ πόρους γράφειν, ἤτοι τὰς μηχανὰς, δι᾽ ὧν καὶ ἄκοντας ἠνάγκασε μένειν τοὺς Ἕλληνας βουλομένους φεύγειν, ὡς ἔφημεν· ἢ τόπους, ἤτοι τὰς στάσεις τῶν τριήρων, εἰς ἃς στᾶσαι, καὶ ἔνθα παραγενόμεναι τὴν νίκην εἰργάσαντο. τοὺς τόπους τὸ στενόν.

143,4 τῷ τοὺς Ἕλληνας κατασχεῖν εἰς τὸ μὴ φυγεῖν· μετὰ γὰρ τὸ νικῆσαι ἐπ᾽ Ἀρτεμισίῳ δραπετεύειν ἠβούλοντο, καὶ διεκώλυσεν ὁ Θεμιστοκλῆς. ὑπὸ τῆς φυγῆς. τῷ πρώτην νικῆσαι καὶ τὴν μεγίστην τοῦ ναυτικοῦ μοῖραν ἤγουν τοὺς Φοίνικας.

143,5 τῷ πλεῖστον διαφθεῖραι μέρος τοῖς βαρβάροις. τοῖς ἀπ᾽ Ἐλευσῖνος φάσμασι Δίκαιος καὶ Δημάρατος, Ἀθηναῖοι ὄντες, καὶ πάλαι φυγάδες ἐκ τῆς πόλεως, ὄντες παρὰ Ξέρξῃ γενομένης τῆς συμπλοκῆς, καὶ κονιορτοῦ ἀρθέντος εἰς ἀέρα ἐξ Ἐλευσῖνος, ἔφησαν τῷ βασιλεῖ ὡς καθ᾽ ὧν ἂν ὁ κονιορτὸς πέσοι ἡττηθήσονται. πέπτωκε κατὰ Περσικῶν τριήρων, καὶ σκεδασθεὶς ἐν αὐταῖς εἰς φόβον ἐνῆκε τὸν βασιλέα ὧν ὕστερον ἔμελλον πείσεσθαι. ἐν δὲ τῇ τοῦ κονιορτοῦ ἄρσει, καὶ ὅσοι τῶν Ἀθηναίων ἦσαν μεμυημένοι, ἤκουσαν φωνῆς τινος ἐκ δαίμονός τινος, ἀφανῶς λεχθείσης, ὡς παρέσονται τῇ ναυμαχίᾳ Περσεφόνη καὶ Δημήτηρ. μελλούσης τῆς ναυμαχίας γίνεσθαι κονιορτὸς ἐγένετο ἀπὸ Ἐλευσῖνος. τοῦτον ἑωρακότες Δίκαιος καὶ Δημάρατος, φυγάδες ὄντες καὶ μένοντες παρὰ Ξέρξῃ, ἔφησαν τῷ βασιλεῖ, καθ᾽ ὧν ἂν ἔλθῃ ὁ κονιορτὸς οὗτος, πάντως ἐκεῖνοι ἡττῶνται. ἦλθε κατὰ Περσικῶν τριήρων, καὶ διεσκεδάσθη ἐν αὐταῖς. καὶ τεκμήριον τοῦ μέλλειν νικᾶσθαι τὸν βασιλέα γέγονε τοῦτο. ἦσαν δὲ καὶ ἀκούσαντες οἱ τῶν Ἀθηναίων μεμυημένοι ἀφανῶς καὶ ἀπροόπτως ἐκ δαίμονός τινος τὸ ἐπίφθεγμα τὸ λεγόμενον ἐν τοῖς Ἐλευσινίοις. καὶ ἐκ τούτου ἐστοχάσαντο Ἀθηναῖοι, ὡς βοηθούσῃ αὐτῇ Περσεφόνη καὶ Δημήτηρ. τοῖς ἀπ᾽ Ἐλευσῖνος δὲ φάσμασι, τοῖς παραδόξοις θεάμασι. σημαίνει δὲ τὴν συμμαχίαν Κόρης καὶ Δήμητρος. τοῖς ἐν Ψυτταλίᾳ περιττοῖς ἐπειδήπερ ἄνωθεν τὸ ἐν Ψυταλίᾳ ἔργον πάρεργον εἶπε πρὸς τὸ ἐν Σαλαμῖνι, νῦν πάλιν φησὶ περιττὸν, ὡς ἀρκοῦντος μόνου τοῦ ἐν Σαλαμῖνι. τῇ παρὰ τῶν ἐχθρῶν ψήφῳ. κρίσει. οἱ Πέρσαι ἐνόμιζον μὴ πρότερον κρατήσειν τῶν Ἑλλήνων, εἰ μὴ λάβοιεν πρώτους Ἀθηναίους.

143,6 οἱ μὲν γὰρ τὰ ἀριστεῖα ἔδοσαν τῇ πόλει οἱ τὰ μεγάλα πνέοντες Πέρσαι ἀνδρίας γέρα Ἀθηναίοις παρέσχοντο, ὑπ᾽ αὐτῶν ἐν τῷ πολέμῳ πεσόντες. ἔστι δὲ καὶ τῷ ταῦτα ἡγεῖσθαι ὅμοιον, ἀντὶ τοῦ καὶ ταῦτα νομίζειν Ἀθηναίοις ἔδοσαν, ἐφ᾽ ὧν ἦσαν πρότερον. ἦσαν δὲ ἐπὶ ταύτης τῆς

ὑπολήψεως, ὡς κρείττονες Περσῶν καὶ τῶν ἄλλων εἰσὶ τὰ εἰς πόλεμον. ἀντὶ τοῦ ἡγεμονίαν ἔχων. ἡττηθέντες γὰρ ἔδειξαν ἐν τῇ πόλει ὅτι Ἀθηναῖοι αὐτῶν τε καὶ τῶν ἄλλων ἀμείνους εἰσί.

143,8 τῇ πόλει δεδόσθαι τὰς ψήφους τοῦ προέχειν ἁπάντων.

143,9 τὰ μὲν αὐτοῦ βασιλέως οὕτως εἶχε ὅτι ἐκπληγεὶς ἔφυγε.

143,10 Μαρδόνιος δὲ ὑπελείπετο μὲν ἄρχεται λέγειν ἐντεῦθεν περὶ τῶν συμβάντων μεταξὺ τῆς ἐν Σαλαμῖνι ναυμαχίας καὶ τῆς Πλαταιᾶς μάχης. Μαρδόνιος δὲ λείπει δυστυχῶν. αὐτὸς γὰρ στρατηγὸς ἦν τοῦ πεζοῦ, Ξέρξης δὲ τοῦ ναυτικοῦ. μεταβαίνει λοιπὸν ἐπὶ τὴν ἐν Πλαταιᾷ πεζομαχίαν ἀπὸ τῆς ναυμαχίας. παρεκίνησε γὰρ καὶ οὗτος τὸν Ξέρξην, καὶ συνήγαγε τὴν στρατιὰν πλείω λαβεῖν. θανατῶν θανάτου ἐπιθυμῶν. συνειδὼς καὶ γὰρ τῶν κινησάντων εἰς τοῦτο Ξέρξην καὶ οὗτος ἦν. καὶ γὰρ αὐτὸς ἀνέπεισεν αὐτὸν στρατεῦσαι κατὰ τῶν Ἑλλήνων μετὰ Ἀλευάδων καὶ Πεισιστρατιδῶν. ἑαυτῷ μέρος τι τῆς στρατείας αἴτιος γεγονὼς οὐ μόνον φαμὲν αἴτιός εἰμι τῷδε τοῦδε, ἀλλὰ καὶ αἴτιός εἰμι τῷδε. ὥσπερ κἀνταῦθα· διὰ δὲ τοῦ εἰπεῖν τολμήσας δείκνυσιν ὅτι μεγίστη τόλμα ἦν, φυγόντος τοῦ βασιλέως, τοῦτον ὑπὲρ αὐτῶν τι τολμῆσαι. τί δὲ ἦν τὸ τολμηθὲν οὐκ εὐθὺς ἐπάγει, ἀλλὰ πολλὰ διὰ μέσου θεὶς θαυμασίως καὶ τοῦτο εἰσάγει· ὅπερ ἦν τὸ μεταστῆσαι βούλεσθαι τὸν Μαρδόνιον τὴν πόλιν πρὸς αὐτόν. τοῦτο δ’ ἐνεθυμήθη μὲν μετὰ Ξέρξου, μόνος δὲ κατέπραξεν ἐκείνου φυγόντος.

143,11 αἴτιος γεγονὼς τῷ Ξέρξῃ. τῆς δ’ αὐτῆς μονῆς καὶ τύχης τῆς τοῦ θανάτου. τῇ παραμονῇ. Θουκυδίδειος ἡ λέξις. ἔγνω τι εἰς ἀντισήκωσιν τοῦ πταίσματος. ἔγνω τι καὶ τολμήσας τὸ Ὁμηρικὸν «Ῥέξας τι μέγα ἔργον.»

143,12 τὰ κράτιστα τοῦ πεζοῦ τοὺς Φοίνικας. οὐ μὴν οὐδὲ πρὸς ταῦτα ἑτέρων ἐδέησε τοῖς Ἕλλησιν τῶν Ἑλλήνων οἱ μὲν ἦσαν ψηφισάμενοι τὴν ἡγεμονίαν τῶν Ἀθηναίων, οἱ δὲ οὔ. διὰ τὸ μὴ στάσιν γενέσθαι παρεχώρησαν Ἀθηναῖοι τῆς ἡγεμονίας. ἦσαν δὲ καὶ οἱ Ἕλληνες πέμψαντες πρὸς Γέλωνα ἐπὶ τῷ συμμαχῆσαι αὐτοῖς. ὁ δὲ ἔφη μὴ πρότερον συμμαχεῖν, εἰ μὴ λάβοι τὴν ἡγεμονίαν, μᾶλλον δὲ νοῆσαι ὅτι μετὰ τὸν πόλεμον εἵλοντο Ἀθηναίους ἡγεμόνας οἱ Ἕλληνες.

143,13 ὥσπερ ἄλλο τι λοιπὸν, καὶ τοῦτο προσεξειργάσατο ἡ πόλις σοφίζεται ἐνταῦθα· μᾶλλον γὰρ τῶν Λακεδαιμονίων ἦν τὸ ἔργον, Παυσανίου στρατηγοῦντος. ἐπειδὴ δὲ καὶ οἱ Ἀθηναῖοι συνέπραξαν, σοφίζεται.

143,14 οἱ τοὺς στεφάνους συνείροντες ὡς τὸ πένταθλον αἰνίττεται, τὸ ἔχον τὰ ἀγωνίσματα. συνείροντες πλέκοντες.

143,15 ὅσοι δὴ καὶ παρεγένοντο οὐ γὰρ πάντες οἱ Ἕλληνες παρῆσαν· τινὲς γὰρ αὐτῶν ἦσαν μετὰ τοῦ Πέρσου.

143,16 τῆς μάχης τῆς ἐν Πλαταιαῖς.

143,17 ὡς ἀληθῶς ἰδίαν νίκην ἑαυτῆς, καὶ μόνοις τοῖς Ἀθηναίοις προσήκουσαν τὴν καταφρόνησιν λέγει τῶν χρημάτων ὧν ἐπηγγέλλετο ὁ Πέρσης αὐτῇ· τοῦτο γὰρ ἴδιον αὐτῆς πλεονέκτημα· καὶ παρὰ Δημοσθένει τοῦτο συνεχῶς.

143,18 οὗ ὅπου.

143,19 τὰ κύρια δυνατά. ἐνθύμιον ἔννοια.

143,20 ὃ καὶ φρόνιμον καὶ εὔηθες ἔξεστι προσειπεῖν φρόνιμον, εἰ πρὸς τέλος ἦκεν, εὔηθες, εἰ διαφθεῖραι ἤλπισε χρήμασιν Ἀθηναίους. αὐτὸς δὲ ἐξηγεῖται πῶς καὶ φρόνιμον καὶ εὔηθες.

144,1 εἰ προὐχώρησε ἤγουν εἰ κατευοδώθη. τοῦτο δὲ ἦν παντὸς μᾶλλον ἀδύνατον ἀδύνατον γὰρ ἦν τὸ Ἀθηναίους διαφθαρῆναι χρήμασιν.

144,3 οὐ μόνον τὰ παρελθόντα συνειδότες ὅτι αὖτη μόνη ἐν Μαραθῶνι Πέρσας ἐνίκησε, καὶ ὅτι δι᾽ αὐτῆς ἡ Ἑλλὰς σέσωστο. ὡς δι᾽ ἐκείνων ἤγετο τὸ Ἑλληνικόν. δι᾽ ἐκείνων τῶν Ἀθηναίων.

144,4 πρὸς δὲ τούτοις καὶ τῶν—τοῖς Ἕλλησι τὰ πράγματα σοφίζεται· τοῦτο γὰρ ἦν· Μαρδόνιος πέμψας εἰς πολλὰ μαντεῖα, καὶ εἰς τὸ Ἀμφιαράου ἄρμα, καὶ εἰς τὴν Λεβάδειαν, πόλιν τῆς Βοιωτίας, ἔνθα ἦν τὸ ἱερὸν Τροφωνίου, βουλόμενος μαθεῖν πῶς ἂν προλάβοι τὴν Ἑλλάδα. εἶτα ἐδόθη αὐτῷ χρησμός. ὡς δὲ οὐκ ἐνόησεν αὐτὸν, πέμπει πρεσβείαν πρὸς Ἀθηναίους ἐπὶ τῷ προδοῦναι αὐτῷ τὴν Ἑλλάδα. καὶ ἐκ τούτου ἐστοχάσαντο ὕστερον

ὅτι ἐδήλου ὁ χρησμὸς, εἰ προδοῖεν Ἀθηναῖοι τὴν Ἑλλάδα, πάντων τῶν ἄλλων Ἑλλήνων Πέρσαι κρατήσωσι.

144,5 μετὰ τούτων τῶν Περσῶν.

144,7 ἀντὶ γὰρ ὧν ᾔτει πρότερον γῆς καὶ ὕδατος, ταῦτα ἐδίδου τότε πῶς ἔδωκε τοῖς Ἀθηναίοις γῆν καὶ ὕδωρ; φαμὲν, ἐκ τοῦ τὴν χώραν αὐτῶν αὐτοῖς ἀποδοῦναι — κατείχετο γὰρ ὑπ᾽ αὐτοῦ — καὶ ἐκ τοῦ τὴν Ἑλλάδα πᾶσαν. ἡ δὲ Ἑλλὰς οὐ μόνον ἐν γῇ, ἀλλὰ καὶ ἐν νήσοις. ἐφαίνετο οὖν ἐντεῦθεν τὸ ὕδωρ. τότε μὲν γὰρ ᾔτει βῶλον γῆς καὶ ὀλίγον ὕδωρ, νῦν δὲ ἐδωρεῖτο πᾶσαν γῆν Ἑλληνικὴν καὶ θάλασσαν.

144,8 οὐκ ἀπὸ ἴσου τοῦ μέτρου ἀντὶ τοῦ οὐκ ἐπὶ τοῖς ὁμοίοις. τότε κοτύλην ὕδατος καὶ γῆς βῶλον ᾔτει. τοῦτο μὲν τὴν πόλιν καὶ τὴν χώραν αὐτοῖς ἀπεδίδου πᾶσαν ἤτοι σώαν τὴν Ἀττικήν.

144,10 ἐπῆν χρήματα τῇ τῆς χώρας καὶ Ἑλλάδος δόσει. αὐτοῖς παρὰ Περσῶν διδόμενα. καὶ φίλους καὶ συμμάχους εἶναι βεβαίως ἐκείνου. αὐτοῖς.

144,12 τὸ μὲν κεφάλαιον ἡ περίληψις. ἐκηρύκευε κήρυξ ταύτης καὶ πρεσβευτὴς ἦν. Ἀλέξανδρος, βασιλεὺς Μακεδονίας Ἀλέξανδρος οὗτος βασιλεὺς Μακεδονίας ἦν, πάππος Φιλίππου, τοῦ Ἀλεξάνδρου πατρός. διὰ γοῦν τὴν ὑπερβάλλουσαν ἀγάπην αὐτοῦ πρὸς τοὺς Ἕλληνας ἐκαλεῖτο Φιλέλλην. σκόπει δὲ ὅπως ηὔξησε τὴν πρεσβείαν, εἰπὼν βασιλεὺς Μακεδονίας. οὗτος ἦν ὁ ἐπὶ Ξέρξου, ὁ καὶ Φιλέλλην καλούμενος· πάνυ γὰρ ἐδόκει φιλεῖν τοὺς Ἕλληνας. ηὔξησε δὲ τῷ ὀνόματι τοῦ βασιλέως τὴν πρεσβείαν.

144,13 ἢ καὶ σύμπαντα, ἃ κέκτηται, διδόντα, ἄξια σφῶν εἶναι νομίσαι τὸ διδόντα διπλοῦν λάμβανε πρὸς τὴν σύνταξιν, οὕτω· ἢ καὶ τὸ νομίσαι ἐκεῖνον εἶναι διδόντα ἄξια σφῶν, διδόντα σύμπαντα, ἃ κέκτηται. λέγει δὲ ὅτι καὶ πάντα, ἃ εἶχεν, ἐδίδου αὐτοῖς, οὐδαμῶς ὑπήχθησαν. προξενίαν δὲ ἐνταῦθα λέγει τὴν φιλίαν, ἢ διότι φίλος αὐτοῖς ἦν παλαιὸς ὁ Ἀλέξανδρος, ἢ πάντας, ὡς ἔφημεν, ἐφίλει τοὺς Ἕλληνας. ἔστι δὲ καὶ προξενία ἡ ξενοδοχία· καὶ προξενῶ τὸ ξενοδόχος τινός εἰμι, γενικῇ

συντασσόμενον. μαρτυρεῖ δὲ καὶ Δημοσθένης λέγων «Παρὰ σοὶ κατέλυον, Αἰσχίνη, καὶ σὺ προὐξένεις αὐτῶν.»

144,14 ἄξια σφῶν ὡς ἐπὶ ἀγορασίας καὶ ὠνῆς εἶπεν ἄξια αὐτῶν. ὥστε ἔσωσε τὸν πρεσβευτὴν τὸ σχῆμα τῆς προξενίας δημόσιος γὰρ ἦν φίλος τῶν Ἀθηναίων.

144,15 ἀλλ᾽ εἰ μὴ πρὸ ἡλίου δύνοντος ἐκτὸς ὅρων εἴη τοῦτο δοκεῖ ἀναπόδοτον. ἔχει δὲ οὕτως· εἰπὼν γὰρ οὐ μὴν ἀδεᾶ καθάπαξ ἐπέστειλαν, καὶ δέον οὕτως ἀπαγαγεῖν, ἀλλὰ ἀπέστειλαν, ὡς οὐκ ἄνευ θανάτου τὰ τοιαῦτα πρεσβεύσοντα, εἰ μὴ πρὸ ἡλίου δύναντος ἐκτὸς ὅρων εἴη προειπόντες καὶ τοῦ λοιποῦ ἄλλο τι τοῖς Ἀθηναίοις μᾶλλον προξενεῖν, ἤ τι τοιοῦτον. ὁ δὲ ὕστερον ἔθηκεν, ὡς οὐκ ἄνευ θανάτου, διὰ τὸ δύνασθαι πρὸς ἄμφω ἀποδίδοσθαι, πρός τε τὸ εἰ μὴ πρὸ ἡλίου δύναντος καὶ τὸ ἄλλο τι προξενεῖν. τοῦτο δοκεῖ ἀναπόδοτον. ἔχει δὲ οὕτως· εἰπὼν γὰρ οὐ μὴν ἀδεᾶ καθάπαξ ἀπέστειλαν, ἐπάγει· ἀλλ᾽ εἰ μὴ πρὸ ἡλίου δύνοντος· σὺ νόει ἐνταῦθα ἀπὸ τοῦ ἀδεᾶ τὸ ἀλλ᾽ ἐφόβησαν. ἐκτὸς ὅρων τῆς Ἀττικῆς.

144,16 καὶ τοῦ λοιποῦ προειπόντες, —τοιαῦτα πρεσβεύσοντα ταύτην λέγει τὴν τιμωρίαν. καὶ Θουκυδίδης τοῦτο εἶπε περὶ τοῦ Μελισάνδρου. ἡ σύνταξις οὕτως· ἀπέστειλαν οὐκ ἄνευ θανάτου τοιαῦτα πρεσβεύσοντα τοῦ λοιποῦ.

144,17 ἀγωγοὶ προπομποί.

144,18 μήτε τῷ διαλέξηται περὶ οὗ ἦλθε.

144,20 οὔτε τοῖς δοῦσιν τοῖς Ἀθηναίοις. Ἀθηναίοις. οὔτε τῷ πείσαντι τῷ Θεμιστοκλεῖ· οὗτος γὰρ πέπεικε τὴν πόλιν τοιαῦτα ἀποκρίνεσθαι. τῷ Θεμιστοκλεῖ. τῷ Θεμιστοκλεῖ· οὗτος γὰρ πέπεικεν Ἀθηναίοις τοιαῦτ᾽ ἀποκρίνεσθαι. εἰς μὲν γὰρ ἐκεῖνα ὅπλοις συγκρίνει τὴν μάχην τῇ ἀποκρίσει.

145,1 ὀργάνοις πολεμικοῖς.

145,2 γνώμῃ καὶ λόγῳ οἰκεῖον γὰρ Ἀθηναίοις τοιαῦτα περὶ τῶν τοιούτων φρονεῖν τε καὶ λέγειν. διαρκέστερον τῶν Ἀθηναίων. μέχρι τέλους. διόλου. ἐντελέστερον.

145,3 καὶ χρυσῷ καὶ ἀργύρῳ τῷ Ξέρξου. ὅτι κατεφρόνησαν χρημάτων. σιδήρῳ δὲ, ὅτι οὐκ ἔδεισαν τὸν πόλεμον.

145,4 πάντα ἀπέφηναν ὁμοίως ἄχρηστα τῷ βασιλεῖ ἐπεὶ οὐκ ἴσχυσέ τι δι' αὐτῶν. ὥσπερ ἂν εἰ ἐκρύπτετο ὑπὸ γῆς ἔτι ταῦτα γὰρ μέταλλά εἰσι γῆς. ὁ χρυσὸς, καὶ ἃ εἶπεν. ἐν ὅσῳ δὲ ὑπὸ γῆν εἰσιν, οὐ δύνανται ὠφελεῖν τοὺς ἀνθρώπους. ἤγουν εἰ ἐν μετάλλοις ἦν, ὅ τε χρυσὸς, ὅ τε ἄργυρος, ὅ τε σίδηρος.

145,5 δικαιοσύνην δ' ἀντὶ τῆς βασιλέως τοσαύτης φιλανθρωπίας δίκαιον γὰρ ἡγοῦντο μὴ ἐκστῆναι τοῦ πατρίου φρονήματος.

145,7 παρατεταγμένως ἐναντίως. ἤγουν παρεσκευασμένως. εἰ προσείη τοῖς Ἕλλησι. εἰ προσείη σχῆμα χρείας ἠπόρουν γὰρ τότε Ἀθηναῖοι, καταλείψαντες τὴν πόλιν.

145,8 ὑποπεπτωκότως εἶχον. ὡς ἐπὶ πλεῖον ἀκοῦσαι τοῦ λόγου ὥστε ἀνέχεσθαι πολλάκις λεγόντων· ἅπαξ γὰρ ἀκούσαντες ἀπεδοκίμασαν. ἄλλως. ὡσανεὶ ἔλεγεν, εἰ μὴ ὅσον ἦν ἐπὶ μόνου λόγου ἀκοῦσαι, καὶ οὐκ ἠνείχοντο. οἱ γὰρ τὰς ἱκεσίας ῥᾳθύμως δεχόμενοι πλειόνων λόγων παρὰ τῶν ἱκετευόντων ἀκούουσιν, ἵνα πεισθεῖεν. ἐλθόντων Λακεδαιμονίων περιφόβων ἐπειδὴ τὴν παρὰ τοῦ Ξέρξου γενομένην αὐτοῖς πρεσβείαν ἤκουσαν.

145,10 συνέγνωσαν ὡς ἐπὶ ἁμαρτήματος εἶπε τὴν λέξιν.

145,11 τῷ μὲν φόβῳ τοῦ μὴ μετὰ βαρβάρων Ἀθήνας γενέσθαι.

145,12 τὴν μεγαλοψυχίαν κατεχρήσατο εἰπὼν τὴν μεγαλοψυχίαν καὶ ἐπὶ ὀργῆς, καὶ οὐ μόνον ἐπὶ καταφρονήσεως τῶν χρημάτων. τῷ τὴν ὀργὴν κατασχεῖν ἣν ἔδει πρὸς αὐτοὺς ἐπιδείξασθαι, τὸ πατρῷον αὐτῶν διαβάλλοντας φρόνημα· ἔμφυτον γὰρ Ἀθηναίοις καὶ ἐκ προγόνων σώζειν τοὺς δεομένους.

145,15 τοὺς δόντας αὐτοὺς τοὺς πιστεύσαντας ἑαυτοὺς Ἀθηναίοις. τούτοις. οὐδέν γε μᾶλλον ἀπὸ κοινοῦ τὸ ᾖδεσαν.

145,16 μετὰ τῶν ἀναλωμάτων σώζειν οἱ γὰρ πατέρας, ἢ παῖδας, ἢ συγγενεῖς σώζειν αἱρούμενοι πᾶσαν δαπάνην, εἰ δεήσειεν, ὑπομένουσιν. τοὺς ὡς ὑπὲρ οἰκείων ταῖς γνώμαις διακειμένους ὑπὲρ αὐτῶν.

145,17 τοῦτο μὲν τοσοῦτον καὶ τηλικοῦτον ἔργον ὡς κατόρθωμα εἶπε τὰ δῶρα τοῦ βασιλέως τῷ νικῆσαι Λακεδαιμονίους. ἐν τοῖς τοῦ πολέμου καιροῖς ἐκ τοῦ εἰπεῖν ἐν τοῖς τοῦ πολέμου καιροῖς αὔξει τὸ τοῦ πράγματος ἐγκώμιον· οὐ γὰρ οἷόν τε τοὺς πολεμεῖν ἀναγκαζομένους τοιαῦτα ἐργάζεσθαι.

145,18 ἐξέλαμψε μέσον τῆς ἐν Σαλαμῖνι ναυμαχίας καὶ τῆς Πλαταιᾶσι μάχης καλῶς εἶπε τὸ μέσον· ἐν μέσῳ γὰρ δύο κατορθωμάτων μεγάλων τυγχάνων οὐκ ἐκαλύφθη· διὸ εἶπεν ἐξέλαμψεν.

145,19 ἐξ ἁπάντων τοῖς Ἀθηναίοις τιθέμενοι ἤγουν κρείττους ἁπάντων ἐπιλαμβάνουσιν. ἀντὶ τοῦ τὴν ψῆφον αὐτοῖς παρέχοντες ἐπὶ ταῖς ὑποσχέσεσιν.

146,3 οὕτω ἐλπίσαντες ἐξ ἀρχῆς—ἀπῆλθον ὅτι ἐπρεσβεύσαντο πρὸς αὐτούς. εἰ μὴ γὰρ ἤλπιζον εἰς αὐτοὺς, οὐκ ἂν ᾖεσαν πρὸς αὐτοὺς πρεσβευόμενοι. ἐλπίσαντες Πέρσης καὶ οἱ Λακεδαιμόνιοι.

146,4 τῶν μὲν γὰρ οὐκ ἠνέσχοντο τῶν τοῦ Πέρσου ὑποσχέσεων. τοὺς δὲ ἀπὸ πολλοῦ λέγει τοὺς Ἕλληνας. τῶν Περσῶν, ἢ ὧν ἐπηγγέλλετο ὁ Ξέρξης. τοὺς δὲ ἀπὸ πολλοῦ τοῦ κρείττονος προσεδέξαντο ἐκ τοῦ ὑπερέχοντος. λέγει δὲ τοὺς Λακεδαιμονίους. ἀπὸ πολλοῦ τοῦ κρείττονος ἢ ἐκεῖνοι ἤλπιζον.

146,5 ὥστε καὶ τὸ εἰκὸς προσγενέσθαι τὸ καὶ αὐτοὺς ὑπὲρ σφῶν αὐτῶν τὴν ἀξίαν προσθέσθαι ψῆφον εἰκὸς γὰρ ἦν, τῶν ἄλλων ὑπὲρ αὐτῶν τοιαῦτα ψηφιζομένων, τοιαῦτα καὶ αὐτοὺς προσψηφίσασθαι.

146,6 τρεῖς εἶναι τοὺς μάρτυρας ἑξῆς τῆς αὐτῶν ὑπεροχῆς. αὐτοὺς ἑαυτοῖς ἔργῳ διὰ πάντων ὁμοίους γεγενημένους οἷοι γὰρ ἦσαν, τοιοῦτοι καὶ ἀπεφάνθησαν.

146,7 συναγαγόντες δὲ τοὺς Ἕλληνας ἄρχεται νῦν περὶ τῆς ἐν Πλαταιᾶσι μάχης εἰπεῖν, ἣν πρὸς τὸ τοῦ Ξέρξου πεζὸν ἐποιήσαντο. ἐν ᾗ Λακεδαιμόνιοι μᾶλλον ἐξέλαμψαν διὰ Παυσανίου

146,8 ἀκολουθεῖν δυναμένους ἀκολουθεῖν ἀντὶ τοῦ συμμαχεῖν. εἶπε δὲ δυναμένους, ὅτι πρὸ τῆς ναυμαχίας ἐφοβοῦντο. ἀκολουθεῖν οὖν δυναμένους, ἀντὶ τοῦ προθυμοτέρους· πρότερον γὰρ ἐδεδίεσαν, ἄπειροι ὄντες τῶν Ἀθηναίων. τῶν στρατοπέδων τοῦ τε βαρβαρικοῦ καὶ Ἑλληνικοῦ.

146,9 ὡς ἐτάχθη διὰ τῆς Βοιωτίας μέρος γὰρ τῆς Βοιωτίας ἡ Πλάταια.

146,10 διατριβὴ ἀντὶ τοῦ βραδυτής. βράδος γὰρ ἀπαιτεῖ ὁ λόγος, οὐ περιγινομένης τῆς σπουδῆς. μαρτυρία τῆς ὑπεροχῆς.

146,12 Ἀθηναίοις τούτοις γὰρ παρεχώρησαν ἡγεμόνας εἶναι τῆς μάχης, καὶ πρώτους ἀπαντῆσαι Πέρσαις. ἐξέστησαν τῆς ἐπὶ Πέρσας τάξεως παρεχώρησαν, ὥστε λοιπὸν εἶναι καταντικρὺ τῶν Περσῶν. συγκεκληρωμένον εἱμαρμένον.

146,13 αὖθις δὲ ἀνθυπῆγε Μαρδόνιος τοὺς Λακεδαιμονίους ἀνθαιρούμενος ἐπειδὴ Λακεδαιμόνιοι παρεχώρησαν Ἀθηναίοις, πρώτους ἀπαντῆσαι πρὸς τὴν μάχην, μαθὼν ὁ Μαρδόνιος, ἀφῆκε μὲν Ἀθηναίοις συμβαλεῖν, πρὸς δὲ τοὺς Λακεδαιμονίους ὥρμησε πρώτους, εἰδὼς ὅτι γενναίως μὲν πολεμοῦσιν ἀπὸ τῆς ἐν Πύλαις μάχης, ἡττῶνται δὲ, Ἀθηναῖοι δὲ καὶ πολεμοῦσι γενναίως, καὶ ἀήττητοι διαμένουσιν· ὥστε ἡ πρὸς Λακεδαιμονίους μάχη ἐλυσιτέλει μᾶλλον αὐτῷ. ὁ νοῦς οὕτως· τοῖς Λακεδαιμονίοις τολμᾶν μᾶλλον ᾔρεῖτο, εἰδὼς ὅτι γενναίως μὲν πολεμοῦσιν, ἡττῶνται δὲ, ὥσπερ ἐν Πύλαις· τοὺς δὲ Ἀθηναίους ὑπέφευγε, λυσιτελεῖν ἡγούμενος μὴ πολεμεῖν πρὸς ἄνδρας εἰδότας καὶ καλῶς νικᾶν, ὥσπερ καὶ ἐν Σαλαμῖνι.

146,15 ταῦτα γὰρ ἐκ τῶν πρὸς αὐτοὺς παραδειγμάτων ηὕρισκεν Λακεδαιμόνιοι μὲν γὰρ ἐν Πύλαις ἡττήθησαν, Ἀθηναῖοι δὲ ἐν Σαλαμῖνι ἐνίκησαν. ἐκ τῶν φθασάντων τὰ παρόντα πιστούμενος.

146,16 ὥσπερ οὖν οἱ πύκται, περὶ τῆς στάσεως πρῶτον ἠγωνίσαντο οἱ πύκται περὶ τοῦ τόπου φιλονεικοῦσιν ὑψηλότεροι στῆναι τῶν ἀντιπάλων, καὶ πρὸς τούτοις φροντίζουσι μὴ ἀντικρὺ ἔχειν τὸν ἥλιον. ἔπασχον δὲ καὶ τοῦτο καὶ Πέρσαι καὶ Ἕλληνες· οἱ μὲν πρῶτοι τοῖς Λακεδαιμονίοις συμβαλεῖν ἐθέλοντες, Ἕλληνες δὲ προτάττοντες Ἀθηναίους. περὶ τῆς στάσεως οὕτως. περὶ τοῦ τόπου· φιλονεικοῦσι γὰρ ὑψηλότεροι στῆναι καὶ μὴ καταντικρὺ ἔχειν τὸν ἥλιον. περὶ τῆς στάσεως πρῶτον ἠγωνίσαντο ὁ Πέρσης καὶ οἱ Λακεδαιμόνιοι· οἱ μὲν προταχθῆναι Ἀθηναίους τῆς μάχης, ὁ δὲ Λακεδαιμονίοις ἀπαντῆσαι βουλόμενος.

146,17 ἐδέχοντο δὲ πάντας ἀνθρώπους ἐκ τοῦ εἰπεῖν πάντας ἀνθρώπους δείκνυσι τὸ πλῆθος τῆς αὐτοῦ στρατιᾶς, καὶ ὅτι μόνον οὐ πᾶσαν τὴν οἰκουμένην μεθ᾽ ἑαυτοῦ ἦγεν.

146,18 τήν τε μάχην κρίνουσι διὰ πάντων ἐξελθόντες ψεύδεται ἐνταῦθα· οὐ γὰρ Ἀθηναῖοι τὴν νίκην κατώρθωσαν, ἀλλὰ Λακεδαιμόνιοι διὰ Παυσανίου.

146,19 δεῆσαν ἀντὶ τοῦ δεήσαντος, Ἀττικῶς. δεῆσαν τειχομαχίας, ὅσον αἰσχυνθείη τις ἂν εἰπεῖν, οἱ ἄλλοι πρὸς αὐτοὺς ἦσαν ἐπειδήπερ ἐν Πλαταιᾶσιν οἱ Πέρσαι ἡττήθησαν, οἱ προύχοντες αὐτῶν κατέφυγον εἰς τὰς Θήβας, ὑποδεξαμένων αὐτοὺς τῶν Θηβαίων. Ἀθηναῖοι οὖν περιστάντες ἐτειχομάχουν. οἱ ἄλλοι δὲ τῶν Ἑλλήνων οὐκ ᾔδεσαν τειχομαχεῖν. διὰ τοῦτο οὖν λέγει, ὅσον αἰσχυνθείη τις ἂν εἰπεῖν, οἱ ἄλλοι πρὸς αὐτοὺς ἦσαν. ἢ ᾔδεσαν μὲν, ἀλλ᾽ οὐ τοσοῦτον, ὅσον ἐκεῖνοι. οἱ γὰρ Πέρσαι, ἡττηθέντες ἐν Πλαταιαῖς κατέφυγον εἰς τὰς Θήβας· ὑποδεξαμένων αὐτοὺς τῶν Θηβαίων, οἱ Ἀθηναῖοι περιστάντες ἐτειχομάχουν. ἄλλοι δέ φασιν· Ἕλληνες οὐκ ᾔδεισαν τειχομαχεῖν. λέγει οὖν ὅτι αἰσχύνη ἐστὶ λέγειν, τί ἦσαν πρὸς αὐτοὺς, οἷον οὐκ ᾔδεισαν τειχομαχεῖν.

146,21 οἱ μὲν οὐχ ὁμοίως καὶ πρόσθεν κατεῖχον τὴν Βοιωτίαν κείμενοι πρὸ μὲν τῆς αὐτῶν ἥττης οἱ βάρβαροι παραστησάμενοι τὴν Βοιωτίαν εἶχον, ἡττηθέντες δὲ καὶ πεσόντες ἐκεῖσέ τινες πάλιν κατεῖχον τεθνεῶτες. τὰς Θήβας λέγει· πρὸ γὰρ τῆς ἥττης ὅλην εἶχον τὴν Βοιωτίαν. νῦν δὲ, φησὶ, κείμενοι εἶχον αὐτήν.

147,1 ἀσύντακτοι γυμνοὶ, ἄνευ τάξεως. νύκτα δὲ ἡμέρας λέγει τὸ σκότος· οἱ γὰρ φεύγοντες ἀγαπῶσι τὸ σκότος, ἵνα λάθωσι φεύγοντες. νύκτα ἡμέρας τιμιωτέραν ἄγοντες τότε γὰρ ἐξῆν φεύγειν. ἐκ πολλῶν ὀλίγοι, καὶ πολλοὶ κατ᾽ ὀλίγους ἐξεχώρησαν τὸ ἐκ πολλῶν ὀλίγοι τοῦτο λέγει ὅτι πρόσθεν ἀναρίθμητοι ὄντες, ἡττηθέντες διεσπάρησαν, καὶ ἔφευγον ὀλίγοι καὶ ὀλίγοι, οἷον φέρε εἰπεῖν, κατὰ δεκάδας ἢ εἰκάδας. ἐπεὶ δὲ οἱ ὀλίγοι καὶ οἱ ὀλίγοι πολλοὶ συνάγονται, διὰ τοῦτο λέγει καὶ πολλοὶ κατ᾽ ὀλίγους. ὡς εἶναι καὶ τοὺς φεύγοντας πολλούς. πῶς οὖν εἶπεν ὀλίγοι; φαμὲν, ὡς πρὸς τὸ ὅλον στρατόπεδον.

147,2 τῆς ὑπερηφάνου στρατιᾶς αὐτῶν. τούτων δ᾽ οὕτω καταστάντων ὥσπερ ἐπίλογός ἐστι τῶν Μηδικῶν.

147,5 οὕτω πολλοῦ τινος αὐτοῖς ἔδει ποιῆσαι, ὅτι γε δοκεῖν ἔχειν ἄξιον αὐτῆς ὁ νοῦς οὕτως. πολὺ ἀπεῖχον τοῦ δοκεῖν, τί ποιῆσαι ἄξιον τῆς πόλεως.

147,6 τοσοῦτο γὰρ ἐπεξῆλθον ἐν τοῖς πράγμασιν ἤγουν ἐπεξέλευσιν καὶ τιμωρίας ἀπάντησιν ἐποιήσαντο. πράγματα δὲ λέγει τὰ συμβάντα, ἤτοι τὸν Περσικὸν πόλεμον.

147,7 ἐν τοῖς πράγμασιν, ὥστ᾽ ἔτι μᾶλλον βούλεται εἰπεῖν, ἃ ὁ Κίμων ὕστερον ἐν τῇ Ἀσίᾳ ἐποίησε. μετὰ γὰρ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν καὶ τὴν ἐν Πλαταιᾶσι μάχην ἐστράτευσαν Ἀθηναῖοι ἐν τῇ Ἀσίᾳ, ἀμυνόμενοι τοὺς βαρβάρους. ἐν τοῖς πράγμασι λέγει ἀντὶ τοῦ ἐν τῷ πολέμῳ. βούλεται δὲ εἰπεῖν, ἃ ὁ Κίμων ἐν τῇ Ἀσίᾳ ἐποίησεν. ὕστερον γὰρ ἐπεστράτευσαν Ἀθηναῖοι εἰς τὴν Ἀσίαν ἐν τοῖς πράγμασιν.

147,8 τίνας φεύγειν κρίναντες οἱ βάρβαροι. ἀγαπητὸν ἀπῆλθον τέλος τῆς πρώτης στάσεως.

147,9 ὁρῶ μὲν οὖν καὶ τὸν λόγον ἐκτεινόμενον ἐντεῦθεν ἄρχεται τοῦ τρίτου μέρους· εἰς τέσσαρα γὰρ διεῖλεν, ἐπειδὴ καὶ ἡ τῶν Παναθηναίων ἑορτὴ, ὡς ἔφημεν, διὰ τεσσάρων ἡμερῶν πληροῦται. διὸ καὶ προοιμιάζεται, ὥσπερ ἀπολογούμενος πρὸς τοὺς ἀχθομένους τῷ μήκει τοῦ λόγου. τὸν λόγον εἰς τρία μέρη τινὲς διαιροῦσιν, ὡς καὶ τῆς πανηγύρεως τῶν Ἀθηναίων οὔσης, καὶ οὐ διὰ μιᾶς ἡμέρας πληρουμένης. τὸ μὲν οὖν

πρῶτον μέρος ἕως ᾧδε πεπλήρωται· ἔχεται δὲ τοῦ δευτέρου· διὸ καὶ προοιμιάζεται πάλιν. ἄλλοι δὲ λέγουσιν ἐντεῦθεν τὸ τρίτον μέρος, εἰς τέσσαρα μέρη διαιροῦντες τὸν λόγον, καὶ τὴν πανήγυριν εἰς ἡμέρας τέσσαρας.

147,10 ὥσπερ μετ᾽ ἀγωνιστὴν εὐδοκιμηκότα ὡς καλῶς ἀπαγγείλας τὰ πρότερον εἰρημένα μέρη, ἀθλητῇ εὐδοκιμήσαντι παραβάλλει ἑαυτόν.

147,11 εἰσιόντα ἕτερον οὗτος γὰρ οὐ δύναται ἀκροατῶν προθύμων τυχεῖν, διὰ τὸ προκατειλῆφθαι πάντας τῷ πρόσθεν ἠγωνισμένῳ.

147,12 τὴν τῆς πόλεως ἀξίαν μέγεθος καὶ ὑπεροχήν. καθυφεὶς ἀμελήσας. νῦν ἐπὶ τοῦ σιωπῆσαι καὶ ἡσυχάσαι εἶπε τὸ καθυφείς. ἐνδοὺς τῆς προθυμίας.

147,13 ἀπ᾽ αὐτοῦ τοῦ συμβόλου τῶν λόγων σύμβολον καλεῖ τῶν λόγων τῶν ῥηθέντων καὶ μελλόντων ῥηθήσεσθαι τὴν τῶν Παναθηναίων ἑορτήν· ὥσπερ γὰρ αὕτη διὰ τεσσάρων ἡμερῶν ἀπαρτίζεται, οὕτω καὶ τοὺς ἐν αὐτῇ λόγους πολλοὺς εἶναι δεῖ. σύμβολον λέγει τὸ αἴτιον, ὅτι ἡ πανήγυρις αἰτία ἐγένετο τοῦ οὕτως λεχθῆναι τὸν λόγον. σημείου· τρίτη γὰρ ἀνάγνωσίς ἐστιν ἡ νῦν.

147,14 μετρεῖν πληροῦν. τὸ πλῆθος τῶν ἡμερῶν τρεῖς ἡμέρας ἤγετο τὰ Παναθήναια. ἤγουν αἱ τέσσαρες ἡμέραι.

147,15 κόσμου χάριν τῆς πανηγύρεως χάριν.

147,16 τῶν ἔργων τῶν τῆς πανηγύρεως.

147,17 οὐκ εἰσάπαξ ὁριζόμενον ἤγουν οὐκ ἐν μιᾷ ὥρᾳ καὶ ἡμέρᾳ μόνῃ.

147,18 οὐδὲ τοῖς εἴδεσι τῶν θεαμάτων ἐκπληρούμενον αὐθημερὸν ἀεὶ γὰρ ἄλλα καὶ ἄλλων ἀπήντα θεάματα, χοροὶ καὶ ὀρχήσεις.

147,19 ὥσθ᾽ ὅσα καὶ τὸν νῦν καιρὸν—οὐ παρελήλυθεν ἐμφαίνει καὶ τὸ τρίτον μέρος τοῦ λόγου. λέγει δὲ ὅτι, κἂν ἐν τῇ σήμερον ἡμέρᾳ οὐκ ἔχω καιρὸν διηγήσασθαι τὰ λοιπὰ, ἀλλ᾽ οὖν ἔχω καιρὸν τὸν τῆς αὔριον. ὅσα ἔργα καὶ θεάματα.

147,20 ἢ κομιδῆ γ’ ἂν τὸ ἢ κομιδῆ γ’ ἂν πρὸς τὸ οὐδὲ τὸ τῶν λόγων πλῆθος ἄκαιρον ἔχει τὴν δύναμιν· τὰ δ’ ἄλλα πάντα διὰ μέσου. οἱ μὲν νομοθέται τῶν ἑορτῶν καὶ τῶν πανηγύρεων.

148,1 αὐτὸ τοὔνομα τῆς ἱερομηνίας ἱερομηνίαν λέγει τὴν μίαν τοῦ μηνὸς ἡμέραν. ἱερομηνία δὲ καλεῖται διὰ τὸ ἱερὰν εἶναι ἡμέραν τοῦ μηνός. ἄμεινον γὰρ δοκεῖ τῶν ἄλλων, ἐν ᾗ πανηγυρίζομεν. αὐτὸ τοὔνομα τῆς ἱερομηνίας παρέβησαν τὸ παρέβησαν λέγει, ἐπειδήπερ ἱερομηνία μὲν μία ἡμέρα ἐστὶ, καθ’ ἣν δέῃ Δία, ἢ Ποσειδῶνα, ἢ Ἀθηνᾶν, τιμᾶν. οἱ νομοθέται δὲ εἰς τρεῖς ἡμέρας, ἢ πλείους, ταύτην προήγαγον.

148,3 χρήσασθαι ἀντὶ τοῦ ἀπολαύειν τοῦ χρόνου τῆς πανηγύρεως. τούτῳ τῷ χρόνῳ. τῶν ἄλλων ἄθλων.

148,5 τῶν τῇ πανηγύρει συγκεκληρωμένων τῶν πρεπόντων. ἐγκωμιάζειν γὰρ ἐν ταῖς πανηγύρεσι δεῖ. συγκεκληρωμένων δὲ, τουτέστι πρεπόντων τῇ πανηγύρει. οὐδὲ γὰρ τῆς πανηγύρεως ἐστὶν ὁ λόγος ἐγκώμιον. πάντως οὐκ ἐώλοις ἀεὶ τοῖς ὑπολειφθεῖσιν ἐντεύξεσθε ἔωλον τὸ χθεσινόν ἐστιν ὄψον. μεταφορικῶς οὖν εἶπε. τοῦτο δὲ λέγει, ἵνα μὴ δοκῇ τοῖς αὐτοῖς χρῆσθαι οἷς εἴρηκεν. ἔωλόν ἐστι τὸ χθεσινὸν ὄψον. μεταφορικῶς οὖν εἶπε. τοῦτο δὲ εἶπεν, ἵνα μὴ δοκῇ ταῦτα λέγειν οἷς εἴρηκεν.

148,7 ἀλλ’ ἵνα μὴ πλείω τῶν ἀναγκαίων παραιτούμενος ἐμφαίνει ὡς καὶ αὐτῶν μεγάλων ὄντων τῶν μελλόντων ῥηθήσεσθαι. ᾔσθετο δὲ ἐκτείνας τὸ προοίμιον. διὸ θεραπεύει. τὸ δὲ παραιτούμενος, παραίτησιν ποιούμενος, καὶ συγγνώμην αἰτῶν. τοῦτό φησιν, ἐπειδὴ ᾔσθετο ἑαυτοῦ πλεῖον ἐκτείναντος τὸ παρὸν προοίμιον. παραιτούμενος ἀπολογούμενος. αὐτῷ τούτῳ ἐν τῷ παραιτεῖσθαι. μηκύνω τὸν λόγον. πρὸς τοὺς ἐφεξῆς τῶν λόγων καὶ συνεχεῖς καὶ δὴ τρέψομαι πάλιν ταῦτα ἐπιλογικὰ τυγχάνει τοῦ πρώτου μέρους. μετὰ γὰρ τὴν νίκην, φησὶν, ἦγετο ἡ πανήγυρις. τὸ δὲ ἑαυτῆς ἐγένετο, ἀντὶ τοῦ ὑγίανεν· ὡς ἐπὶ νοσήματος δὲ εἶπεν, ὡσανεὶ ἔλεγεν ὅτι ἐκ τοῦ κινδύνου ἔφυγεν.

148,8 ἐπειδὴ γὰρ ἡ Ἑλλὰς ἑαυτῆς ἐγένετο ὡς ἐπὶ νοσήματος τοῦτο εἶπεν· οἷον ἀσθενῶς πρόσθεν κατακειμένη ἀνήνεγκε τοῦ χειμῶνος τὴν νόσον, καὶ ἑαυτῆς ἐγένετο.

148,9 πανηγύρεις καὶ πρόσοδοι τοῖς θεοῖς ἦσαν πρόσοδος οὐ μόνον ἡ ἀπὸ τῶν κτημάτων καί τινων ἄλλων εἰσφορὰ πραγμάτων, ἀλλὰ καὶ ἡ πανήγυρις, πρὸς ἣν πάντες ὁδεύουσι καὶ συνέρχονται. ἔστιν οὖν ἐνταῦθα τὸ πανηγύρεις καὶ πρόσοδοι ἐκ παραλλήλου.

148,10 πρόσοδοι ἡ ἑορτὴ καὶ ἡ πανήγυρις, εἰς ἣν πάντες προσέρχονται. οἵας οὔτε πρότερον—ἐν ἐλευθέρᾳ τῇ Ἑλλάδι ὥσπερ τὰ Ὀλύμπια, καὶ τὰς ἄλλας ἑορτάς.

148,11 οὐ γὰρ νόμος ἦν ὁ συνάγων ἀντὶ τοῦ οὐκ ἔθος ἦν. οὐδὲ γὰρ τοσαύτην ἔχει ἡδονὴν τὸ ὡρισμένον, ὡς διὰ τὰ κατορθώματα γινόμενα. τακτὴ δὲ, ὡρισμένη. πᾶσαι γὰρ αἱ ἄλλαι πανηγύρεις νενομοθετημέναι εἰσίν. περίοδος κύκλος.

148,12 ἐκ τῶν πραγμάτων ἐκ τῆς παρ᾽ ἐλπίδα συμβάσης εὐδαιμονίας. ἤγουν ἐκ τῆς νίκης. εὐθυμεῖσθαι ἀντὶ τοῦ εὐθύμως ἔχειν. παθητικῶς εἶπεν, ἀντὶ τοῦ εὐθυμεῖν ἐνεργητικοῦ.

148,14 τοῖς κατορθώσασι μνημεῖον ἐπ᾽ αὐτοῦ τοῦ τόπου τῶν ἔργων ἐστάθη ἐν Πλαταιᾷ. φασὶ δὲ ὡς μάντις τις εἶπε τοῖς Ἕλλησιν, ἐν Πλαταιᾶσιν οὖσι, καὶ βουλομένοις θῦσαι θεοῖς, ὡς, εἰ πρέπουσαν θυσίαν ἡμᾶς δεῖ ποιήσασθαι, οὐ δίκαιον συμπαραλαβεῖν τὸ εὑρισκόμενον πῦρ, ἀλλ᾽ ἑτέρωθι μετενεγκεῖν· ἐμολύνθη γὰρ ἐκ τῶν Μήδων. τότε Πλαταιεύς τις ἀπῆλθεν εἰς Δελφοὺς, καὶ ἦλθεν αὐθημερὸν χιλίους σταδίους. καὶ ἐλθὼν εἰς Πλάταιαν, καὶ ῥίψας ἐν μέσῳ τὸ πῦρ ἐτελεύτησε μὴ ἐνεγκὼν τὸν πόνον. ἐπὶ τῆς Πλαταιᾶς. τὸν μάντιν δὲ λέγουσιν εἰπεῖν τοῖς Ἕλλησι, Πλαταιαῖς οὖσιν, ὅτι, εἰ θύομεν τοῖς θεοῖς, μὴ ἀφιώμεθα παρ᾽ ἡμῖν πυρός· ἐμολύνθη γὰρ ἐκ τῶν Μήδων· ἀλλὰ πέμψωμεν εἰς Δελφούς. τότε Πλαταιεύς τις ἀπῆλθεν εἰς Δελφοὺς, καὶ ἦλθεν αὐθημερὸν χιλίους σταδίους ποιήσας. καὶ ἐλθὼν εἰς Πλαταιὰς, καὶ ῥίψας ἐν μέσῳ τὸ πῦρ, ἐτελεύτησε μὴ ἐνεγκὼν τὸν κάματον.

148,16 τοῦτο δὲ τὸ κοινὸν τῶν Ἑλλήνων ἱερὸν τὸ ἐν Δελφοῖς ἐξεκοσμήθη σὺν καλοῖς καὶ πρέπουσι τοῖς ἐπιγράμμασιν ἀναθήματα εἰς Δελφοὺς μετὰ τὴν νίκην Ἀθηναῖοι καὶ Ἕλληνες ἤγαγον, ἀσπίδας καὶ κράνη, ἐφ᾽ ὧν ἐπέγραψαν ὅτι ἀπὸ Μήδων λαβόντες ἀνέθεσαν τῷ διὰ τῶν χρησμῶν

παρεσκευακότι τὴν νίκην. ἐπέγραψαν γὰρ εἰς τὰ λάφυρα καὶ τὰς ἀσπίδας ὅτι ἀπὸ Μήδων λαβόντες ἀνέθεσαν. ἐξεκοσμήθη ἐπίτασιν ἔχει ἡ πρόθεσις.

148,17 ἐξ ἀρετῆς ἀνδρείας. ἀνδρίας. τὸν ἐκ τῆς κατασκευῆς κόσμον οἰκοδομίαν. οὐκ ὀλίγαι γὰρ αὐτῶν εἰς μεῖζον ἤρθησαν.

148,18 ὁ τῶν βαρβάρων πλοῦτος ἤτοι τὰ λάφυρα. ὁ τῶν βαρβάρων πλοῦτος εἰς τοὺς κρείττους ἐμερίσθη ἢ τοὺς Ἕλληνας δηλοῖ, ὅτι κρείττους ἦσαν κατὰ δύναμιν τῶν Περσῶν, ἢ τοὺς θεοὺς δηλοῖ, ὅτι βαρβάρων εἰς τὰ ἀγάλματα ἐμερίσθη. εἰς τοὺς κρείττους εἰς τοὺς θεούς. κἀν τούτοις ἤγουν ἐν τοῖς τῶν θεῶν ἀναθήμασι.

149,1 τῷ τῆς φύσεως κάλλει τὸ παρὰ τοῦ πλούτου καὶ τῆς τέχνης ἐφάμιλλον προσέθηκεν καθάπερ γὰρ οὖσα φύσει καλὴ, ὡς πρόσθεν ἔδειξεν, οὕτω καὶ τῷ βαρβαρικῷ ἐκοσμήθη πλούτῳ, εἵς τε κατασκευὴν ποικίλην, καὶ εἰς τὰ ἐν αὐτῇ ἱερὰ καὶ ἀγάλματα.

149,2 ὥστ᾽ εἶναι τοῖς θεοῖς. ὥστ᾽ εἶναι πᾶσαν ἀντ᾽ ἀναθήματος, μᾶλλον δὲ ἀντ᾽ ἀγάλματος ἀνάθημά ἐστι τὸ χαριστήριον, ἄγαλμα δὲ, τὸ ξόανον. τὰ οὖν ἱερὰ ἀεὶ ἐξ ἀναθημάτων κοσμοῦνται. ἡ δὲ ἀκρόπολις αὕτη κόσμος ὑπῆρχεν, ἢ οὐκ ἐξ ἑτέρου τὸν κόσμον ἐδέχετο. τῇ ἐπανορθώσει δὲ τὸν λόγον ἐκόσμησεν. ἀνάθημα μὲν γάρ ἐστι τὸ εὐχαριστήριον, τοῖς θεοῖς ἀνατιθέμενον. ἄγαλμα δὲ, ὃ καὶ εἰς χρείαν ὑπουργεῖ· καὶ γὰρ μαντεύεται, καὶ μεῖζον δέ ἐστι τῷ μεγέθει τοῦ ἀναθήματος. ἔπεμψε δὲ καὶ εἰς Μίλητον ἀναθήματα τῷ Ἀπόλλωνι τῷ καλουμένῳ Διδύμῳ. τὰς ἄλλας τιμὰς τοῖς θεοῖς ἀνῆψε ἤτοι τὰ θεῖα καὶ ἱερά. ἀνῆψε ἀνέθηκε.

149,4 τὰ δ᾽ ἐν τῇ ὑπερορίᾳ ἔπεμψαν γὰρ εἰς Μίλητον ἀναθήματα τῷ Ἀπόλλωνι τῷ καλουμένῳ Διδύμῳ.

149,5 πανταχῆ ἐν παντὶ μέρει. τὴν τοῦ κύκλου προσθήκην ποιουμένη ὁπηνίκα τὴν πόλιν ἀφέντες Ἀθηναῖοι εἰς τὰς ναῦς ἔβησαν, μέρη τινὰ τοῦ περιβόλου κατέλαβον. ἐλθὼν δὲ ὁ Ξέρξης τὰ λοιπὰ προσκατέβαλε. μετὰ γοῦν τὴν νίκην ἀνῳκοδόμησαν, μείζω τὸν περίβολον τοῦ πρόσθεν ποιησάμενοι, ὡς καὶ τὰ πρόσθεν ἐκτὸς ὄντα τῆς πόλεως ἀοίκητα τότε

περιλαβεῖν ἐντός. τὰ μέτρα λέγει τοῦ τείχους, ἐπειδὴ ἐξέτεινον αὐτὰ, καὶ πεποιήκασι τὸν περίβολον τοῦ προτέρου μείζονα, ὡς ἔνδον περιλαβεῖν ἔρημα πολλὰ τῆς πόλεως. τοῦ κύκλου τῶν τειχῶν.

149,8 μείζων γενομένη μείζονα γὰρ τοῦ περιβόλου ποιήσασθαι ὕστερον. διὸ καὶ ὁ Ἀδριανὸς ἐλθὼν, καὶ μείζονα ποιήσας τὸν περίβολον, ἔνθα μὲν ἦν πρὸ τείχους τὸ πεζὸν, ἔγραψε· τοῦτο ὁ Θησεὺς ἔκτισε, καὶ οὐκ Ἀδριανός· ἔνθα δὲ αὐτὸς ἔκτισεν, ἔγραψε· τοῦτο Ἀδριανὸς, καὶ οὐ Θησεὺς, ᾠκοδόμησεν. ἐνταῦθα μὲν, ὥσπερ ἄκων, ἐνέπεσον ἀντὶ τοῦ οὐχ ἑκὼν τοῦτο ἐποίησα, καὶ παρετράπην τοῦ λόγου, ἀλλὰ διὰ τὴν ἀκολουθίαν. εἰς τὸ εἰπεῖν περὶ τῆς τοῦ περιβόλου προσθήκης.

149,9 καθ' ὁδὸν τοῦ λόγου φοράν. ἡ γὰρ ὁρμὴ τοῦ λόγου τοῦτ' ἤνεγκεν.

149,10 εἰ κάλλιστον ἀνθρώποις τὸ πανηγυρίζειν καὶ τιμᾶν τοὺς θεούς. τὸ αὐτὸ λυσιτελέστατόν τε καὶ νικῶν ἡδονῇ τοῦτο λέγει καὶ συμφέρον καὶ ἡδονὴν ἔχον.

149,11 θεῶν πρόσοδοι καὶ ὁμιλίαι σύνεσμεν γὰρ δι' εὐχῶν τοῖς θεοῖς. ὁμιλίαι ὕμνοι.

149,13 κατ' αὐτὴν ὡς ἀληθῶς τὴν τῶν θεῶν τιμὴν κατ' αὐτὸ τὸ σέβεσθαι τὴν θεότητα. ἀντὶ τοῦ ἐπίσης καὶ ὁμοίως τοῖς θεοῖς τιμᾶσθαι. ὥσπερ γὰρ αἰτίους τοὺς θεοὺς ἡγούμεθα τῶν ἀγαθῶν, οὕτω καὶ τὴν πόλιν ταῖς τότε νίκαις αἰτίαν νομίζομεν.

149,14 ἥ τε πόλις, τό γ' εἰς ἀνθρώπους ἐλθὸν, τότ' ἐπὶ πλεῖστον αἰτία τῶν ἀποβάντων φαίνεται ἐπειδὴ τὸ τοὺς θεοὺς τιμᾶν, ὡς αἰτίους τῶν ἀγαθῶν, ἡ πόλις αἰτία, ἐξελάσασα τοὺς βαρβάρους ἐκ τῆς Ἑλλάδος, εἰκότως ἂν λέγοιτο, τὴν ὑπὸ πάντων πρὸς θεοὺς τιμὴν ὑπ' αὐτῆς γίνεσθαι, ὡς αἰτίας. τό γ' εἰς ἀνθρώπους ἐλθὸν τουτέστιν ἐν ἀνθρώποις. ἤγουν ἀνθρωπίνως.

149,15 τῶν ἀποβάντων τῶν ὕστερον γενομένων πρὸς τοὺς θεοὺς πανηγύρεων καὶ τιμῶν.

149,16 τὰ γὰρ σύμβολα τῆς εὐσεβείας αὐτῆς ταὐτὰ τοῦ κάλλους καὶ μεγέθους ἐστὶ τεκμήρια ποιήσαντες Ἀθηνᾶς ἀγάλματα κάλλιστα καὶ πολυτελῆ, καὶ δείξαντες ἐντεῦθεν τὴν αὐτῶν εὐσέβειαν, ἐκόσμησαν οὐχ ἧττον δι' αὐτῶν καὶ τὴν πόλιν. κόσμος γάρ ἐστι πόλεως καὶ τὰ τῶν θεῶν ἀγάλματα καὶ οἱ ναοί. σύμβολον λέγει εὐσεβείας τὸ ποιῆσαι ἄγαλμα τῆς Ἀθηνᾶς. τοῦτο οὖν τεκμήριον ἦν κάλλους, ὡς δι' αὐτοῦ καλλωπιζομένης τῆς πόλεως. τῆς εὐσεβείας αὐτῆς ὡς γὰρ εὐσεβεῖς τοῦτο ἐποίουν.

149,17 οὐ μὴν ἐξαρκεῖν τοῦτ' ἐνταῦθα ἡ ἀπόδοσις ἀπὸ τοῦ πρῶτον μὲν πανηγύρεις καὶ πρόσοδοι. ἀλλαχοῦ γὰρ οὐδαμοῦ ἀποδέδωκεν. εἰσβολὴ δὲ λοιπὸν ἐπὶ τὰ ἐν Ἀσίᾳ γενόμενα καὶ τὰ ἐν τῇ πεντηκονταετίᾳ.

149,18 οὐδ' ἐπὶ τοῖς τροπαίοις καθῆσθαι ἀντὶ τοῦ μὴ ἡσυχάζειν ἐπὶ τῇ νίκῃ. ἀπὸ κοινοῦ δὲ τὸ ἐξαρκεῖν.

149,19 ὥσπερ ἐπίβασιν τῶν μελλόντων τὰ ὑπάρχοντα κρίνασα ὡς ἐπὶ κλίμακος τοῦτο εἴρηκεν. ὥσπερ γὰρ ἑαυτὰς διαδέχονται αἱ κλίμακες, οὕτω καὶ αἱ πράξεις κατὰ τάξιν ἀλλήλας διαδέχονται. ἰδίως δὲ εἶπε τὴν λέξιν ἀντὶ τοῦ ἀρχὴν καὶ προοίμιον καὶ θεμέλιον.

149,20 ἐν γὰρ τοῖς δευτέροις χρόνοις ἐξηγεῖται αὐτό· λέγει γὰρ ὅτι ἐποιεῖτο τὰ δεύτερα. σημεῖον δὲ τὸ ἀμύνασθαι.

150,1 καὶ τοὺς φόβους, καὶ τοὺς κινδύνους οὓς αὐτοὶ πρότερον ἐπήγαγον ἐν τῇ Ἀττικῇ. τῶν ἐν τοῖς ἔργοις ἐκείνοις λείπει τὸ γενομένων.

150,2 τὸ σχῆμα τοῦ πολέμου τὴν τάξιν. δυοῖν γὰρ ὄντοιν ἑτέροιν πολέμοιν τρεῖς διαφόρους βούλεται εἰπεῖν πολέμους· ἕνα μέν, ὅταν τινὶ ἐπέρχεται ἀδίκως· δεύτερον, ὃν ποιοῦνται διὰ τῆς ἀμύνης οἱ ἀδικούμενοι· τρίτον, ὃν ποιοῦσι κατὰ τῶν ἐπελθόντων. τούτων πρότερον μὲν τὸν ἄδικον περιῆψε τοῖς βαρβάροις, τοὺς δὲ δύο τοὺς δικαίους τοῖς Ἀθηναίοις.

150,3 τῷ μὲν οὐχ ἕπεται τὸ δίκαιον ὁ μὲν ἀρχόμενος πολέμου ἀνδρεῖος μὲν εἶναι δοκεῖ, οὐ μὴν δίκαιος, διὰ τὸ τοῖς ἀλλοτρίοις καὶ οὐκ αὐτῷ προσήκουσιν ἐγχειρεῖν, ὁ δὲ ἀμυνόμενος ἔχει μὲν τὸ δίκαιον, οὐ μέντοι τὴν ἀνδρίαν· δοκεῖ γὰρ ὥσπερ ὑπ' ἀνάγκης νενικηκέναι. οἱ γοῦν Ἀθηναῖοι, ὡς μὲν ἀμυνόμενοι, τὸ δίκαιον εἶχον, οὐκ ἐδόκουν δὲ ἀνδρεῖοι·

τοῦτο γάρ ἐστι τὸ ἐνενικήκεσαν μὲν, τὸ δ' ἐκ περιουσίας οὐ προσῆν. ὕστερον δὲ καὶ τὴν ἀνδρείαν ἐδείξαντο, διὰ τὸ ἀντεπεξελθεῖν ἐν Μυκάλῃ τοῖς βαρβάροις· ὃ καὶ τρίτον σχῆμα τοῦ πολέμου φησί. πρότερον γὰρ τὸ ἀμύνεσθαι Ἀθηναίους, τρίτον δὲ, τὸ ἀντεπεξελθεῖν τοὺς αὐτοὺς τοῖς αὐτοῖς. τὸ δὲ ἐλευθερίᾳ μὲν τῇ τῶν ἀρχόντων τοῦτο λέγει, ὅτι ἀνδρείαν μὲν, καθάπερ οἱ μάχης ἀρχόμενοι, ἐπεδείκνυντο, ὅτε ἐπεξῆλθον. ἐπεὶ δὲ ἡ ἐπεξέλευσις οὐδέν ἐστιν ἕτερον ἢ διὰ τὸν πρόσθεν πόλεμον ἄμυνα, καὶ δίκαιοι ἦσαν. ὁ μὲν ἀρχόμενος πολέμου, ὡς ἀνδρεῖος ὢν, τοῦτο ποιεῖ, ὁ δὲ ἀμυνόμενος ἔχει μὲν τὸ δίκαιον, οὐ μέντοι τὴν ἀνδρείαν. οἱ οὖν Ἀθηναῖοι τὴν ἀρχὴν μὲν εἶχον τοῦ ἀμυνομένου, τουτέστι τὸ δίκαιον, ὕστερον δὲ διὰ τοῦ ἐπεξελθεῖν ἐν Μυκάλαις ἔδειξαν τὴν ἀνδρείαν.

150,4 διὰ τὸ φύσει γνώμην ἀνάγκης κεχωρίσθαι ἀναγκαζόμενος γάρ τις ποιεῖ ἃ οὐκ ἐβούλετο. τουτέστιν οὐ γίνεται ὁ ἀμυνόμενος.

150,5 ἀνάγκης δηλοῖ τοῦ ἀρχαιοτάτου πολέμου.

150,6 οὐ μὴν αὐτοῦ γε τὸ πᾶν, ὡς εἰπεῖν, γίγνεται καὶ δίκαιον καὶ ἀνδρεῖον εἶναι.

150,7 τὸ μὲν αἰσχρὸν ἄδικον. ἤγουν τὸ ἄρχειν. τὸ δ' ὀφειλόμενον ἤγουν ἡ ἄμυνα. ἤγουν τὸ ἀμύνασθαι.

150,8 τὸ δ' ἐκ περιουσίας ἐξ ὑπερβολῆς καὶ προαιρέσεως. ὃ δὴ τρίτον ἄν τις φαίη—ἀντεπελθεῖν αὐτοὺς δύο εἰδῶν ὄντων τοῦ πολέμου, τρίτον λέγει τοὺς Ἀθηναίους ἐξευρόντας· ἓν γὰρ τὸ κατάρξασθαι, ἕτερον δὲ τὸ ἀμύνασθαι, τρίτον δὲ τὸ ἐπεξελθεῖν, ὅπερ καὶ πεποιήκασιν Ἀθηναῖοι.

150,9 ἐλευθερίᾳ γενναιότητι. ἐλευθερίᾳ μὲν τῇ τῶν ἀρχόντων ἀντὶ τοῦ τῷ εἶναι καθαρὸν καὶ ἐλεύθερον τοῦ ἄρχεσθαι πολέμου. ἀεὶ δὲ οἱ κατάρχοντες τοῦ πολέμου ἀδικοῦσιν. οἱ οὖν Ἀθηναῖοι ἀρχόμενοι τοῦ ἐν Μυκάλῃ πολέμου οὐκ ἠδίκουν· προηδικημένοι γὰρ ἦσαν ἐν τῇ Ἑλλάδι.

150,10 τῶν ἀμυνομένων ἀντὶ τοῦ καταρχομένων· ὅτι ἀδικηθέντες ἠμύναντο.

150,12 οὐδ' ἀνάγκης τύχῃ ταῦτα πέπρακται σφίσιν ἀδικούμενοι γὰρ ἠμύναντο. ἀνάγκης τύχῃ τύχην καλεῖ τὸν πόλεμον· τύχης γὰρ ἔργον. σφίσιν τοῖς

Ἕλλησιν.

150,13 τὸ προτέρους ἄρχειν τὸ ἄρχεσθαι τοῦ πολέμου. τῆς μάχης. τῷ προτέρους ἄρχειν μὴ καλῶς ἔχειν ἡγεῖσθαι τὸ τῷ πρὸς τὸ ἡγεῖσθαι, ἵν' ᾖ ἀλλὰ τῷ ἡγεῖσθαι. ἡ ἀρχὴ ἡ αἰτία τῆς πόλεως. τοῦ πολέμου. εἰς δικαίου τάξιν δίκαιον γὰρ ἀντεπεξελθεῖν τοῖς προτέροις ἐπιστρατεύσασι.

150,14 εὖ καὶ καλῶς εἴσεσθε τίνας νενικήκατε ἀποτείνει τὸν λόγον πρὸς ἐκείνους, ὡς ἀπὸ τῆς πόλεως. ὡς ἀπὸ τῆς πόλεως πρὸς τοὺς βαρβάρους τὸν λόγον ποιεῖται. τίνας κεκινήκατε παρωξύνατε· ὡς ἀπὸ τοῦ πολέμου δὲ ὁ λόγος.

150,15 πρὸς ἀνδρείας ἐπίδειξιν ἀληθινῆς τὸ μὲν κατάρξαι πολέμου, τοῦτο, εἰ καὶ ἀνδρία δοκεῖ, ἀλλ' οὐκ ἀληθῶς δοκεῖ, ἀλλὰ θράσος τὸ τοιοῦτον, τὸ δ' οὐ μόνον ἀμύνεσθαι, ἀλλὰ καὶ αὖθις ἀντεπεξελθεῖν, ἀληθινῆς ἐστιν ἀνδρείας. καλῶς προσέθηκε τὸ ἀληθινῆς· τὸ γὰρ κατάρξασθαι πολέμου, τοῦτο οὐκ ἀληθινῆς ἐστιν ἀνδρείας, ἀλλὰ πολλάκις καὶ θάρσους. ἵνα μηδὲν ἐπαχθὲς εἴπω τὸ ἵνα μηδὲν ἐπαχθὲς εἴπω, καί φησι, διὰ τὸ εἶναι θρασύτερον λέγειν τὰ ὕστερον μείζω τῆς ἐν Σαλαμῖνι ναυμαχίας καὶ τῆς Πλαταιᾶσι μάχης, ἃ ὥσπερ ὑπὲρ φύσιν δοκεῖ γεγενῆσθαι. ἤγουν ὅτι κρείττων γεγένηται.

150,16 οὐχ ἧττον ἐναργῆ ἐκόλασεν αὐτοῦ· οὐ γὰρ εἶπε μείζονα, ἀλλ' οὐκ ἐλάττονα. πρὸς δὲ τούτοις καὶ τῶν Ἑλλήνων ἵνα μὴ μόνον ἀνδρείαν δείξῃ τῆς πόλεως, ἀλλὰ καὶ σύνεσιν.

150,17 οὐδ' εἰ μηδὲν μήτ' αὐτὴ δι' αὐτῶν, μήτ' αὐτοὶ πράττοιεν ὑπὲρ σφῶν αὐτῶν τὸ ὑπὲρ σφῶν αὐτῶν κατὰ συνεκδοχὴν λάμβανε οὕτως· οὐδ' εἰ μηδὲν μήτε αὐτὴ ἡ πόλις πράττοι ὑπὲρ σφῶν αὐτῶν τῶν Ἑλλήνων πρὸς αὐτῶν ἰδίως περὶ τῆς συνεργίας καὶ συστάσεως αὐτῶν μετὰ τῆς πόλεως, οὔτε αὐτοὶ οἱ Ἕλληνες ὑπὲρ σφῶν αὐτῶν.

150,19 οὕτως ᾤετο ἀρίστην καὶ καθαρὰν ἡσυχίαν ἅπασιν ἔσεσθαι ἐπειδὴ ἐκ ῥᾳθυμίας ἀπολαύειν ἐστὶν ἡσυχίας, οὐ μὴν καθαρᾶς, — περικόπτεται γὰρ ὁ ῥᾳθυμῶν ἔστιν ὅτε τὰ ὄντα ὑπὸ τῶν δυνατωτέρων — ὁ δὲ τῷ ὄντι πολεμικὸς ἀεὶ ἡσυχίαν ἔχει ἄλυπον, διὰ τὸ φοβερὸς εἶναι, διὰ τοῦτο εἶπε

καθαράν. μετέβαλε δὲ τὸ τοῦ Θουκυδίδου· τὸ γὰρ ἄπραγμον, φησὶν, οὐ σώζεται μὴ μετὰ δραστηρίου τεταγμένον. καθαρὰν ἢ φανερὰν, ἢ μεγάλην καὶ λαμπράν. ἐμφαίνει δὲ ὅτι ὁ πολεμικὸς ἀπολαύει καὶ ἡσυχίας τῷ εἶναι φοβερὸς, παρὰ τὸ Θουκυδίδειον· τὸ γὰρ ἄπραγμον οὐ σώζεται μὴ μετὰ τοῦ δραστηρίου τεταγμένον. σχεδὸν δὲ εἶπεν, ἐπειδὴ οἱ καθαρῶς ἄγοντες ἡσυχίαν οἱ φιλόσοφοί εἰσιν, οἱ καὶ μετὰ τὸ ἀδικεῖσθαι μὴ ἀδικοῦντες.

150,20 μόνοι γὰρ σχεδὸν οὗτοι καθαρῶς ἡσυχάζουσιν τὸ σχεδὸν εἶπεν, ἐπειδὴ καὶ οἱ φιλόσοφοι καθαρὰν μὲν ἡσυχίαν ἔχουσιν, ἀδικοῦνται δὲ, καὶ οὐκ ἀνταδικοῦσιν.

150,21 ὁ μὲν λογισμὸς οὗτος διανόησις.

151,1 διανοηθέντες δὲ οὕτω ἐντεῦθεν ἡ πεντηκονταετία. δοκεῖ σόλοικον εἶναι τὸ σχῆμα. ἔοικε δὲ τὸ ὑπερβατόν. τὸ δὲ τί χρὴ ἐν μέσῳ ἐστὶν, ἵνα ᾖ διανοηθέντες ἐνίκων.

151,2 ἐνίκων μὲν τὴν ἐν Μυκάλῃ μάχην, οὐκ ἐν ὀλίγῳ τῷ μέσῳ ὄρος Ἀσίας ἡ Μυκάλη, καταντικρὺ Σάμου. ἐκλήθη δὲ Μυκάλη, διὰ τὸ μυκήσασθαι τὴν Γοργὼ ἐκεῖσε, ὅτε ὑπὸ Περσέως ἀπετμήθη τὴν κεφαλήν. συμβαλὼν οὖν ὁ Κίμων ἐνταῦθα τοῖς τοῦ Πέρσου, κατὰ κράτος ἐνίκησε, καὶ πάντα ταῦτα, ἃ νῦν καταλέγει, ἐποίησε. διὰ δὲ τοῦ εἰπεῖν οὐκ ἐν ὀλίγῳ τῷ μέσῳ αὔξει τὴν νίκην, δεικνὺς τὸ τοῦ πολέμου μέγεθος, καὶ ὡς οὐκ ἐν ὀλίγῳ τῷ χρόνῳ γέγονεν. ἐν Μυκάλῃ ὄρος τῆς Ἀσίας καταντικρὺ τῆς Σάμου. ἐκλήθη Μυκάλη, ὅτι, ὅτε ἡ Γοργὼ ἀπετμήθη παρὰ τοῦ Περσέως, ἐν ἐκείνῳ τῷ τόπῳ ἐμυκήσατο. ταῦτα δὲ ἐποίουν Ἀθηναῖοι ἐν τῇ διώξει, μετὰ τὴν νίκην καθαίροντες τὴν Εὐρώπην. οὐκ ἐν ὀλίγῳ τῷ μέσῳ τῷ διαφόρῳ καὶ ὑπερβάλλοντι. λέγει δὲ ὅτι οὐκ ἐνίκων οὖν, ὥστε τροπὴν ποιῆσαι μόνον, ἀλλ᾽ ὥστε καὶ ἐξελάσαι αὐτοὺς ἐκ τῆς Ἑλλάδος.

151,4 τῶν ἐπελθόντων Περσῶν ἐν τῇ Ἀττικῇ πρόσθεν. ἀπὸ Στρυμόνος τοῦ ποταμοῦ. ἀπὸ Σηστοῦ τῆς πόλεως.

151,5 ὥσπερ ἄγος μίασμα. οὐκ ἐλάττω δὲ τῶν κατ᾽ ἐμπορίαν πλεόντων, ἐπ᾽ ἀγκυρῶν ὡρμίσαντο ὥσπερ γὰρ ἐκεῖνοι πανταχοῦ προσορμοῦσιν ἐμπορίας χάριν, οὕτω καὶ Ἀθηναῖοι πανταχοῦ περιέπλεον, εἴπου τις

περιλείπεται Περσῶν ζητοῦντες. ἐμιμήσαντο, φησὶν, ἐμπόρους. ὥσπερ γὰρ ἐκεῖνοι πανταχοῦ προσορμοῦσιν ἐμπορίας χάριν, οὕτω καὶ Ἀθηναῖοι πανταχοῦ περιέπλεον.

151,6 ἐπ᾽ ἀγκυρῶν ὡρμίσαντο τὸ ἐπ᾽ ἀγκυρῶν οὐκέτι πρὸς τοὺς ἐμπόρους νοητέον, ἀλλ᾽ ὡς πρὸς Ἀθηναίους· ἐπ᾽ ἀγκυρῶν γὰρ ὥρμουν, μὴ δυνάμενοι πείσμασι χρήσασθαι, τῶν πολεμίων διακοπτόντων αὐτά. ὥσπερ, φησὶν, οἱ ἔμποροι πανταχοῦ διὰ τὴν ἐμπορίαν προσπλέουσιν, οὕτω καὶ οἱ Ἀθηναῖοι πανταχοῦ προσωρμίζοντο, τοὺς ἐμπόρους μιμούμενοι. ὡρμίσαντο ἐλιμένισαν. διὰ τοῦ ἀέρος ἤτοι τὸ τάχος.

151,7 ἐν ᾧ παρῆκεν ἐκεῖνος παρῆκε γὰρ τὸ κολάσαι καὶ τιμωρήσασθαι τοὺς ἀδικήσαντας· διὰ γὰρ τὴν διάδοσιν ἀπῄει τοῦ σίτου. τὸ κολάσαι καὶ τιμωρῆσαι τοὺς ἀδικήσαντας· διὰ γὰρ τὴν διάδοσιν ἀπῄει τοῦ σίτου, καὶ οὐχ ἵνα κολάσῃ τοὺς ἀδικοῦντας. ὁ μὲν γὰρ εὖ ποιῶν εἰς κοινὸν ἅπαντας ἀντὶ τοῦ ὡς ἔτυχε καὶ κακοὺς καὶ ἀγαθοὺς εὖ ποιῶν. τῆς φύσεως δὲ εἶπεν, ἐπειδήπερ οὐκ ἤλπισαν, ὡς ἄνθρωποι, ἡττηθῆναί ποτε, ἀλλ᾽ ἀεὶ νικᾶν.

151,10 διὰ τῶν δεχομένων ποταμῶν τὰς νῆας διὰ τὸ μέγεθος. τῶν ἐπιδεχομένων· οὐ γὰρ πάντες οἱ ποταμοὶ δέχονται ναυτικά.

151,11 ἅμα δ᾽ ἠκούοντο, ἅμα δ᾽ ἐωρῶντο ἐκ τοῦ εἰπεῖν ἅμα ἠκούοντο, καὶ ἅμα ἐωρῶντο, δείκνυσι τοῦ τάχους μέγεθος καὶ προθυμίαν, ἣν ἐν τοῖς πολέμοις παρείχοντο. εἰκότως δὲ εἶπε τὸ χορείαν· παίζοντες γὰρ ἐνίκων, καὶ οὐχ ὑπ᾽ ἀνάγκης. εἰπὼν δὲ χορείαν, ἐπεκράτησε τὴν τροπήν· τὸ γὰρ πυκνὸν, καὶ τὸ σύντονον, καὶ τὸ ἐξήλαντο, χορείας ἐστὶ τῆς εὔρυθμα καὶ μουσικὰ σκιρτήματα ἐχούσης.

151,12 ἐνόπλιόν τινα καὶ πολέμου χορείαν τὴν καλουμένην πυρρίχην. τὴν καλουμένην πυρρίχην· καὶ οὕτω καλεῖται ἡ ἔνοπλος ὄρχησις.

151,13 ὥστε καὶ Λακεδαιμόνιοι τοῖς μὲν πρώτοις τῶν ἔργων παρεγένοντο μέχρι γὰρ τίνος εἵποντο τῷ Κίμωνι. τοῖς μὲν πρώτοις τῶν ἔργων ἤγουν ἐν τῇ πρὸς Μυκάλην μάχῃ.

151,14 ἀπῆραν ὑπέστρεψαν· φησὶ καὶ ὁ Θουκυδίδης.

151,15 τοὺς ἀπὸ τῆς Ἀσίας ἤγουν τοὺς Ἴωνας. ἀπὸ τῆς Ἀσίας Ἰωνίας.

151,16 ἐπ᾽ ἐκείνους κατ᾽ ἐκείνους. τούτοις ἐχρῶντο ἀποχρῶσι οὐδὲν γὰρ πλέον ἐζήτησαν τούτους ἔχοντες.

151,17 ἀποχρῶσι ἀρκοῦν. καὶ ἦν αὐτοῖς ἀφορμὴ κατὰ τοῦ βασιλέως, τὰ τοῦ βασιλέως πράγματα ὑπήκουον γὰρ οὗτοι αὐτῷ.

151,20 ἐν μέσῳ τῷ Αἰγυπτίων πελάγει ὡς φοβερὸν τοῦτο λέγει· τὸ πέλαγος· λέγεται γὰρ μέγα εἶναι.

151,21 πρὸς πᾶσαν τὴν Περσῶν ἀρχὴν τὸ πρᾶγμα εἶπεν ἀντὶ προσώπου. ἐχρῆν γὰρ εἰπεῖν τοὺς ἀρχομένους.

152,1 ἤδη δὲ καὶ δύο τρόπαια εἰς μίαν ἡμέραν ἦλθε εἰς τὰς αὐθημερὸν ταύτας νίκας Σιμωνίδης ὕμνησε, λέγων
Ἐξ οὗ τ᾽ Εὐρώπην Ἀσίας δίχα πόντος ἔκρινε,
καὶ πόλιας θνητῶν θοῦρος Ἄρης ἐφέπει,
οὐδενί πω κάλλιον ἐπιχθονίων γένετ᾽ ἀνδρῶν
ἔργον ἐν ἠπείρῳ καὶ κατὰ πόντον ὁμοῦ.
οἵδε γὰρ ἐν γαίῃ Μήδων πολλοὺς ὀλέσαντες
Φοινίκων ἑκατὸν ναῦς ἕλον ἐν πελάγει
ἀνδρῶν πληθούσας· μέγα δ᾽ ἔστενεν Ἀσὶς ὑπ᾽
αὐτῶν
πληγεῖσ᾽ ἀμφοτέραις χερσὶ κράτει πολέμου.
σημαίνει τὸ Κίμωνος κατόρθωμα, ὅτε ἐν μιᾷ ἡμέρᾳ ἐνίκησε καὶ ναυμαχίαν καὶ πεζομαχίαν. ταῦτα καὶ Θουκυδίδης λέγει ἐν τῇ πεντηκονταετίᾳ. τὸ δὲ δεύτερον μέρος τοῦ λόγου εἰς αὐτὸ τοῦτο πληροῦται, ἀρχὴν δὲ ποιεῖται τοῦ τρίτου μέρους τὸν Πελοποννησιακὸν πόλεμον.

152,2 περιεγένετο παραδόξως τὸ περιεγένετο εἶπεν, ἀντὶ τοῦ ἐκέρδανε· κέρδος δὲ εἶπε τὸ ἐπίσημον αὐτοῦ γενέσθαι τὴν χώραν τοῖς τροπαίοις.

152,3 ὅ γ᾽ οὖν Εὐρυμέδων οὐχ ἥκιστα δὴ διὰ τούτους ᾄδεται Εὐρυμέδων, ποταμὸς Παμφυλίας, ἐν ᾧ ἡ πεζομαχία γέγονεν. τόπος Παμφυλίας.

152,4 λινοδέσμῳ σχεδίᾳ τὸ ἀπὸ λίνου σχοινίον λινόδεσμον καλεῖται, ὃ λέγομεν καννάβινον. τοὺς πορθμοὺς ἤγουν τὸν Ἑλλήσποντον.

152,6 καλλίστοις ἁπάντων ἐφοδίοις ἀντὶ τοῦ ἰδίοις καὶ οἰκείοις πλεονεκτήμασι. τὸ δὲ ἐφοδίοις καταχρηστικῶς ἐπ᾽ ἀνδρείας εἶπε· κυρίως γὰρ τὰ ἐν τῇ ὁδῷ ἀναλώματα ἐφόδια καλοῦνται.

152,7 καθαρῶς οἴκοθεν οἰκεῖα γὰρ Ἀθηναίοις φρόνησις καὶ ἀνδρία. τὰ δ᾽ ἄλλα κοινὰ πλοῦτος, δόξα, καὶ ὅσα τοιουτότροπα.

152,8 εἰ δὲ βούλει, ἀρετῆς τὸ σχῆμα διορθωτικὸν, ὡς τὸ μᾶλλον. καὶ ταῦτα οὖν, φησὶν, ἀνδρείας ἐστὶ δῶρα, οὐ τύχης. ὑπάρχει μὲν γὰρ καὶ τοῖς χείροσιν ἐξ ἀρχῆς ὁ γὰρ ἀνδρεῖος παρὰ τοῦ ἀσθενοῦς λαμβάνει.

152,9 ἐπιεικῶς ἀντὶ τοῦ γνησίως καὶ βεβαίως.

152,10 τοῦ καταφρονηθῆναι ὑπὸ τῶν ἰδίων ὑπηκόων.

152,11 ὥστ᾽ ἐκινήθησαν μὲν οἱ πρὸς Φάρῳ Λίβυες Ἴναρος, ὁ Ψαμμιτίχου, ὢν Λιβύων βασιλεὺς, ἐκπλαγεὶς πρὸς τὴν τῶν Ἀθηναίων ἔφοδον, ἀποστὰς ἐκ τοῦ βασιλέως αὐτοῖς προσεχώρησεν. ἐκινήθησαν, ἀντὶ τοῦ ἀπέστησαν· λέγει γὰρ καὶ Θουκυδίδης «Ἴναρος δὲ, ὁ Ψαμμητίχου, Λιβύων βασιλεὺς, ἀπέστη ἀπὸ βασιλέως.» συναπέστησαν δὲ Αἰγύπτιοι, βασιλεὺς δὲ ᾔτησαν Αἰγύπτιοι τὸν βασιλέα τινὰ αὐτοῖς συμφέροντα. ὁ δὲ συνέθετο ταῦτα κατὰ γνώμην αὐτοῖς τελέσαι. αὔξει δὲ ἐντεῦθεν Ἀθηναίους, ὅτι καὶ εὐεργετούμενοι παρὰ βασιλέως Αἰγύπτιοι, τοῦτον ἀφέντες προσεχώρησαν.

152,12 καίτοι τἄλλα κατὰ νοῦν περὶ αὐτοὺς πρᾶξαι δοκῶν ἤλπιζε γὰρ μᾶλλον τῶν ἄλλων βοηθοὺς αὐτοὺς ἕξειν. κατὰ νοῦν καταθυμίως.

152,13 ἀπόλλυσιν Αἰγύπτου μοῖραν οὐκ ὀλίγην, τὸ Ἕλος μέρος τι τῆς Αἰγύπτου Ἕλος καλεῖται, ὃ πρὸς Ἀθηναίους ἐχώρησεν. ἰστέον δὲ ὅτι πᾶσα ἡ Αἴγυπτος, ὑπήκοος οὖσα Πέρσαις, δὶς ἀπ᾽ αὐτῶν ἀπέστη, ἐπὶ Καμβύσου καὶ Ξέρξου, καὶ πάλιν αὐτοῖς ὑπήκουσεν ὑπὸ πολέμου καταδουλωθεῖσα. πρότερον δ᾽ ᾑρήκει πᾶσαν δὶς ἤδη δεύτερον ἀποστάντας Αἰγυπτίους Πέρσαι κατεδουλώσαντο, ἅπαξ ἐπὶ Καμβύσου, καὶ ἅπαξ ἐπὶ Ξέρξου.

152,14 τῶν ἐξ οὐρανοῦ βελῶν βροντῶν, κεραυνῶν, ἀστραπῶν καὶ χαλαζῶν. οὐράνια καλεῖ βέλη, ἃς εἶπεν ὄπισθεν διοσημείας, κεραυνοὺς, βροντὰς, καὶ τὰ τοιαῦτα. βροντὰς, κεραυνοὺς καὶ χάλαζαν οὐρανοῦ βέλη λέγει. τῶν εἰς κοινὸν πολιτευσαμένων ἀντὶ τοῦ ὑπὲρ τοῦ κοινοῦ, ἢ τῶν κοινὴν ἐχόντων φροντίδα.

152,15 τὴν μὲν οἰκείαν, ὥσπερ ἀλλοτρίαν ἐνόμισαν διὰ τὸ καταφρονῆσαι αὐτῆς.

152,16 τῶν σὺν κακίᾳ νεμομένων κακίᾳ νῦν λέγει, τῇ ἀσθενείᾳ. λέγει δὲ ὅτι τὴν τῶν ἀσθενῶν ἰδίαν πόλιν ἀλλοτρίαν αὐτῶν ἐνόμισαν, ὡς ἀναξίων αὐτῶν ἔχειν τὴν πόλιν. φυλάκων δ' ἐβίωσαν βίον ἰστέον ὅτι οἱ φυλάσσοντές τι οὐ μόνον ἐφ' ἑνὸς ἵδρυνται τόπου, ἀλλὰ καὶ περιέρχονται, ἄνω καὶ κάτω σκοποῦντες· τοὺς δὲ τοῦτο ποιοῦντας περιπόλους καλοῦσιν. φυλάκων εἴδη διάφορα· οἱ μὲν γάρ εἰσι φύλακες τόπου τινὸς ὡρισμένου, οἱ δὲ περίπολοι πανταχοῦ περιερχόμενοι.

152,17 τοῦ διὰ πάσης γῆς Ἑλληνικοῦ ἀντὶ τοῦ πανταχοῦ Ἑλληνικοῦ. πανταχοῦ γὰρ ἦσαν ἄποικοι Ἑλλήνων.

152,18 πολεμίους δὲ οὐ τοὺς ἀσθενεστάτους εἵλοντο τίς γάρ ἐστι φιλοτιμία τούτους νικῆσαι; τοὺς πλεῖστα ἀνέχεσθαι δυνατωτάτους οὐκ εἶπε τοὺς πλεῖστα δυναμένους δρᾶν· ὑβρίζει γὰρ Ἀθηναίους· ἀλλ' εἶπε πάσχοντας, ἵνα δείξῃ αὐτοὺς ἰσχυρούς. λέγει δὲ τοὺς Πέρσας. ἐγκώμιον δὲ καὶ τοῦτο Ἀθηνῶν τὸ πρὸς ἰσχυροὺς ἔχειν. ἡ γὰρ τούτων νίκη ἐνδοξοτάτους τοὺς ἐργασαμένους καθιστᾷ.

152,19 ἑνὸς μὲν, τοῦ μηδὲν τῶν ἐσχάτων, ὅσον ὃ λέγει τοιοῦτόν ἐστιν· ὅτι ἐβούλοντο Ἀθηναῖοι μὴ δόξαι τοὺς Ἕλληνας ἐλλειπεῖς τῶν βαρβάρων εἰς ταῦτα, ὅσα κατὰ τῆς Ἑλλάδος ἐνενόουν καὶ παρεσκευάζοντο Πέρσαι πρότερον πράττειν, ὥστε ταῦτα αὐτοὺς ὑφ' Ἑλλήνων παθεῖν. ὃ λέγει τοιοῦτόν ἐστιν· ὅτι ἠβούλοντο Ἀθηναῖοι τοσαῦτα τοὺς Πέρσας ὑφ' Ἑλλήνων παθεῖν, ὅσα αὐτοὶ κατὰ τῆς Ἑλλάδος ἐνενόουν καὶ παρεσκευάζοντο πράττειν. τὸ ἀντιπῖπτον λύει· ἀλλ' οὐδ' ἐνίκησαν. οὐδὲν γὰρ ἔβλαψαν. ἄλλ' ὅσον, φησὶν, ἦκε πρὸς αὐτοὺς, ἠδίκησαν. τῆς οὖν γνώμης καὶ τῆς ἐπιχειρήσεως δίκαιον ἐνόμιζον ἀμύνεσθαι αὐτούς.

152,20 τὸ μὴ οὐ πεπονθότας εἶναι τοὺς βαρβάρους.

153,3 ὥσπερ ἂν εἰ πρὸς φλόγα πολλὴν ἐπιοῦσαν ὕλην ἐπῃρμένος ἠγωνίζετο ὕλην, φησὶ, βαστάζων ἠγωνίζετο, καθάπερ ὅπλῳ τῇ ὕλῃ χρώμενος, ἵνα πως θᾶττον ἡττηθῇ. ἐπιοῦσαν καταλαβοῦσαν· ὅταν γὰρ ὕλην φλὸξ πολλὴν καταλάβῃ, τίς ἂν παῦσαι δύναιτο;

153,4 ἀνηλίσκετο αὐτὸς ἐξ αὑτοῦ πρὸς τὸ παράδειγμα εἴρηται τοῦτο. ὥσπερ, φησὶ, καὶ ἡ ὕλη αἰτία τοῦ καίεσθαι γίνεται. τὴν χώραν ἐπιτείχισμα τῆς ἑαυτοῦ σωτηρίας ἔχων ᾔσθετο χώραν λέγει τὴν Ἀσίαν. ᾔσθετο οὖν, φησὶ, τὴν χώραν τὴν ἑαυτοῦ ὁρμητήριον οὖσαν κατ᾽ αὐτοῦ, ὅτι ἐξ αὐτῆς ὁρμώμενοι Ἀθηναῖοι ἔβλαπτον αὐτόν. ἐπιτειχίσματα δὲ φαμὲν φρούρια καὶ πύργους, οὓς πρὸ τῆς τῶν πολεμίων χώρας ποιοῦντες, ἐντεῦθεν αὐτοῖς ὁρμώμενοι λυμαινόμεθα. ἐπιτείχισμα βλάβην.

153,5 τὸ τρίτον ἤγουν τὴν σωτηρίαν. ἐπεθύμησε μὲν γὰρ τοῦτο πρῶτον.

153,8 τὴν οὖν σωτηρίαν τοῦτο τρίτον.

153,9 ἐκ γῆς καὶ θαλάττης τουτέστι κατὰ γῆν καὶ θάλατταν. οὐχ ὅσον, φασὶ, πρύμναν κρούσασθαι τὸ πρύμναν κρούσασθαι παροιμία ἐστὶν ἐπὶ τῶν πρὸς ὀλίγον μεταχωρούντων. τοιοῦτον δέ ἐστι καὶ τὸ ἐπὶ πόδα ἀναχωρεῖν, ὃ καλεῖ Ὅμηρος ἐντροπαλισμόν. παροιμία ἐπὶ τῶν πρὸς λόγον ὑποχωρούντων. εἴρηται δὲ ἀπὸ τῶν ὑποχωρούντων ἐν ταῖς ναυμαχίας. οὐδ᾽ ὡς ἐπὶ πόδα ἀναχωρῆσαι ὃ καλεῖ Ὅμηρος «᾽Εντροπαλιζόμενος ὀλίγον γόνυ γουνὸς ἀμείβων.»

153,10 ἀφῆκε πάντα μὲν τὸν κάτω τόπον, —εἶναι τὸ σύμπαν τὸ παρὰ θάλατταν λέγει τὸ τῆς Ἰωνίας. οὕτω καὶ Δημοσθένης «Ἵππου μὲν δρόμον ἡμέρας μὴ καταβαίνειν ἐπὶ θάλατταν βασιλέα.» ταῦτα δὲ Καλλίας ὁ πρεσβευτὴς συνέθετο μετὰ τὰ Μηδικὰ, καὶ ὅτι κατὰ θάλατταν ἐντὸς Κυανέων μὴ εἰσιέναι βασιλέα.

153,11 τὰς νήσους ἃς πρότερον κατεδουλώσατο, κατ᾽ Ἀθηναίων στρατεύων. τοὺς ἐν ταύταις παντοδαποὺς Ἕλληνας ἐκ τοῦ εἰπεῖν παντοδαποὺς δείκνυσιν ὅτι διάφορα γένη Ἑλλήνων ταύτας κατῴκει· οἱ μὲν γὰρ Μιλήσιοι ἐκαλοῦντο, οἱ δὲ Νάξιοι, ἄλλοι δὲ ἄλλως.

153,12 τοὺς τὴν ἐκείνου χώραν κατοικοῦντας— τοὺς τὴν ἀρχαίαν Ἑλλάδα εἶπεν ἄνω μυριάδας σταδίων παρακεχωρηκέναι αὐτόν· εἰκότως οὖν οἱ βάρβαροι, τουτέστιν οἱ οἰκοῦντες τὴν χώραν, ἦσαν ἐλεύθεροι.

153,14 τὸν μέχρι Πηνειοῦ τόπον Πηνειὸς, ποταμὸς Θετταλίας, ὃς διὰ τῶν Θετταλικῶν τεμπῶν ῥέει, καὶ καλεῖται Σαλαβρία. Πηνειὸς, ποταμὸς Θετταλίας, ἔξω τῶν τῆς Ἑλλάδος πυλῶν. ἰστέον ὅτι δύο Πηνειοὶ εἰσίν· ὁ μὲν γὰρ διὰ τῶν Θετταλικῶν τεμπῶν ῥέει, καὶ καλεῖται Σαλαβρία· ὁ δὲ ἐν Μασσαλίᾳ ἐστὶ, περὶ οὗ νῦν λέγει. τὸ θαυμαστὸν ἀφεῖλον τὸ μέχρι τῆς Ἀττικῆς. ἔδει εἰπεῖν ὅτι τὸν μέχρι τῆς Ἀττικῆς εἶχε τόπον. ὡς δή τι θαυμαστὸν λέγων τὸ μέχρι Πηνειοῦ. ὅτι μέχρι τοῦ Πηνειοῦ ἦρχε.

153,15 ἕως ἐνέτυχε τοῖς ἐκ τῆς Ἀττικῆς ἐν τῇ θαλάσσῃ ἐν τῇ Σαλαμῖνι. τὴν ἐν Σαλαμῖνι ναυμαχίαν λέγει. παρελήλυθε ἔφυγε.

153,16 τὸν ὀμφαλὸν τῆς γῆς τε καὶ τῆς Ἑλλάδος, τοὺς Δελφοὺς ὥσπερ ἐπὶ σώματος ἀνθρωπίνου ὁ ὀμφαλός ἐστι μέσον, οὕτω καὶ οἱ Δελφοὶ τὸ μέσον εἰσὶ πάσης τῆς γῆς, καὶ ὀμφαλοῦ τόπον ἐπέχουσι. φασὶ γὰρ ὡς ὁ Ζεὺς βουλόμενος ἀνθρώποις τὸ μέσον τῆς γῆς ἐμφανίσαι, δύο ἀετοὺς ἰσοπετεῖς ἀπὸ τῶν ἄκρων τῆς γῆς ἀπέλυσε, καὶ συναντηθέντες εἰς Δελφοὺς δῆλον τὸ μέσον τῆς γῆς ἐποίησαν. ὀμφαλὸν ἐκάλεσε τῆς οἰκουμένης τοὺς Δελφούς. φασὶ γὰρ ὅτι ὁ Ζεὺς βουλόμενος γνῶναι τὸ μέσον τῆς γῆς ἀετοὺς ἀπὸ τῶν ἄκρων τῆς γῆς ἀπέλυσε, καὶ συνήντησαν ἑαυτοῖς εἰς Δελφούς. ἐκ δὲ τῶν τῆς πόλεως ἀγώνων τῶν ἐν Μαραθῶνι καὶ Σαλαμῖνι καὶ ἐν Ἀσίᾳ.

153,17 ἐκ δὲ τῶν τῆς πόλεως—ἀποστόλων εἰς τοῦτο κατῆλθεν ἀποστόλους λέγει, ἃ διὰ θαλάττης ἡ πόλις κατ᾽ αὐτοῦ στρατόπεδα ἔπεμψεν. εἰκότως δὲ εἶπε τὸ κατῆλθε, δεικνὺς ὅτι ἀπὸ μεγάλης ἀρχῆς καὶ δυνάμεως εἰς μικρὰν κατηνέχθη. εἰς τοῦτο κατῆλθεν ἐταπεινώθη.

153,18 Χελιδονίας πέτρας. Κυανέας τὰς Συμπληγάδας λέγει. ἃς καὶ Συμπληγάδας φασίν. θέμενος ὅρους. θαλάττης δ᾽ ἀφέξειν ἴσον πανταχῆ σταδίους πεντακοσίους ὥσπερ ἐν τῷ κύκλῳ κέντρον ἐπίσης ἀφέστηκε πανταχῆ τῶν τοῦ κύκλου μερῶν, οὕτω καὶ οὗτος ὑπέσχετο, σταδίους πεντακοσίους ἐν πάσῃ τῇ ἐπικρατείᾳ αὐτοῦ θαλάττης ἀφέξειν, ὃ καὶ

κύκλον καλεῖ. βιάζει δὲ τοῦτο ὁ ῥήτωρ, αὔξων τὸ τῆς πόλεως ἐγκώμιον· οὐ γὰρ ἐν πᾶσι τοῖς μέρεσι τῆς ἀρχῆς αὐτοῦ τὴν ἀπόστασιν ταύτην ἐποιήσατο, ἀλλ᾽ ἐν τῷ πρὸς τοὺς Ἕλληνας.

153,19 ἀντ᾽ ἄλλου τινὸς στεφάνου ὡς ἐπὶ στεφάνου εἶπε, σημαίνων δόξαν καὶ νίκην.

153,20 ὑπὲρ κεφαλῆς αὐτῶν. τὴν φρουρὰν ἐξ αὐτῆς τῆς χώρας τοῦ βασιλέως ἀπὸ κοινοῦ τὸ εἶναι.

154,2 ἐξ ἀμφοτέρων τοῦ τε πολέμου καὶ τῆς εἰρήνης.

154,3 ἐπεξῆλθεν τοῖς βαρβάροις.

154,5 κατέκλεισε περιέλαβε. Δημοσθένης ἐν Φιλιππικοῖς «Νόμῳ κατακλείσητε.» ἢ ἀντὶ τοῦ ἐπεβεβαίωσεν, ἐπεσφραγίσατο. ἐπεσφραγίσατο.

154,6 σὺν πολλοῖς ὅμως ἐναντιώμασι τῶν Ἑλλήνων καλῶς εἶπεν ἐναντιώμασιν, ἐπειδὴ ἐν ἑνὶ καιρῷ ἐπολέμει ἐν τῇ Ἀσίᾳ καὶ ἐν τῇ Ἑλλάδι. τὸ δὲ ἀφεστηκότων τῇ γνώμῃ Λακεδαιμονίων εἶπε, διὰ τὸ μὴ κωλύειν τοὺς πολεμοῦντας. τεχνικῶς δὲ πάλιν καλύπτει τὸ πλεονεκτικὸν τῶν Ἀθηναίων· ἐπολέμει γὰρ τοὺς Ἕλληνας, βουλομένη πολλοὺς αὐτῶν χειρώσασθαι. πρὸς Λακεδαιμονίους καὶ Θηβαίους καὶ ἄλλους.

154,7 πάντων ὥσπερ ἀνθελκόντων ἀντὶ τοῦ ἐπισπωμένων καθ᾽ ἑαυτῶν. ἀφεστηκότων ἐπιτιθεμένων, ἐναντιουμένων. τῇ γνώμῃ τῇ βουλῇ τῶν Ἀθηναίων.

154,8 πολεμούντων κατὰ γῆν. Αἰγινητῶν δ᾽ ἐναντία ναυμαχούντων Ἐπιδαυρίοις λιμώττουσιν ἔχρησεν ὁ θεὸς ἀγάλματα ποιήσασθαι Ταμίας καὶ Αὐξησίας, οἵ εἰσι θεοὶ ἔφοροι τῶν ταμείων καὶ τῆς τούτων αὐξήσεως, ἀπὸ ξύλου ἐλαίας ἱερᾶς τῆς ἐν ἀκροπόλει. οἱ δὲ ἐλθόντες εἰς Ἀθήνας ἐδέξαντο τὸ ξύλον φόρον τινὰ φέρειν ταξάμενοι. Αἰγινῆται δὲ μετὰ ταῦτα πολεμοῦντες πρὸς αὐτοὺς, καὶ νικήσαντες τήν τε πόλιν ἐπόρθησαν, καὶ τὰ ἀγάλματα ἔλαβον. ἀπαιτούμενοι δὲ τὸν φόρον Ἐπιδαύριοι ἔφησαν μὴ

ἔχειν τὰ ἀγάλματα, δίκαιον δὲ εἶναι τοὺς ἔχοντας παρασχεῖν· καὶ οὕτως ἀναγκάζονται Ἀθηναῖοι πρὸς Αἰγινήτας ἄρξασθαι πόλεμον. τὴν μάχην αἰνίττεται τὴν περὶ τῶν ἀγαλμάτων. Ἐπιδαυρίοις γὰρ λιμώττουσιν ἔχρησεν ὁ θεὸς ἀγάλματα ποιήσασθαι Ταμίης καὶ Αὐξησίης, δαιμόνων τινῶν ἀπὸ ξύλου ἐλαίας, ἢ ἱερᾶς τῶν ἐν ἀκροπόλει. οἱ δὲ ἐλθόντες— Αἰγινήτας ἄρασθαι πόλεμον. οὓς εἶναι τὰ ναυτικὰ πρώτους καὶ ὁ Ἡρόδοτος αὐτοῖς δίδωσι τὰ πρωτεῖα τῆς ἐν Σαλαμῖνι ναυμαχίας, ὡς ναυτικοῖς ἔπαινος οὖν Ἀθηναίων ἐστὶν, ὅτι τοὺς ναυτικοὺς ἐνίκησαν. μεγάλην γὰρ δόξαν ἐπὶ τούτοις ἔχουσι.

154,9 Κορινθίων διὰ Μεγαρέας παρωξυμμένων Κορίνθιοι περὶ τῶν ὅρων ἐπολέμουν πρὸς Μεγαρέας. Ἀθηναῖοι οὖν Μεγαρεῦσι βοηθήσαντες πολεμίους σφίσιν αὐτοῖς Κορινθίους ἐποιήσαντο. Κορινθίων γὰρ περὶ τῆς γῆς ὅρων πολεμούντων πρὸς Μεγαρέας, Ἀθηναῖοι Μεγαρεῦσιν ἐβοήθησαν.

154,10 Ἐπιδαυρίων δὲ καὶ Σικυωνίων σὺν Κορινθίοις ἐξεταζομένων οὗτοι γὰρ Κορινθίοις συνεμάχουν κατὰ τῆς πόλεως. καὶ οὗτοι διά τινα αἰτίαν μετὰ Κορινθίων Ἀθηναίοις ἐπολέμουν.

154,11 Ναξίων δὲ καὶ Θασίων καὶ Καρυστίων κακῶς περὶ τῆς συμμαχίας βουλομένων οὗτοι συμμαχοῦντες Ἀθηναίοις ἐν τῇ περὶ Πλάταιαν μάχῃ Λακεδαιμονίους πρὸς τούτοις ἀπέστησαν. οὗτοι πάντες σύμμαχοι ὄντες Ἀθηναίοις ἀπέστησαν πρῶτοι. Θασίων οὗτοι γὰρ ἀπέστησαν πρῶτοι, ὡς Θουκυδίδης φησὶν ἐν τῇ πεντηκονταετίᾳ. ἀλλὰ καὶ οἱ Καρύστιοι

154,12 καλούντων δὲ Φωκέων ἦλθον γὰρ καὶ αὐτοὶ τότε συμμαχίαν αἰτοῦντες, Λακεδαιμονίων αὐτοῖς ἐπεμβαινόντων. Φωκεῖς Ἀθήναζε ἦλθον αἰτούμενοι συμμαχίαν, Λακεδαιμονίων αὐτοῖς ἐπεμβαινόντων. καλούντων δὲ Φωκέων, καλούντων δ’ αὖθις Λακεδαιμονίων πάλιν πρὸς συμμαχίαν· ἢ ἀντὶ τοῦ ἀποστῆναι θελόντων, καὶ μηκέτι εἶναι ὑπηκόων, δηλονότι εἰς συμμαχίαν, καὶ διὰ τὸ ἱερὸν, ὥς φησιν ὁ συγγραφεὺς, ὅτι Λακεδαιμόνιοι Δελφοῖς δεδώκασιν ἀφελόμενοι Φωκέων. λέγει δὲ νῦν τὴν μάχην τὴν πρὸς τοὺς Εἵλωτας γενομένην, ὅτι ἐν σεισμῷ ἀπέστησαν· ὅθεν ἡ ἀρχὴ τῆς ἔχθρας αὐτοῖς γέγονεν, ὥς φησι Θουκυδίδης. καλούντων

δὲ αὖθις Λακεδαιμονίων διὰ τὴν τῶν Εἱλώτων ἐπανάστασιν, καὶ τὴν τῶν σεισμῶν ἐπίθεσιν. θαυμαστοῦ δὲ κύκλου πραγμάτων ὄντος κατὰ τὴν Ἑλλάδα διὰ τοῦ εἰπεῖν κύκλου δείκνυσιν ὅτι πανταχόθεν ἀπήντων αὐτοῖς ταραχαί.

154,13 μόνοις τούτοις τοῖς κατὰ τὴν Ἑλλάδα.

154,15 ᾗ διό. καθὰ, ἢ ὅπου. ᾗ καὶ διαφερόντως ἄξιον συνησθῆναι τῇ πόλει εἰπὼν ᾗ, ἵνα μή τις νοήσῃ διὰ τὴν ἀφήγησιν λέγεσθαι, προσέθηκε τῇ πόλει. ἢ τὸ ᾗ ἀντὶ τοῦ ὅπου. εὕρηται γὰρ καὶ η καὶ ο καὶ ι τὸ η ἀντὶ τοῦ ὅπου. ᾗ καὶ διαφερόντως ἄξιον συνησθῆναι τῇ πόλει τὸ ᾗ ἐνταῦθα ἀντὶ τοῦ διὸ ἐστί. σοφίζεται δὲ πάλιν· τὴν γὰρ ἀδικίαν αὐτῆς περιστέλλει· ὅτι, φησὶν, ἐν τῇ Ἀσίᾳ ὑπὲρ αὐτῶν πολεμοῦσα οὐκ ὠργίσθη, καὶ ἀπέστη πολεμουμένη ὑπ᾽ αὐτῶν.

154,18 ὑπὲρ τῶν κοινῇ συμφερόντων τῇ Ἑλλάδι.

154,19 τῇ μεγαλοψυχίᾳ μεγαλοψυχίαν νῦν λέγει τὴν καταφρόνησιν· ὅτι οὐκ ἐλυπήθη ἐπὶ τοῖς Ἕλλησι. χωρὶς τοῦ πρὸς τοσαῦτα μερισθῆναι, καὶ πάντων ὑπερβατόν ἐστι· τοῦτο γὰρ πρὸς τὸ χωρὶς ἀποδέδωκεν· ἵνα χωρὶς τοῦ παρέχειν τινὰ γνώμην θαυμάσαι. τοῦ τοσαῦτα δὲ τοῦτο πολεμεῖν καὶ μετὰ τῶν Ἑλλήνων καὶ μετὰ τοῦ βαρβάρου. τὸ χωρὶς ἀπὸ κοινοῦ. ὑπερβατόν ἐστι· χωρὶς τοῦ παρέχειν θαυμάσαι τῆς παρασκευῆς τὴν ὑπερβολὴν καὶ τῆς γνώμης τὴν ἀνδρείαν. πρὸς τοσαῦτα μερισθῆναι ὅσα ἔφημεν, λέγω πρὸς βαρβάρους καὶ πάντας ἐν μέρει τοὺς Ἕλληνας.

154,20 τῆς μὲν γνώμης τὴν ἀνδρείαν, τῆς δὲ παρασκευῆς τὴν ὑπερβολὴν παρέχειν τὸ μὲν τῆς γνώμης ἀνδρίαν παρέχειν σύναπτε πρὸς τὸ προσθεῖναι, τὸ δὲ χωρὶς τοῦ τοσαῦτα διὰ μέσου λάμβανε, λαμβάνων ἔξωθεν τὸ ὥστε πρὸς τὸ παρέχειν. τὴν ἀνδρείαν ἤγουν τὸ ἡρωικὸν καὶ γενναῖον. τῆς δὲ παρασκευῆς τὴν ὑπερβολὴν πρὸς πάντας γὰρ Ἕλληνας καὶ βαρβάρους ἐμάχοντο.

155,1 παρέχειν ὥστε.

155,2 οὕτω διῳκήσατο περιεγένετο, φησὶ, τῶν δύο, ὥσπερ ἕνα μόνον ἔχουσα πόλεμον, ἢ Ἑλληνικὸν, ἢ βαρβαρικόν. τοῖς ἐνοχλοῦσι τῶν Ἑλλήνων ἐκ

τοῦ εἰπεῖν ἐνοχλοῦσι δείκνυσιν ὡς οὐδὲν ἦσαν πρὸς αὐτὴν πολεμοῦντες οἱ Ἕλληνες. καλῶς τοῖς ἐνοχλοῦσιν· ἡ γὰρ λέξις τὴν ἀσθένειαν τῶν ἐναντιουμένων ἐδήλωσεν· οὐ γὰρ ἔβλαπτον, ἀλλ᾽ ἠνώχλουν.

155,3 ταῦτ᾽ τὰ κατ᾽ αὐτῶν ἀνδραγαθήματα. ἃ κατ᾽ αὐτῶν ἔπραξεν.

155,4 ὥσπερ ἄλλ᾽ ἄττα συλλήβδην ἀριθμούμενα ὥσπερ, φησὶν, οἱ ἀριθμοὶ ἑνὶ μὲν ὀνόματι κέχρηνται, πολλὰ δὲ περιέχουσιν, οὕτω καὶ ἐπὶ τῶν Ἀθηναίων.

155,5 ἐνίκων δ᾽ Αἰγινήτας πρὸς Αἰγίνῃ ὅτι καὶ ναῦς ἑβδομήκοντα αὐτῶν ἔλαβον, Λεωκράτους τοῦ Στροίβου στρατηγοῦντος Ἀθηναίοις. ἐνίκησαν γὰρ τότε, καὶ ἔλαβον τῶν Αἰγινητῶν ναῦς ἑβδομήκονται Λεωκράτους τοῦ Στροίβου στρατηγοῦντος. Αἴγινα δέ ἐστι νῆσος ἐπικειμένη τῇ Πελοποννήσῳ.

155,6 Μεγαρεῦσι δ᾽ ἔστησαν τείχη μέχρι θαλάττης εἰς βοήθειαν αὐτῶν.

155,7 ἐνίκων δὲ Κορινθίους—τὸ τρόπαιον ὑφαρπάζοντας ἀποστάσης Αἰγύπτου ἀπὸ βασιλέως πρὸς Ἀθηναίους, ἔπεμψαν Ἀθηναῖοι πρὸς αὐτὴν βοήθειαν· καὶ πάλιν ἐν τῷ αὐτῷ χρόνῳ ἐπολέμουν ναυσὶ πολλαῖς πρὸς Αἴγιναν. Κορίνθιοι δὲ, βοηθεῖν Αἰγινήταις βουλόμενοι, καταλαμβάνουσι τὰ Μέγαρα, ὑπ᾽ Ἀθηναίοις ὄντα, νομίζοντες Ἀθηναίους ἀφεῖναι μὲν Αἰγινήταις μάχεσθαι, βοηθεῖν δὲ Μεγαρεῦσιν. Ἀθηναῖοι οὖν πέμψαντες τοὺς ἐν ἀκμῇ πρώην πρὸς Αἴγυπτον καὶ Αἴγιναν ἔπεμψαν κατὰ τῶν Κορινθίων πρὸς Μέγαρα τοὺς γέροντας μετὰ Μυρωνίδου στρατηγοῦ, καὶ ἐνίκησαν καὶ τρόπαιον ἔστησαν. οἱ φυγόντες δὲ Κορινθίων ὑπὸ τῶν πολιτῶν κακιζόμενοι τῶν οἰκείων ἐξελθόντες αὖθις καὶ αὐτοὶ τρόπαιον ἐπειρῶντο ἱστάναι. ἐπιθέμενοι δ᾽ ἐκ δευτέρου Ἀθηναῖοι τό τε τρόπαιον κατέβαλλον καὶ Κορινθίους διέφθειραν. ἀποστάσης Αἰγύπτου ἀπὸ βασιλέως, ἔπεμψαν Ἀθηναῖοι βοήθειαν, καὶ πάλιν ἐν τῷ αὐτῷ χρόνῳ ἑτέραν κατ᾽ Αἰγίνης. οἱ Κορίνθιοι βοηθεῖν Αἰγινήταις βουλόμενοι καταλαμβάνουσι τὰ Μέγαρα ὑπ᾽ Ἀθηναίοις ὄντα, νομίζοντες Ἀθηναίους ἀφεῖναι μὲν Αἰγινήτας, βοηθῆσαι δὲ μᾶλλον Μεγαρεῦσιν. οἱ δὲ Ἀθηναῖοι τούς τε γέροντας καὶ τοὺς νέους πέμψαντες ἐνίκησαν καὶ τρόπαια ἔστησαν. οἱ φυγόντες δὲ Κορίνθιοι ὑπὸ τῶν πολιτῶν κακιζόμενοι τῶν

οἰκείων ἐξελθόντες αὖθις καὶ αὐτοὶ τρόπαιον ἐπειρῶντο ἱστάναι. ἐπιθέμενοι δὲ ἐκ δευτέρου Ἀθηναῖοι τό τε τρόπαιον κατέβαλον καὶ Κορινθίους διέφθειραν. ταύτην οὖν λέγει τὴν μάχην· ἡ ἱστορία δὲ παρὰ Θουκυδίδῃ· ἐν τῇ πεντηκονταετίᾳ λέγει, Μυρωνίδου στρατηγοῦντος. πρὸ ἔμπροσθεν. ἐνίκων αὖθις τοὺς Κορινθίους. ἑτέραν νίκην.

155,8 οὐ καλῶς τὸ τρόπαιον ὑφαρπάζοντας τοὺς Λακεδαιμονίους. καὶ οὔπω ταῦτα μεγάλα δοκοῦσι. τὸ εἰπεῖν ὅτι Κορινθίους ἐνίκησαν.

155,9 ἡ γὰρ προσθήκη δείξει τὸ πᾶν τῆς νίκης. ἀπῆσαν μὲν γὰρ αἱ δυνάμεις τῇ πόλει τῇ ἀπουσία τῇ πρὸς τὸν βάρβαρον.

155,10 κατὰ τὴν τῶν Αἰγυπτίων χρείαν χρείαν, συμμαχίαν, ὠφέλειαν. νῆες πλείους ἢ τότ' ἦσαν ἐν τοῖς Ἕλλησιν αἱ σύμπασαι σχεδὸν διακόσιαι γὰρ ἦσαν.

155,11 ἡ δ' Αἰγίνῃ προσεκάθητο πολιορκοῦσα. τοὺς ἐναντίους τοὺς Κορινθίους.

155,12 εἰς τὸ ἔργον τὸ ἐν Αἰγίνῃ καὶ Αἰγύπτῳ. τὸ εἰς Αἴγυπτον καὶ εἰς Αἴγιναν. εἰ δ' ἄρα καὶ τὰ δεύτερα νικῴη πρῶτον ἡγοῦντο τὸ μὴ δυνηθῆναι Ἀθηναίους ἐξ Αἰγίνης ἢ Αἰγύπτου ἐλθόντας αὐτοῖς μαχέσασθαι, δεύτερον δὲ τὸ δυνηθῆναι αὐτοῖς μ... τὰ δεύτερα ἤγουν τὸ δυνηθῆναι αὐτοῖς μαχέσασθαι κατορθώσειν. δεύτερα ἐκάλεσε τὴν ἀποτυχίαν τοῦ νομίσαι σχολάσαι τοὺς Ἀθηναίους ἐλθεῖν κατ' αὐτῶν, καὶ διὰ τοῦτο μὴ λαβεῖν τὰ Μέγαρα. τὰ δεύτερα ἐκάλεσε τὴν ἀποτυχίαν τῶν Μεγάρων, ἣν ἔμελλον ἀποτυχεῖν Κορίνθιοι, εἰ ἀφέντες Ἀθηναῖοι Αἴγιναν βοηθήσουσιν εἰς Μέγαρα.

155,13 οὐ γὰρ ἄλλοθέν γε λοιπὸν ἥξειν αὐτοὺς οὐδὲ γὰρ εἰς ἄλλους τινὰς τόπους εἶχον ναῦς ἢ ἔνθα ἔφαμεν.

155,14 τοῦ σοφίσματος κακουργήματος. οἱ πρὸς Αἰγίνῃ πολιορκοῦντες Ἀθηναῖοι.

155,15 τῶν ἐν Αἰγύπτῳ βοηθούντων Ἀθηναίων. μηδὲν πεπυσμένων περὶ τῆς τῶν Μεγάρων πολιορκίας.

155,16 βοηθοῦσιν ἐξέρχονται. βοήθειαν γὰρ καλεῖ τὴν ἔξοδον. βοηθοῦσιν εἰς τὰ Μέγαρα μετὰ Μυρωνίδου στρατηγοῦ. δυοῖν μάχαιν ἑξῆς τῇ προτέρᾳ καὶ τῇ ἐπὶ τὸ τρόπαιον. Πελοποννησίων μεθ᾽ ὧν Κορίνθιοι Ἀθηναίοις ἐμάχοντο. συνεμάχουν γὰρ καὶ οὗτοι.

155,17 ἀκμῆς νεότητος. νεότητος. καὶ Ἰσοκράτης «Ὑστερίζων γὰρ ἀκμῆς τῆς ἐμαυτοῦ.»

155,18 τά γε νῦν τὰ ἐπὶ τὸ τρόπαιον. προσανιμήκεσαν ἐξήντλησαν, ἐξέτησαν ἀντὶ τοῦ προσηντλήκασιν ἑαυτοῖς, τουτέστι προσπεπόνθασι. προσεξηντλήκασι, προσπεπόνθασιν. καί μοι δοκεῖ θεῶν τινος εὐνοίᾳ— ὥσπερ ἐν δράματι ἔχομεν πολλάκις ἐν τοῖς τῶν ποιητῶν δράμασι θεοὺς φαινομένους διὰ μηχανῆς· καὶ πρὸς τὸ συμφέρον δὲ ἐν τοῖς δράμασι τὰ πράγματα διασκευάζεται· ὥσπερ Εὐριπίδης εἰσήγαγε τὸν Ἀπόλλωνα Ὀρέστην καὶ Μενέλαον εἰς ὁμόνοιαν ἄγοντα. ἔχομεν γὰρ πολλάκις ἐν τοῖς κωμικοῖς δράμασι θεοὺς φαινομένους διὰ μηχανῆς· καὶ πρὸς τὸ συμφέρον δὲ ἐν τοῖς δράμασι διασκευάζεται.

155,19 συσκευασθῆναι οἰκονομηθῆναι, μηχανηθῆναι. τοῦτο τὸ δεύτερον τὸ δεύτερον λέγει, ὅτι καὶ δεύτερον ἐπεστράτευσαν οἱ Κορίνθιοι. ἤγουν τὴν περὶ τὸ τρόπαιον νίκην.

156,1 ἀντιλαβὴ οἱονεὶ ἀντιλογία καὶ καταφυγή· ἠδύνατο γὰρ ἀμφισβητεῖν τῆς νίκης. ἡ δὲ δευτέρα μάχη τὴν πρώτην ἐβεβαίωσε.

156,4 τῷ τοῦ κρείττονος λόγῳ λόγον γὰρ ἔχει τὸ κρείττους περιγίνεσθαι τῶν ἡττόνων. ἤγουν ὅτι κρείττονες Κορινθίων Ἀθηναῖοι ἦσαν. οὔκουν τοῦ τρίτου γε ἐπειράθησαν, καίτοι τοὺς ἀγωνιστὰς αὐτοὶ προσαναγκάζοντες ἐν Ἰσθμῷ ἐν τῷ Ἰσθμῷ τῆς Πελοποννήσου ἐστὶν ἡ Κόρινθος, ἔνθα τὰ Ἴσθμια Ποσειδῶνι τελοῦνται, ἐν οἷς οἱ ἀγωνισταὶ οὐ μόνον δὶς, ἀλλὰ καὶ τρὶς παλαίουσιν εἰς βεβαίωσιν τῆς νίκης. χαριεντίζεται δὲ ὁ ῥήτωρ ἐκ τοῦ εἰπεῖν προσαναγκάζοντες. ὅτε τὰ Ἴσθμια ἄγουσιν οἱ Κορίνθιοι τῷ Ποσειδῶνι· τοὺς ἀθλητὰς ἀναγκάζοντες, φησὶ, παλαίειν, καὶ τῷ τρίτον νικῶντι ψηφιζόμενοι αὐτοὶ τρίτης πειραθῆναι συμβολῆς οὐκ ἠθέλησαν. ἔστι δὲ χαριεντισμὸς τὸ κῶλον. τρίτον δὲ ἠγωνίζοντο διὰ τοῦτο· ἵνα μὴ

δόξῃ τύχης εἶναι ἡ προτέρα νίκη, δεύτερον ἐπάλαιον· τὸ δὲ τρίτον πρὸς τέρψιν ἐγένετο.

156,6 τῶν ἀνδρῶν ἐκείνων τῶν κατ᾽ ἐκείνους τοὺς χρόνους Ἀθηναίων.

156,7 οἳ περιέπλευσαν μὲν τὴν Πελοπόννησον, οὐχ ὡς ἁπλῶς εἰπεῖν, περίπλοις ναυτικοῖς ἐπειδὴ οἱ περίπλοι οὐχ ἑκάστοτέ εἰσι πολέμου, ἀλλ᾽ ἔστιν ὅτε καὶ διά τινα χρείαν γίνονται, διὰ τοῦτο ἀντιδιαστέλλων φησίν· ἀλλ᾽ ὥστε κρατεῖν μὲν τῶν ἐπικαίρων τῆς χώρας. ἐπόρθησαν γὰρ τὴν Χαλκίδα καὶ Σικυωνίδα, αἵ εἰσιν ἐπικαιρότατα τῆς Πελοποννήσου χωρία. ἐπεὶ δὲ ἐν τόπῳ τῆς Πελοποννήσου, καλουμένῳ Φαΰλῳ, ἀντέστησάν τινες αὐτοῖς Πελοποννήσιοι, καὶ τούτους ἐνίκησαν. ὁ γὰρ τῶν Ἀθηναίων στρατηγὸς συμβαλὼν τῷ Πελοποννησίῳ στρατηγῷ καὶ νικήσας ἐποίησε τὴν τροπήν. ἐπειδὴ οὐκ ἀεὶ οἱ περίπλοι πόλεμοί εἰσιν, ἀντιδιαστέλλων εἶπε.

156,8 ὥστε κρατεῖν μὲν τῶν ἐπικαίρων τῆς χώρας ἔλαβον γὰρ τὴν Χαλκίδα καὶ Σικυωνίων ἐκράτησαν.

156,9 στρατηγὸς ἐπὶ στρατηγῷ ἀντὶ τοῦ ἄλλος ἐπ᾽ ἄλλῳ· ἵνα δείξῃ τὴν συνέχειαν τοῦ περιτυγχάνοντος. ἀντιπέραν τῆς Πελοποννήσου.

156,10 αὖθις δ᾽ ἐπὶ Φωκέας Λακεδαιμονίων παρελθόντων ἐκέκλειστο μὲν ὁ Κρισαῖος κόλπος ἐν τῷ Κρισαίῳ κόλπῳ εἰσὶν οἱ Φωκεῖς. οὗτος δέ ἐστιν Ἠπείρου μεταξὺ καὶ Πελοποννήσου. ἐστρατευκότας οὖν Πελοποννησίους ἐπὶ Φωκέας συμμαχοῦντες Ἀθηναῖοι Φωκεῦσι συμβαλόντες ἐνίκησαν. ἐκ δὲ τοῦ εἰπεῖν ἐκέκλειστο δείκνυσι τὸ πλῆθος τῶν Ἀθηναίων τοῦ ναυτικοῦ. ἐκέκλειστο μὲν ὁ Κρισαῖος κόλπος ὑπ᾽ αὐτῶν τῶν Ἀθηναίων, ὅτε ἐν Τανάγραις συνέβαλον Λακεδαιμονίοις. βιάζεται δὲ τὴν νίκην τῶν Λακεδαιμονίων περιτρέψαι.

156,11 ὁ Κρισαῖος κόλπος Κρισαῖος καλεῖται κόλπος ὁ μεταξὺ Ἠπείρου καὶ τοῦ Ἰσθμοῦ. ἀπήντων οἱ Ἀθηναῖοι. ἐπὶ τοὺς ὅρους ὅρους λέγει τὰ ἄκρα τοῦ Κρισαίου κόλπου. χωρὶς ἰδίᾳ. ὑπὲρ Μεγάρων ἦσαν ἐν Γερανείᾳ Γερανεία τόπος ἐστὶ πλησίον Μεγάρων, ἔνθα συμβαλόντες Λακεδαιμονίοις κατὰ Μεγάρων ἐστρατευκόσιν ἐνίκησαν.

156,12 ἀπορεῖν ἑστῶτας ἐν Βοιωτοῖς, ὅποι σωθήσονται ὅπως καὶ ὅπου. ἀποκέκλειντο γὰρ πανταχόθεν.

156,13 περιέπτυξεν περιέκλεισεν. τέλος δὲ συμβάλλουσιν ἐν Τανάγρᾳ τῆς Βοιωτίας Λακεδαιμόνιοι ἔν τινι τόπῳ μετὰ Εἱλώτων πολεμοῦντες ἐπεκαλέσαντο Ἀθηναίους. ὡς δεινοὺς τειχομαχεῖν· καὶ φοβηθέντες αὐτοὺς, ὡς νεωτεροποιοὺς, πάλιν ἀπέπεμψαν. ὀργισθέντες οὖν Ἀθηναῖοι συνέβαλον αὐτοῖς ἐν Τανάγρᾳ τῆς Βοιωτίας, καὶ ἐνικήθησαν. βιάζεται δὲ Ἀριστείδης Ἀθηναίων δεῖξαι τὴν νίκην. καὶ τούτου μέμνηται Θουκυδίδης· ὅτι, ἡνίκα ἐπολέμουν Λακεδαιμόνιοι μετὰ τῶν Εἱλώτων, τειχομαχῆσαι βουλόμενοι ἐπεκαλέσαντο Ἀθηναίους. εἶτα δεδιότες τὸ νεωτεροποιὸν αὐτῶν ἀπεπέμψαντο αὐτούς. ὀργισθέντες οὖν οἱ Ἀθηναῖοι, μετὰ τὴν ἀναχώρησιν τῶν Λακεδαιμονίων κατὰ Φωκέων στρατευσαμένων, καὶ μελλόντων ὑπανιέναι, πανταχόθεν ἀπέκλεισαν ὑποστρέφοντας αὐτοὺς ἐν τῇ Πελοποννήσῳ, καὶ συνέβαλον αὐτοῖς ἐν Τανάγρᾳ, καὶ ἡττήθησαν. βιάζεται δὲ ὁ Ἀριστείδης τὴν νίκην Λακεδαιμονίων ἧτταν ἀποδεῖξαι.

156,14 γενομένων ἀμφοτέρων ἀνδρῶν τοῦ τολμήματος ἀξίων ἴσην τὴν μάχην εἶπε γενέσθαι, καὶ Ἀθηναίοις χαριζόμενος καὶ τὴν ἀλήθειαν αἰσχυνόμενος. ἔδοξαν καθ' ἓν τοῦτο Λακεδαιμόνιοι πλέον ἐσχηκέναι καίτοι ἔσχον τῇ ἀληθείᾳ τὸ πλέον. ἀλλὰ βιάζεται, ὡς ἔφαμεν, τὴν νίκην αὐτῶν ἧτταν δεῖξαι.

156,16 κλεῖσαι τὴν πάροδον τῶν Λακεδαιμονίων.

156,17 κινδυνεύει μόνον τοῦτο τὸ ἔργον τὴν φυγὴν σύμβολον τῆς νίκης ἐσχηκέναι ἐζήτηται διὰ τί μὴ μᾶλλον τοῦτο ἐσιώπησεν, ὡς Φαῦλον, καὶ ἔφυγεν, εἴ γε Ἀθηναῖοι ἡττήθησαν, ὥσπερ καὶ τῆς ἐν Αἰγύπτῳ πεποίηται συμφορᾶς. καὶ λέγομεν ὅτι ἐκ τῶν μετὰ ταῦτα συμβάντων σοφίζεται. Λακεδαιμονίων γὰρ τὴν ἀναχώρησιν ὀνομάζει φυγήν· οὐδὲ γὰρ νικήσαντες παρέμειναν· τὴν δὲ Ἀθηναίων νίκην ἐκ τοῦ ἐπεξελθεῖν Βοιωτοῖς πιστοῦται. εἰ μὴ γὰρ ἔφυγον Λακεδαιμόνιοι, κἂν ἀπώλοντο.

156,20 Βοιωτοὶ μετὰ γὰρ τὸ ἀναχωρῆσαι Λακεδαιμονίους ἐστράτευσαν κατ' αὐτῶν, καὶ νενικήκασιν αὐτούς.

157,1 Ἀθηναῖοι δὲ προῆλθον κατὰ πόδας τῆς μάχης ὅτι τὴν πάροδον ἔκλεισαν. Λακεδαιμονίους διώκοντας.

157,2 Βοιωτοὶ δὲ οὐκ ἀντέσχον μετὰ γὰρ Λακεδαιμονίων ἦσαν. ἐβοήθουν γὰρ καὶ οὗτοι Λακεδαιμονίοις. ἐν Οἰνοφύτοις τόπος Βοιωτίας. τόπῳ τῆς Βοιωτίας. ὑπέκυψαν Ἀθηναίοις.

157,3 Λοκροὶ οὗτοι φυγάδες ὄντες συνέπραττον Βοιωτοῖς, καὶ ἡττήθησαν. καὶ αὖθις συναχθέντες ἐνίκησαν Ἀθηναίους. τοῦτο δὲ σιωπᾷ, ὡς μὴ ἁρμόττον ἐγκώμιον. καὶ οὗτοι μετὰ Φωκέων συνεμάχουν Λακεδαιμονίοις. παρὰ μὲν τούτων Βοιωτῶν, Λοκρῶν, Λακεδαιμονίων. τῶν τριῶν ἐθνῶν. ἀνθ' ὧν τῷ βαρβάρῳ συνέστησαν ψεύδεται· οὐ γὰρ τούτου χάριν ἐστράτευσαν, ἀλλὰ βουλόμενοι τὴν Βοιωτίαν κτήσασθαι. σιωπᾷ οὖν τὸ τῆς πλεονεξίας, ἑτέραν δὲ λέγει αἰτίαν τὸν μηδισμόν. ἀνθ' ὧν τῷ βαρβάρῳ συνέστησαν πρώην.

157,4 ἕτερον δ' ἔργον αὐτῆς ἄξιον εἰπεῖν τὸ φιλάνθρωπον βούλεται εἰπεῖν, ὃ καὶ ἴδιον καλεῖ τῶν Ἀθηναίων.

157,5 δηλοῦν ἔτι πόρρωθεν ὅτων εἴη ἄνευ γὰρ, φησὶ, τῆς προσηγορίας δηλοῖ τὸ ἔργον τοὺς δράσαντας. γενομένου γὰρ τοῦ περὶ τὴν Λακωνικὴν σεισμοῦ ἐπανέστησαν οἱ τῶν Λακεδαιμονίων Εἵλωτες κατ' αὐτῶν. Λακεδαιμόνιοι δὲ οὐκ ἔχοντες ὅ τι ποιήσουσι, δι' αὐτό τε τοῦτο καὶ διὰ τοὺς ἐπικειμένους σεισμοὺς, μετεκαλέσαντο Ἀθηναίους εἰς βοήθειαν· καὶ αὐτίκα παρεγένετο συμμαχία, Κίμωνος στρατηγοῦντος, ἀφ' ἧς τοῦ κινδύνου ἐρρύσθησαν. περιοίκους δὲ καλεῖ τοὺς περὶ τὴν Λακεδαίμονα οἰκοῦντας καὶ αὐτῇ ὑποτεταγμένους.

157,6 τῶν περιοίκων τῶν περιοικούντων τὴν Σπάρτην μητρόπολιν.

157,7 οὐκ ἔφθησαν Λακεδαιμόνιοι καλέσαντες ἐν τούτῳ ἐπεκαλέσαντο τοὺς Ἀθηναίους, διὰ τὴν τειχομαχίαν τῶν Εἱλώτων ἀποστάντων. ἀπῆλθον δὲ Κίμωνος αὐτῶν στρατηγοῦντος.

157,9 ὃ καὶ τοὺς παρόντας ἔλυσε φόβους τῇ Λακεδαίμονι ψεύδεται· μεταξὺ γὰρ ἀπέπεμψαν αὐτοὺς, ὑποπτεύσαντες αὐτῶν τὸ νεωτεροποιόν.

157,10 δίκην λαβεῖν εἰσαῦθις παρεσκεύασεν αὐτῶν τοὺς Λακεδαιμονίους παρὰ Μεσηνίων, ὅ ἐστι τῶν Εἱλώτων. αὐτῶν τῶν φόβων, ἢ τῶν περιοίκων. τῶν Εἱλώτων.

157,11 τὸ τῶν ἔργων ἦθος, ἀκριβέστερον τροπαίου σημαῖνον τοὺς εἰργασμένους ἦθος λέγει τὴν αἰτίαν. πάντα γὰρ τὰ ἔργα αὐτῶν ἐξ ἀγαθῆς αἰτίας συνίσταντο· νῦν μὲν γὰρ κινδυνεύουσιν ἐβοήθουν, νῦν δὲ ὑπὲρ ἀδικουμένων πρὸς τοὺς ἀδικοῦντας ἐμάχοντο. ἀκριβέστερον δὲ τροπαίου λέγει, ἐπειδὴ ἐν τοῖς τροπαίοις ἐγγράφουσι μὲν τοὺς νικήσαντας, οὐ δηλοῦσι δὲ τὸ τῆς νίκης αἴτιον, εἰ χρηστόν· πολλάκις γὰρ καὶ ἐκ φαύλης αἰτίας νίκη γέγονεν· ἡ δὲ ἀγαθὴ τῶν ἔργων αἰτία καὶ πέρα τροπαίου τοὺς αὐτῇ χρησαμένους κηρύττει. λέγει τὴν αἰτίαν· ὅτι ὑπὲρ τὰ τρόπαια τὴν αἰτίαν δεῖ θαυμάζειν, ὅτι κινδυνεύουσιν ἐβοήθουν.

157,12 τὸν δ᾽ ὑπὲρ Μιλησίων ἔκπλουν, καὶ τὰς ἐν Σάμῳ ναυμαχίας, καὶ τὴν Εὐβοέων σωφρονισθεῖσαν ἀπόστασιν, καὶ πολλὰ ἕτερα, ἔξεστι δὴ καὶ παραλιπεῖν Μιλήσιοι, ὑπὸ Λακεδαιμονίων καταπολεμούμενοι, καὶ Σάμιοι, ἐδεήθησαν Ἀθηναίων βοηθῆσαι, ἅτε σύμμαχοι ὄντες. καὶ Ἀθηναῖοι πολλαῖς ναυσὶ παραγενόμενοι τοὺς Λακεδαιμονίους ἐν Σάμῳ κατεναυμάχησαν. Εὐβοεῖς δὲ, σύμμαχοι ὄντες Ἀθηναίοις, ἀπόστασιν ἐβουλεύοντο. καὶ Ἀθηναῖοι τοῦτο μαθόντες ἔπλευσαν κατ᾽ αὐτῶν· καὶ βλάψαντες αὐτοὺς οὐκ ὀλίγα εἰς φόβον πολὺν ἤγαγον.

157,13 ἔξεστι δὴ καὶ παραλιπεῖν ἀντὶ τοῦ δυνατόν ἐστιν. σημαίνει δὲ ἐκ τούτου τὸ πλῆθος.

157,14 εἰρήνην ποιεῖται, ἧς ἄξιον μνησθῆναι δηλοῖ τὰς τριακοντούτεις σπονδὰς, ἃς ἐποίησαν μετὰ Εὐβοίας ἅλωσιν, ὥς φησιν ὁ συγγραφεύς. τὰς τριακοντούτεις λέγει σπονδάς.

157,16 πᾶσαν τὴν κάτω χώραν τὴν Πελίαν λέγει. τὴν Ἰωνίαν καὶ ὅσα παράλια. ὧν εἶπον Κυανέων καὶ Χελιδονέων. Χελιδονέων καὶ Κυανέων. ἐπὶ τοῦ πολέμου τοῦ πρὸς Λακεδαιμονίους.

157,17 Μέγαρα, Τροιζῆνα, Πηγὰς, πᾶν τὸ Ἀχαϊκὸν ταῦτα πάντα νικήσασα, πρὶν Λακεδαιμονίους ἐκτήσατο.

157,18 οὐ γὰρ ἦν ὅ τι ἀνταπέλαβεν ἐκ τοῦ εἰπεῖν, οὐ γὰρ ἦν ὅ τι ἀνταπέλαβε, δείκνυσιν αὐτὴν ποιησαμένην τὴν εἰρήνην οὐ δι᾽ ἀσθένειαν, ἀλλὰ διὰ μεγαλοψυχίαν καὶ χρηστότητα γνώμης. μὴ δυναμένων γὰρ Λακεδαιμονίων λαβεῖν τὰ αὐτῶν, αὕτη ἀπέδωκε διὰ τὴν κοινὴν εἰρήνην. ζητεῖται πῶς, τὴν Εὔβοιαν λαβόντων Ἀθηναίων, νῦν φησιν, οὐδὲν ἀνταπέλαβε· λέγομεν ὅτι τὴν Εὔβοιαν οὐ παρὰ Λακεδαιμονίων ἔλαβεν, ἀλλ᾽ ἑαυτὴν παρεστήσατο· τοῦτο δὲ σημεῖον ποιεῖται τοῦ νενικηκέναι, ὅτι μὴ δυναμένων λαβεῖν ἐκείνων τὰ ἑαυτῶν αὕτη ἀπέδωκεν.

157,19 τοῦ περιεῖναι τῶν Ἑλλήνων.

158,1 μέχρι τοῦ κρείττονος ἦγουν τοῦ δόξαι κρείττων αὐτῶν. ἤγουν μέχρι τοῦ κρείττων αὐτῶν φανῆναι.

158,2 τοσαύτην μὲν τὴν πρὸς ἐκείνους, τοιαύτην δὲ καὶ τὴν πρὸς τούτους εἰρήνην ἐποιήσατο εἰκότως πρὸς μὲν τὴν πρὸς τοὺς βαρβάρους εἰρήνην εἶπε τοσαύτην, πρὸς δὲ τὴν πρὸς τοὺς Ἕλληνας τὸ τοιαύτην, δεικνὺς ἐκείνης τὸ μέγεθος καὶ ταύτης τὴν ποιότητα. μεγέθους γὰρ τὸ τοσαύτην, ποιότητος δὲ τὸ τοιαύτην ἐμφαντικόν.

158,3 ἀμφοτέρων ὁμοῦ καὶ χωρὶς κρείττων γενομένη τὸ χωρὶς μὲν εἶπεν, ἐπειδὴ καὶ Πέρσας καὶ τοὺς ἄλλους Ἕλληνας ἰδίᾳ ἐν πολέμοις νενίκηκεν, ὁμοῦ δὲ, ἐπειδὴ ἐν Σαλαμῖνι οὐ μόνον Πέρσας, ἀλλὰ καὶ τοὺς συνόντας αὐτοῖς Ἕλληνας, τῷ μεγέθει καὶ τῇ λαμπρότητι τῶν ἔργων ὑπερῆρε πολλῷ τῷ μέτρῳ. Περσῶν καὶ Πελοποννησίων. καὶ Περσῶν μὲν, ὁμοῦ μὲν Σαλαμῖνι, χωρὶς δὲ ἐν Μαραθῶνι. Πελοποννησίων δὲ, χωρὶς μὲν τῶν συμμάχων, ὅτι εἰσέβαλλον ἐν τῇ Πελοποννήσῳ, ὁμοῦ δὲ μετὰ τὴν συμμαχίαν ἐν Αἰγίνῃ.

158,5 ἐκ τῶν κοινῶν εὐεργεσιῶν ἐκ τοῦ κοινῶς εὐεργετεῖν πάντας τοὺς Ἕλληνας. τὴν ἡγεμονίαν τοῦτο λέγει νίκην· ὅτι τὴν ἡγεμονίαν ἔλαβε παρὰ τῶν Ἑλλήνων· αὐτὴν γὰρ ὁρῶντες αὐτὴν τοιαύτην προεβάλοντο ἡγεμονία αὐτὴν ἑαυτῶν. μετέθηκε τὸν θεσμόν· οὐ γὰρ ἐξ ὧν—ἐποίησεν ἐλευθέρας νόμος γὰρ τοὺς ἄρξειν ἐθέλοντας καταδουλοῦσθαι τοὺς ἄλλους. οἱ γὰρ νικῶντες ἀεὶ δεσπόζουσι τῶν ἡττωμένων.

158,6 ὥστε συμβῆναι τοὺς αὐτοὺς—τὸ τῆς ἀρχῆς κέρδος ἐνεγκεῖν ἀντὶ τοῦ εἰς καιροὺς τοῖς μὲν Ἕλλησιν ἤνεγκε τὴν ἐλευθερίαν, τοῖς δὲ Ἀθηναίοις τὴν ἡγεμονίαν.

158,8 ὥσπερ εἷς ἄρχων αἱρετὸς ἐξ ἁπάντων ὅταν τινὰ μέλλωσιν ἄρχοντα ποιήσειν, αἱροῦνται τὸν ἄριστον, καὶ ὃς συνέσει καὶ τῷ δύνασθαι πράττειν ὑπερέχει τῶν ἄλλων. αἱρετὸς χειροτονητός. ἀπὸ δοκιμασίας.

158,13 οὕτω δὲ τούτων προκεχωρηκότων ἐντεῦθεν ἄρχεται τοῦ Πελοποννησιακοῦ πολέμου. ὅπερ ἐστὶ καὶ τέταρτον μέρος τοῦ λόγου. ἀρχὴ τοῦ τετάρτου μέρους τοῦ λόγου. ἐντεῦθεν ἄρχεται τοῦ τετάρτου μέρους ποιούμενος τὴν ἀρχήν. κατὰ δὲ Ἀθανάσιον ἐντεῦθεν ἐστὶ τὸ τρίτον μέρος τοῦ λόγου. πληρώσας δὲ τὴν πεντηκονταετίαν ἄρχεται τοῦ Πελοποννησιακοῦ. μέχρι μέν τινος ἦν ἡσυχία τὸ μέχρι μέν τινος λέγει, ἐπειδὴ αἱ τῆς εἰρήνης σπονδαὶ οὐκ εἰς τριάκοντα χρόνους ἐχώρησαν, ὡς συνέθεντο, ἀλλ᾽ εἰς τεσσαρεσκαίδεκα, ὡς Θουκυδίδης φησί. κατέλυσαν δὲ τὰς συνθήκας Λακεδαιμόνιοι, φοβηθέντες Ἀθηναίους, μὴ αὐξηθέντες τῷ χρόνῳ αὐτούς τε τούτους καὶ πάντας τοὺς Ἕλληνας καταδουλώσονται. καὶ διὰ τοῦτο πέμποντες πρέσβεις πανταχοῦ τῆς Ἑλλάδος κατεψεύδοντο Ἀθηναίων, ὡς οὐκ εἰς καλὸν ἡμῖν τὰ τῆς εἰρήνης ἀπαντήσειν λέγοντες. ἐδίδαξε καὶ τοῦτο Θουκυδίδης λέγων τὰς σπονδὰς ἐπὶ ιδ′ ἔτη φυλαχθείσας.

158,14 τῆς δὲ κοινῆς τύχης ἀνθρώπων, ἣ πάντα ἐντεῦθεν ἄρχεται τοῦ Πελοποννησιακοῦ πολέμου τὸν χρόνον, ῥητορικῶς δὲ ἐπὶ τὴν τύχην ἀνάγει τὴν αἰτίαν, ἵνα μὴ ἀπὸ Λακεδαιμονίων αὐτὴν εἴποι προελθοῦσαν. αὐτοὶ γὰρ δεδιότες τοὺς Ἀθηναίους ἐνίκησαν τὴν μάχην. κοινὴν δὲ τὴν τύχην εἶπεν, ὅτι κοινῇ πάντες ἄνθρωποι σχεδὸν πρὸς ἀλλήλους ἐπολέμησαν, ἢ ὅτι κοινόν ἐστι τοῦτο τὸ ἔργον τῆς τύχης κατὰ πάντων ἀνθρώπων, τὸ μὴ ἐᾶν ἐπὶ τῶν αὐτῶν τὰ πράγματα, ἀλλὰ κινεῖν. εἰ δέ τις εἴποι, τί οὖν; ἐν τῇ πεντηκονταετίᾳ οὐκ ἐνεωτέρισαν; πῶς οὖν ὡς μέγα τι τὸ νῦν λέγει; ἐροῦμεν ὅτι ἐκεῖ ὀλίγοι πρὸς ὀλίγους τινὰς ἐμάχοντο· ὅπερ οὐκ ἦν μέγα· ἐνταῦθα δὲ κοινὸς τῶν Ἑλλήνων ὑπῆρχεν ὁ πόλεμος. ἢ πάντα κινεῖ μεταβάλλει.

158,15 οὐχ ὧν εὖ ἔπαθον Λακεδαιμόνιοι· καὶ Θουκυδίδης «Καὶ ἀδήλως ἤχθοντο.» παρὰ τῆς πόλεως.

158,16 ἐφθόνησαν τῶν ἔργων τῶν τῆς πόλεως.

158,17 συνέρραξε εἰς πόλεμον κατέστη. δυοῖν ἐν τοῖς. δυοῖν δείξασα, ὡς ἄκουσα συνέρραξε. τῷ τε κατ᾽ ἀρχὰς ἔτι κινουμένους—περὶ τῶν διαφορῶν ἡνίκα στασιάζειν ἐβούλοντο Ἕλληνες πρὸς Ἀθηναίους, ὑπὸ Λακεδαιμονίων ἀναγκασθέντες, ἀκούσαντες Ἀθηναῖοι πρέσβεις πρὸς τοὺς Ἕλληνας πεπόμφασι, λέγοντες ὡς μάτην διαβάλλουσι Λακεδαιμόνιοι, κἀντεῦθεν εἰς ὁμόνοιαν ἄγοντες. μαθόντες δὲ τοῦτο Ἕλληνες πρὸς ὀλίγον ἡσύχασαν.

158,18 κατασχεῖν κωλῦσαι. κωλύειν. λείπει τὸ ἐβούλετο. λέγει γὰρ καὶ ὁ συγγραφεὺς ὅτι ἐδέοντο δὲ δίκην διαλύσασθαι τὰ διάφορα. τῷ πολεμεῖν ἀναγκασθεῖσα τὴν τῆς Σφακτηρίας καὶ Πύλου λέγει πόρθησιν, ὅτε Ἀθηναῖοι πολλοὺς Λακεδαιμονίων ἐντεῦθεν αἰχμαλώτους εἰς Ἀθήνας ἤγαγον, καὶ εἰς δεσμωτήριον ἐνῆκαν, καί τινα καιρὸν μείναντας ἐξήγαγον.

158,19 ὅτε ἐνίκησε καὶ μὴν Λακεδαιμόνιοι περιεγένοντο, ἀλλ᾽ οὐ τὸ τέλος λέγει τοῦ πολέμου, ἀλλὰ τὸ μέσον, ὅτε τοὺς αὐτῶν ἔλαβον Ἀθηναίων οἱ ἀπὸ τῆς Σφακτηρίας. τοὺς ἐρίσαντας αὐτῇ περὶ τῆς ἡγεμονίας Λακεδαιμονίους.

158,20 μηδὲν ἀηδέστερον ἐξαγαγεῖν ἐκ τοῦ δεσμωτηρίου ἢ κρατήσασαν τὸ ἐξ ἀρχῆς ἐμβαλεῖν ἀντὶ τοῦ ὡς ἔχαιρε λαβοῦσα καὶ ἀποδιδοῦσα ὁμοίως.

159,1 τουτοισὶ δὲ οἷς μέλλω εἰπεῖν. τὰς ἐν Ναυπάκτῳ ναυμαχίας παραλείπων, ἃς οὔτε παρὰ μικρὸν ἐνίκων οὔτε ὀλίγῳ πλείονας Φορμίων, στρατηγὸς ὢν Ἀθηναίων, εἴκοσι ναυσὶν ὀκτὼ καὶ τεσσαράκοντα Λακεδαιμονίων ἐνίκα ἐν τῷ Κρισαίῳ κόλπῳ εἰς τὴν Ναύπακτον. κατὰ γὰρ ταύτης ἐστράτευσαν Λακεδαιμόνιοι. ὕστερον δὲ ταῖς αὐταῖς ναυσὶν ἐνίκησαν πάλιν αὐτοὺς τούτους κατὰ Ἐπιδάμνου, ἐλθόντας μετὰ ὀκτὼ καὶ πεντήκοντα νεῶν. ἐπεὶ δὲ Φορμίων εἴκοσι ναῦς εἶχε, Λακεδαιμόνιοι δὲ ὅσας ἔφημεν, διὰ τοῦτο λέγει οὔτε ὀλίγῳ πλείονας. τὰς ἐν Ναυπάκτῳ

ναυμαχίας ἃς ὁ Φορμίων ἐνίκησε Λακεδαιμονίους ἐν τῷ Κρισαίῳ κόλπῳ. δύο δὲ οὐσῶν, αὐτὸς πολλὰς ὀνομάζει αὐξῆσαι θέλων.

159,2 ἃς οὔτε παρὰ μικρὸν ἐνίκων ἤγουν οὐ κατὰ μικρὸν, ὥστε μόνον διῶξαι Λακεδαιμονίους. ἀντὶ τοῦ κατὰ μικρὸν, ὥστε μόνον διῶξαι αὐτούς. ἤγουν ἃς μόνον διῶξαι, ἀλλὰ τελέως καταστρέψασθαι. οὔτε ὀλίγῳ πλείονας ἐν μὲν γὰρ τῇ προτέρᾳ εἴκοσι ναυσὶ μζ′ καὶ ἐν τῇ ὑστέρᾳ νζ′ ταῖς αὐταῖς ἐνίκησαν. ἀλλ᾽ οὕτως ἐνίκων.

159,3 νίκας ἑτέρας ἐνίκων τοὺς αὐτοὺς Λακεδαιμονίους. ὡς Κέρκυραν ἐξείλοντο Κέρκυραν ὑπὸ Κορινθίων πολιορκουμένην καὶ κινδυνεύουσαν ἐπεὶ Ἀθηναῖοι ἔμαθον, ταχέως ἐλθόντες ἐρρύσαντο. κινδυνεύουσαν ὑπὸ Κορινθίων ἐρρύσαντο.

159,4 τὰ κατ᾽ Ἀμβρακίαν ἔργα Ἀμβρακιώτας κατὰ Ἀμφιλόχων στρατευσαμένους ἀντιστρατεύσαντες αὖθις Ἀθηναῖοι ἐξείλοντο μὲν Ἀμφιλόχους τοῦ κινδύνου, Ἀμβρακιώτας δὲ κατὰ κράτος ἐνίκησαν. ἐποίησαν δὲ τοῦτο οὐχ ὑπ᾽ ἀνάγκης, ἀλλ᾽ ὑπὸ μόνης φιλανθρωπίας. ὅτε Ἀμβρακιῶται ἐμαχέσαντο κατὰ Ἀμφιλόχων στρατευόμενοι. ταῦτ᾽ ἀρετῇ πραχθέντα, οὐ χρείᾳ οὐ γὰρ ἀνάγκη τις ἐπηνάγκασεν, ἀλλὰ μόνη φιλανθρωπία.

159,5 τὰ κατ᾽ αὐτὴν δὴ τὴν Πύλον—ἐν τῇ νήσῳ γενομένας Πύλος καὶ Σφακτηρία πόλεις πλησίον Λακεδαίμονος, συμμαχίδες αὐτῆς. ἐλθόντες οὖν Ἀθηναῖοι κατ᾽ αὐτῶν, Κλέωνος στρατηγοῦντος, τοσοῦτον χρόνον ἐπολιόρκουν, ὡς τοὺς μὲν ἐντὸς ὄντας αὐτοὺς Πυλίους καὶ Σφακτηριώτας, Λακεδαιμονίους, τοὺς πλείους ὑπὸ λιμοῦ τεθνάναι. ὕστερον δὲ καὶ τὰς πόλεις αὐτὰς παρεστήσαντο. καὶ τοῦτο μὲν πρώην ἐπράχθη· ὕστερον δὲ οἱ αὐτοὶ Ἀθηναῖοι, Δημοσθένους αὐτῶν στρατηγοῦντος, καὶ πεζῇ καὶ ναυσὶ κατ᾽ αὐτῆς ἐχώρησαν. ναυμαχίας δὲ ἀπὸ γῆς, διὰ τὸ μετὰ νηῶν μὲν πλεῦσαι, ἐξελθεῖν δὲ αὐτῶν, καὶ πεζῇ διὰ τῆς νήσου χωρῆσαι κατὰ τῆς Πύλου. εἰς βάθος γὰρ τῆς νήσου ἡ Πύλος. ἐπειδὴ ὁ Δημοσθένης ἱστάμενος ἐν Πύλῳ τοῖς καταπλέουσι τῶν Λακεδαιμονίων ἐμάχετο.

159,6 ἑτέρους Λακεδαιμονίους ἐκ Κυθήρων ἀγομένους Κύθηρα νῆσος ἐπικειμένη τῇ Πελοποννήσῳ· ταύτην ὑπὸ Λακεδαιμονίων φυλαττομένην, Ἀθηναῖοι τοὺς Λακεδαιμονίους αἰχμαλώτους ἔλαβον παραστησάμενοι.

159,7 τρόπαια Κορινθίων ἃ κατ᾽ αὐτῶν Ἀθηναῖοι ἔστησαν νικήσαντες. ἃ τούτους νικήσαντες ἐστήσαντο.

159,8 ὁ δὲ καιρὸς τῆς ἑορτῆς. ὁ τῆς ἑορτῆς τῶν Παναθηναίων. μείζονος εὐτυχίας ἀντὶ τοῦ μεγάλης. οὐ γάρ ἐστι συγκριτικόν. μείζονος εὐτυχίας εἶναί μοι δοκεῖ κατασχεῖν αὐτὸν ἤγουν πολλοῦ τινος ἄξιον ἂν εἴη, εἰ κατάσχοιμεν αὐτὸν, καὶ μὴ ἀπολέσωμεν. τοῦτο δ᾽ ἂν γένοιτο, εἰ συντεμόντες τὰ ἁρμόζοντα αὐτῷ εἴποιμεν. κατασχεῖν αὐτὸν αὐτὸν τὸν καιρόν· σημαίνει δὲ τὴν πανήγυριν τῶν Ἀθηναίων.

159,10 εἰς τὴν ἐπιοῦσαν πενταετηρίδα διὰ πέντε ἐτῶν ἐγίνετο τὰ Παναθήναια, διὰ τριῶν δὲ τὰ Διονύσια. διὰ πέντε γὰρ ἐτῶν ἦγον τὰ μεγάλα Παναθήναια, διὰ τριῶν τὰ Διονύσια.

159,11 τῶν δ᾽ ὑπαρχόντων ἀγαθῶν τῇ πόλει φιλανθρωπίας, δικαιοσύνης, μεγαλοψυχίας, καὶ τῶν ἄλλων.

159,12 οὐκ ἂν διὰ πάντων ἕκαστα λέγωμεν ἀκριβῶς καὶ εἰς πλάτος. οὐκ ἂν διὰ πάντων—εὐφημίας παραλείπωμεν ἀντὶ τοῦ οὐκ ἐὰν διὰ πάντων ἅπαντα τὰ πραχθέντα αὐτοῖς εἴπωμεν, ἀλλ᾽ ἐὰν μηδὲ ἓν κεφάλαιον τοῦ ἐγκωμίου παραλίπωμεν· τουτέστιν οὐ πᾶσαν πρᾶξιν, φιλανθρωπίαν σημαίνουσαν, ἀλλ᾽ ἓν πρᾶγμα, χαρακτηρίζον φιλανθρωπίαν σημαίνουσαν. μηδὲν εἶδος εὐφημίας παραλείπωμεν ἐκ τοῦ ψιλῶς αὐτῶν μνημονεῦσαι.

159,13 ὡς δὲ ἐδόκει τῷ δαίμονι ὃ εἶπεν ἔμπροσθεν τύχην, νῦν δαίμονα ἐκάλεσε. βούλεται δὲ ἐπὶ τὰ Σικελικὰ μετελθεῖν, ἔνθα ἠτύχησαν Ἀθηναῖοι. ἐντεῦθεν ἄρχεται περὶ τῶν Σικελικῶν λέγειν.

159,14 κλυσθῆναι ἀντὶ τοῦ κατακλυσθῆναι ταῖς συμφοραῖς. τοὺς μὲν ἐκ τῆς ὑπερορίας ἐπελθεῖν πολεμίους, τοὺς δ᾽ εἰς τὴν ὑπερορίαν ἐκπλεῦσαι κατὰ συμφορὰς Λακεδαιμόνιοι, κακῶς ὑπό τινων προσοικούντων αὐτοῖς πάσχοντες, μετεκαλέσαντο Ἀθηναίους, ὄντας ἐν Σικελίᾳ· λέγει οὖν τὸ ἐξ

ὑπερορίας, διὰ τὸ ἐκ Σικελίας ἐλθεῖν αὐτοὺς, καὶ πολεμίους καταστῆναι τοῖς ἐνοχλοῦσι τοὺς Λακεδαιμονίους· τὸ εἰς ὑπερορίαν δὲ νόει, ἐπειδὴ Ἀθηναῖοι εἰς Σικελίαν ἔπλευσαν, βοηθεῖν ἐθέλοντες τοῖς ἐκεῖ Ἕλλησιν ὑπὸ Συρακοσίων κακῶς πάσχουσι, Λεοντίνοις, Αἰγεσταίοις, καὶ ὅτι κατὰ Καρχηδονίων ἔπλευσαν. εἰπὼν δὲ ἀορίστως, τοὺς μὲν, τοὺς δὲ, καὶ δοκοῦν καὶ διὰ τοὺς Ἕλληνας λέγεσθαι, ἐπέφερε τοῦτο πρὸς τοὺς Ἀθηναίους μόνους. μόνοι γὰρ οὗτοι ταῦτ' ἔδρασαν. τοὺς μὲν ἐκ τῆς ὑπερορίας ἐπελθεῖν πολεμίους ἀπὸ Σικελίας, ὥστε βοηθεῖν Λακεδαιμονίοις Ἀθηναίους. εἰς ὑπερορίαν δὲ, εἰς αὐτὴν τὴν Σικελίαν.

159,15 κατὰ συμφορὰς οὐ λέγει ὅτι ἀπῆλθον ἐπὶ τὸ παθεῖν, ἀλλὰ διὰ τὰς συμφορὰς, ἃς ὑπέμενον οἱ ἐν Σικελίᾳ Ἕλληνες ὑπὸ Συρακουσίων.

159,16 τὸ ἐξ ἴσου ἦγουν ὁμοίως.

159,17 οἷς ἐπῄει μὲν πλεῖν ὑπὲρ τῆς Λεοντίνων ἐλευθερίας, ἐδόκει δὲ κινδυνεύειν ὑπὲρ τῆς Αἰγεσταίων σοφίζεται ὁ ῥήτωρ. τί γὰρ ὑπὲρ Λεοντίνων, συγγενῶν ὄντων, ἀδικουμένων ὑπὸ Συρακουσίων, δῆθεν ἐστράτευσε; τῇ δὲ ἀληθείᾳ ἐπιθυμοῦντες Σικελίαν κτήσασθαι, καὶ τῇ τῶν Αἰγεσταίων ἐπαγγελίᾳ δελεασθέντες. οἱ δὲ Αἰγεσταῖοι σύμμαχοι μὲν Ἀθηναίων, βάρβαροι δὲ τὸ γένος, ἐν Σικελίᾳ οἰκοῦντες.

159,17bis διενοοῦντο δὲ διαβαίνειν ἐπὶ Καρχηδονίους ἵνα πάλιν τούτους καταδουλώσωνται· οὐδὲ γὰρ, ὡς λέγει, διὰ τοὺς ἐν Σικελίᾳ Ἕλληνας, ὅτι ἦσαν ἀδικηθέντες ὑπ' αὐτῶν· παραλογίζεται οὖν. πρὸ δὲ τῶν Μηδικῶν ἐπῆλθον Καρχηδόνιοι τοῖς Σικελιώταις, καὶ μετὰ τὸν Πελοποννησιακὸν δὲ πόλεμον, ὕστερον ἐπὶ Διονυσίου τοῦ τυράννου.

159,18 ἀνθ' ὧν διότι. ἐπετέθησαν μετὰ Γέλωνος, τοῦ Συρακοσίων τυράννου.

159,19 τριήρεις δὲ ἐπλήρουν καὶ ὁλκάδας ἐξ Ἀθηνῶν εἰς Σικελίαν πέμποντες. ὥσπερ ἀπὸ πάσης τῆς Ἑλλάδος τοῦτο λέγει, τὸ πλῆθος σημᾶναι βουληθείς. ἐντεῦθεν δείκνυσι τὸ πλῆθος. τοῦτο δηλοῖ τὸ πλῆθος· βουληθεὶς γὰρ σημᾶναι οὕτως εἶπε.

159,20 τὰς μὲν πεζομαχίας καὶ ἱππομαχίας ἃς ἐν Συρακούσῃ ἐποίησαν.

160,2 τὸ δὲ μηδ', ὡς ἀντέπεσε τὰ πράγματα, μηδὲν μᾶλλον ἀποστῆναι ἀντὶ τοῦ ὡς ἠναντιώθη τὰ τῆς τύχης. θέλει δὲ καὶ τὴν δυστυχίαν αὐτῶν ἐν ἐγκωμίου τάξει. ἐζήτηται δὲ πῶς, τῆς τέχνης παρακελευομένης ἐν τοῖς ἐγκωμίοις σιωπᾶν καὶ φεύγειν τὰ φαῦλα, ὁ ῥήτωρ ὁμολογεῖ τῶν Ἀθηναίων τὴν ἧτταν. λέγομεν ὅτι οὐδὲν ἄτοπον ὁμολογεῖ, ὅτι ἐκ τοῦ νομιζομένου κακοῦ ἔχομέν τι ἀγαθὸν δεῖξαι γενόμενον καὶ ἀρετῆς ἐχόμενον. πολλὰ γὰρ ἐντεῦθεν ἐδυστύχησαν. βούλεται δὲ καὶ τὴν δυστυχίαν αὐτῶν ἐν ἐγκωμίου τάξει λαβεῖν. μηδὲν μᾶλλον ἀποστῆναι τῆς Σικελίας. ἀπόντων μὲν ὁπλιτῶν, ἀπόντων δὲ ἱππέων εὐφήμως εἶπεν, ἀντὶ τοῦ ἀπολωλότων· μεγάλῃ γὰρ συμφορᾷ περιπεπτώκασιν ἐν Σικελίᾳ, ὥς φησιν ὁ συγγραφεύς. πάντας γὰρ τούτους ἐκεῖ ἀγαγόντες ἀπώλεσαν.

160,4 σκευῶν τῶν πρὸς πολιορκίαν ὀργάνων. σκευῶν καὶ τεχνῶν τῶν εἰς πολιορκίαν ὀργάνων, καὶ τῆς περὶ τὰ πολεμικὰ ἐπιστήμης. τεχνῶν μεθόδων.

160,5 μεθεστηκυίας ἐξ Ἀθηνῶν εἰς Σικελίαν. ἀντὶ τοῦ ἀπολουμένης. δύναται δὲ καὶ ἐπὶ μετοικήσεως ἡ λέξις νοηθῆναι. οὕτω γὰρ ἐπιφέρει, ὅτι ἐκεῖ τοσαύτην ἀπέστειλαν παρασκευὴν, ὡς μᾶλλον κτίσαι Σικελίαν. ὥσπερ ἄρτι τῆς πάσης Σικελίας οἰκιζομένης οἱ γὰρ πόλιν συνοικίζοντες ταῦτα πάντα παραλαμβάνουσιν. κεκενωμένης μὲν τῆς ἀκροπόλεως τῶν Ἀθηναίων.

160,6 ταλάντων ὀλίγῳ δεῖν μυρίων ἃ περὶ τὸν πλοῦν ἀνάλωσαν. Λακεδαιμονίων δὲ καὶ Βοιωτῶν οὐ τῶν ἐν Σικελίᾳ, ἀλλὰ τῶν ἐν τῇ Ἑλλάδι.

160,7 οὐκέτ' ἐκ Πελοποννήσου τὰς εἰσβολὰς ποιουμένων ὡς πρώην. τὰς εἰσβολὰς ποιουμένων εἰς Ἀθήνας. ἐκ Δεκελείας Δεκέλεια κώμη τῆς Ἀττικῆς, ἣν Λακεδαιμόνιοι μετὰ Βοιωτῶν τειχίσαντες, κἀκ ταύτης ἐξιόντες, ἐπολέμουν Ἀθήναις. τοῦτο δὲ ἐτόλμησαν ποιῆσαι, ἐπειδὴ Ἀθηναίους μεγάλως ἠτυχηκότας ἐν Σικελίᾳ ἤκουσαν. οἱ δὲ τῶν Ἀθηναίων δοῦλοι ὁρῶντες Ἀθήνας ὑπὸ τῶν Λακεδαιμονίων κατατρυχομένας, ηὐτομόλησαν πρὸς αὐτοὺς, ὄντες τὸ πλῆθος μυριάδες

δύο. ταύτην γὰρ ἐτείχισαν Λακεδαιμόνιοι, κώμην οὖσαν τῆς Ἀττικῆς, ὅτι ἐδυστύχησαν Ἀθηναῖοι ἐν Σικελίᾳ.

160,8 τῶν οἰκετῶν τῶν αὐτομόλων· λέγει δὲ δύο μυριάδας αὐτομολῆσαι. ἀδείας δ' ὑπαρχούσης αὐτομολεῖν τοῖς βουλομένοις ἐπειδὴ οἱ λοιποὶ ἑώρων τοὺς αὐτομολοῦντας οὐ τιμωρουμένους.

160,9 τοῖς βουλομένοις τῶν δούλων.

160,10 καρτερίας πρὸς τὸ φέρειν τὰς συμφορὰς τὰς τοσαύτας. ὥσθ' ἕτερον στόλον πέμπειν ἀντίρροπον τῷ προτέρῳ, καὶ στρατηγοὺς ἐφαμίλλους πρώην ἐν Σικελίᾳ πεντήκοντα καὶ ἑκατὸν ναῦς πέμψασιν Ἀθηναίοις, καὶ στρατηγοὺς Νικίαν καὶ Λάμαχον, ἐπειδὴ ἅπασα ἡ τοιαύτη παρασκευὴ ἥττηται, καὶ Λάμαχος ἐτεθνήκει, γράφει πάλιν Νικίας ἕτερον πέμπειν στόλον καὶ στρατηγόν· αὐτὸς γὰρ νεφρίτιδι νόσῳ κατείχετο. ἔπεμψαν οὖν Ἀθηναῖοι στόλον παραπλήσιον τῷ προτέρῳ, καὶ στρατηγὸν Δημοσθένην, ἐν τῇ Πύλῳ ἠριστευκότα. ὥσθ' ἕτερον στόλον πέμπειν ἡττηθείσης γὰρ τῆς πρώτης δυνάμεως ἐν τῇ Σικελίᾳ, καὶ γράψαντος Νικίου ὡς δεῖται στρατηγοῦ, ἀπέστειλαν ἄλλο στράτευμα, καὶ αὐτὸ ἡττήθη. ὥσθ' ἕτερον στόλον πέμπειν—καὶ Λακεδαιμονίους ἀξιοῦν ἐκεῖ πολιορκεῖν μετὰ τῆς συμμαχίας εἰπὼν καρτερίας καὶ ῥώμης καὶ φιλοτιμίας, πρὸς μὲν τὸ φιλοτιμίας ἐπήγαγεν, ὥσθ' ἕτερον στόλον πέμπειν, καὶ τὰ ἑξῆς, πρὸς δὲ τὸ καρτερίας, τὸ ἀξιοῦν ἐκεῖ Λακεδαιμονίους πολιορκεῖν· μεγάλης γὰρ καρτερίας καὶ ὑπὲρ φύσιν τὸ μὴ ζητεῖν τοὺς πολιορκοῦντας πρῶτον ἀπελάσαι, ἀλλ' ἀνέχεσθαι μὲν τούτων, ἐτέρωσε δὲ πέμπειν στόλον. τὸ δὲ ῥώμης κοινόν ἐστιν ἀμφοτέρων, τῆς τε καρτερίας καὶ φιλοτιμίας.

160,11 πέμπειν εἰς Σικελίαν. ἀντίρροπον ἴσον. στρατηγοὺς ἐφαμίλλους ὡς συμμαχοῦντας τοῖς ἐν Σικελίᾳ. Λαμάχου γὰρ ἀποθανόντος ἐκεῖ, καὶ γράψαντος Νικίου πεμφθῆναι αὐτῷ ἄλλον στρατηγὸν διὰ τὴν νεφρῖτιν νόσον, ἔπεμψαν Δημοσθένην τὸν ἐν Πύλῳ ἀριστεύσαντα. στρατηγοὺς ἐφαμίλλους τοῖς πρώην.

160,12 ἐκεῖ ἐν Ἀθήναις. μετὰ τῆς συμμαχίας τῶν Βοιωτῶν. ποίᾳ ταῦτ' ἔνεστι ψυχῇ παραλαβεῖν ἀνθρωπίνῃ ἡ σύνταξις οὕτως· τὸ δὲ μηδὲ ὡς ἀντέπεσε

τὰ πράγματα, ἐφεξῆς. μηδὲ τοσαύτην περιουσίαν καρτερίας ἐνδείξασθαι, ποίᾳ ταῦτ᾽ ἔνεστι ψυχῇ παραβαλεῖν ἀνθρωπίνῃ;

160,13 τίνος οὐκ εὐτυχίας μᾶλλον θαυμάσαι τοῦτο δὲ λέγει, ὅτι, εἰ μή τις εἴη εὐτυχὴς, καὶ δύναται ἀξίως θαυμάσαι. γενομένου δὲ τοῦ μεγάλου πάθους· οὐ γὰρ οὖν σιωπήσομαι ἐνταῦθα καθαρῶς ὁμολογήσας τὴν τῶν Ἀθηναίων ἦτταν, τεχνικῶς μεθοδεύει εἰς ἐγκώμιον μᾶλλον τοῦτο δεῖξαι τῆς πόλεως· ἡ γὰρ τοσαῦτα παθοῦσα καὶ μηδὲν μᾶλλον ἀπογνοῦσα, ἀλλὰ καὶ τοσαύτην τόλμαν ἐνδειξαμένη πρὸς τὰ λοιπὰ, ὥσπερ ἂν εἰ μηδὲν δεινὸν ἐπεπόνθει, μᾶλλον δὲ εἰ καὶ πᾶσαν τὴν Σικελίαν παρεκτήσατο, πῶς οὐκ ἐνταῦθα δείκνυσιν αὐτὴν ὡς ἁπασῶν πόλεων ἁπάσαις ὑπεραίρει ταῖς ψήφοις. σημείωσαι δὲ τὴν σύνταξιν· γενικὴν γὰρ πρόσθεν εἰπὼν, ἐπειδὴ ἐπανάληψιν ἐποίησεν, ἔτρεψε τὸν λόγον πρὸς αἰτιατικήν· εἰώθαμεν γὰρ τὰς τοιαύτας ἐναλλαγὰς ποιεῖν ἐν ταῖς ἐπαναλήψεσιν. ἐνταῦθα φανερῶς ὁμολογεῖ τὴν συμφορὰν τῶν Ἀθηναίων ἐν Σικελίᾳ. παραδόξως δὲ ἐπιχειρεῖ τὸ ἀτύχημα τῶν Ἀθηναίων εἰς ἐγκώμιον μεθοδεύων. ἐπειδὴ δὲ ᾔσθετο ἄτοπον ποιῶν, ἐγκωμίῳ μεμνημένος συμφορῶν ἐπάγει· οὐ γὰρ οὖν σιωπήσομαι· τοῦτο γὰρ δείκνυσι τὴν ἀνδρείαν τῆς πόλεως, ὅτι μετὰ τὴν ἦτταν οὐκ ἐπαύσατο πολεμεῖν, οὐδὲ ὑπεῖξαι τῇ τύχῃ.

160,14 ἀλλὰ καὶ τοῦτο ἔτι μείζω μοι δοκεῖ δεικνύναι τὴν πόλιν πρὸς τοὺς φάσκοντας μὴ δεῖν ὁμολογεῖν ἀτυχίας ἐν ἐγκωμίῳ ἀποτείνεται.

160,15 τοῖς ὑπολοίποις προσηνέχθη πράγμασιν ἀντὶ τοῦ τῷ μετὰ ταῦτα πολέμῳ· πράγματα γὰρ εἶπε τὸν πόλεμον.

160,16 τὴν μὲν τῶν τρόπων εὐκολίαν εὐκολίαν λέγει τὸ εὐχερῶς ἐνεγκεῖν τὴν συμφοράν· ἐν ἑτέροις δὲ τὸ τοῦ εὐκόλου διαβολὴν ἔχει. δοκεῖ γὰρ ὁ τὸν τρόπον εὐχερὴς καὶ εὐμετάβλητος. λέγει δὲ ὁ Θουκυδίδης ὅτι μετὰ τὴν ἦτταν οἱ Ἀθηναῖοι οὐκ ἔτι ἐτρύφων ὑπὲρ τοῦ μηδὲν ποιῆσαι, τουτέστι παραχωρῆσαι τοῖς Λάκωσι. τὴν μὲν τῶν τρόπων εὐκολίαν, —καὶ τάξιν διαίτης εὐκολίαν λέγει τὸ εὐχερῶς ἐνεγκεῖν τὴν συμφοράν· ἀλλαχοῦ δὲ τὸ τῆς εὐκολίας ὄνομα διαβολὴν ἔχει. τάξιν δὲ διαίτης λέγει, ἐπειδὴ

συνέστειλαν τὴν αὐτῶν δίαιταν, ἵνα δόξωσι μηδὲν φροντίζειν τῆς πολιορκίας Λακεδαιμονίων.

160,17 τάξιν διαίτης συνέστειλαν γὰρ τὴν αὐτῶν δίαιταν καὶ ταῖς τροφαῖς καὶ τοῖς ἄλλοις, ἵν' ἐντεῦθεν αὐτοῖς γένωνται χρήματα. ὑπὲρ τοῦ μὴ εἶξαι Λακεδαιμονίοις συνέστειλαν τὴν δίαιταν. ὑπὲρ τοῦ μηδὲν αἰσχρὸν συγχωρῆσαι τοῖς Λακεδαιμονίοις.

160,18 περιστάντων δὲ αὐτοὺς τῶν Ἑλλήνων ἁπάντων πλὴν Σαμίων καί τινων ὀλίγων. τῶν μὲν ὑπαρχόντων πολεμίων τῶν Λακεδαιμονίων. διὰ τί λέγει τῶν ὑπαρχόντων, καίτοι πολλοὺς εἶχον πολεμίους; ἀλλ' ὑπάρχοντας καλεῖ τοὺς Λακεδαιμονίους, μετὰ τῶν ἄλλων Ἀλκιβιάδου ἀποστάντος, ὅτε περὶ τῶν ἡρώων ἐκρίνετο.

160,19 τότε πρῶτον λαβόντων ἐλπίδας τῆς τούτων καταστροφῆς. παροξυνθέντων ὑπὸ τῆς τύχης τῆς αὐτῶν δυστυχίας.

160,20 ἐπελθόντων δὲ τῶν ἐκ Σικελίας τοὺς Συρακουσίους λέγει.

160,22 ἔτι δ' ἀγνωμοσύνης ἀπροσδοκήτου συμβάσης ἀχαριστίας, ὅτι τὸν Πέρσην ἤγαγον κατ' αὐτῶν, παρ' οὗ ἔσωσεν αὐτοὺς ἡ πόλις. ἀχαριστίας—κατ' αὐτῶν, ὑφ' ὧν πρότερον ἐσώθησαν ἀπ' ἐκείνου. ὥστε καὶ βασιλέα κληθῆναι κατὰ τῆς πόλεως, ὑπὸ τῶν ἀπ' ἐκείνου σωθέντων ταῖς ἀπὸ τῆς πόλεως πράξεσι οὐ λέγει τὸν Ξέρξην, ἀλλὰ τὸν αὐτοῦ υἱὸν Ἀρταξέρξην. εἰ δὲ τῶν ἀπ' ἐκείνου σωθέντων λέγει, μὴ θαυμάσῃς· οὗτος γὰρ κἀκεῖνος ἓν ἦσαν. ἴσθι δὲ ὅτι οὐ παραγέγονε βασιλεὺς αὐτὸς, ἀλλὰ στρατηγὸν Φαρνάβαζον ἔστειλεν.

161,2 προσγενομένου δὲ κἀκείνου μάλα ἀσμένως ἀσμένως ὑπήκουσε τοῖς Λάκωσιν ὁ Πέρσης, ἐπειδὴ ἐμνησικάκει Ἀθηναίοις, ὅτι ἥττησαν τὸν Ξέρξην, τὸν πρόγονον αὐτοῦ. συμπολεμοῦντος καὶ σώμασι καὶ ναυσὶ τὸ ἔχειν πλῆθος ἀνδρῶν, ἐν μὲν γὰρ γῇ πεζῶν, ἐν δὲ θαλάττῃ ναυτικῶν· μετὰ γὰρ τὴν νίκην ἦλθον οἱ Σικελιῶται ἐν Λακεδαιμονίᾳ, βοηθοῦντες αὐτοῖς, ὥσπερ ἀμειβόμενοι, ἀνθ' ὧν αὐτοῖς συνεμάχησαν ἐν Σικελίᾳ.

161,3 ἦν μὲν οὐδεὶς ἡ ἀπόδοσις ὧδε· περιστάντων δὲ αὐτοῦς, καὶ τὰ ἑξῆς, εἶτα ἀποδέδωκεν εἰπὼν, ἦν μὲν οὐδεὶς, ὅστις οὐκ ἂν ἤλπιζεν.

161,4 ἔξωθεν οὑτωσὶ σκοπῶν ὡς ἔτυχε, καὶ μὴ τὴν τῶν Ἀθηναίων ἐννοῶν ἀρετήν.

161,7 τὸ δὲ πάντων μέγιστον, ὅτι καὶ τῆς πολιτείας κινηθείσης καί τινων ἀλλοτριωθέντων σφίσι τῶν οἴκοι ἐν τούτῳ τῷ καιρῷ φησι Θουκυδίδης ὅτι τινὲς τῶν Ἀθηναίων, τετρακόσιοι τὸν ἀριθμὸν, ὁρῶντες τὴν πόλιν οὕτως ἔχουσαν, ἐστασίασαν, βουλόμενοι τὴν μὲν δημοκρατίαν καταλῦσαι, αὐτοὶ δὲ ἄρξαι. εἰκότως δὲ εἶπε τὸ πάντων μέγιστον· πᾶσαν γὰρ ὑπερῆρε δυστυχίαν τὸ καὶ τινὰς τῶν πολιτῶν ἔχειν πολεμίους. τὸ δὲ καί τινων ἀλλοτριωθέντων σφίσι τῶν οἴκοι, ἢ δι᾽ αὐτοὺς τούτους νόει, ἢ διὰ τοὺς ἀποστάντας δούλους, ὡς ἔφημεν. τούτου μέμνηται ὁ Θουκυδίδης. λέγει γὰρ οὕτως, καταφρονήσαντές τινες τῶν Ἀθηναίων, ὅτι ἥττηντο ἐν Σικελίᾳ, τετρακόσιοι ὄντες τὸν ἀριθμὸν, καὶ ἀχθόμενοι ἐπὶ τῇ δημοκρατίᾳ, ἐζήτησαν καταλῦσαι αὐτὴν καὶ αὐτοὶ ἄρξαι· ἀλλὰ κατέλυσε καὶ αὐτοὺς ἡ πόλις. λέγει οὖν ὅτι καὶ τοὺς πολίτας εἶχον πολεμίους τότε. καί τινων ἀλλοτριωθέντων πολεμίων γενομένων. καὶ Ὅμηρος «Ἀλλότριος φώς.» ἐκάλεσε δὲ αὐτὸ, ἐπειδὴ ἐξῆν αὐτοῖς ἀπὸ τοῦ Πειραιῶς ἐλθεῖν εἰς τὴν πόλιν.

161,8 τόπον οὐδένα ἔχοντες, οὗ χρὴ στῆναι, πλὴν Σάμου αὕτη γὰρ μόνη τότε ἡσύχασεν. τόπον οὐδένα ἔχοντες, οὗ χρὴ—τῆς Σαλαμῖνος βιάζεται πόλεμον ἕτερον δεῖξαι Μηδικόν. τότε γὰρ, φησὶ, μόνην εἶχον τὴν Σαλαμῖνα, νῦν δὲ μόνην εἶχε τὴν Σάμον.

161,10 τοῖς τότε Ἀθηναίοις. τὴν πόλιν ἐκλιπόντες μέρει τῷ πλείστῳ οἱ γὰρ πλείους τῶν πολιτῶν ἐστράτευσαν. κατεστήσαντο μὲν τὰ οἴκοι ἡ ἀπόδοσις ὧδε· καὶ τῆς πολιτείας κινηθείσης, κατεστήσαντο μὲν τὰ οἴκοι, ἐκράτησαν δὲ τοὺς ἔξω. κατεστήσαντο μὲν τὰ οἴκοι ἀντὶ τοῦ ἔπαυσαν τὴν τυραννίδα τῶν τετρακοσίων. τοὺς στασιάσαντας τετρακοσίους.

161,11 διέλαβον ἐμερίσαντο. ἀντὶ τοῦ ἐμερίσαντο. λέγει δὲ τὴν Κύζικον. τὸν Ἑλλήσποντον ἤγουν πᾶσαν τὴν Ἑλληνικὴν θάλατταν.

161,12 ὥσπερ μελέτας τὰ ἐν τῇ εἰρήνῃ γυμνάσια μελέτας νόει· διὰ τούτων γὰρ γυμναζόμεθα τὰ πολεμικά.

161,13 εἴρηταί τε καὶ ἐνεθυμήθην, ὡς ἑτέρῳ προείρηται τινὲς τὸ ἑτέρῳ διὰ τὸν Θουκυδίδην νοοῦσιν· εἶπε γὰρ κἀκεῖνος τὸ ἐνθύμημα τοῦτο ἐν ἀρχῇ· μετὰ κινδύνων τὰς μελέτας ποιούμενοι. ἄλλοι δὲ εἰς Πλάτωνα λέγουσιν αἰνίττεσθαι· καὶ αὐτὸς γὰρ ἐχρήσατο τοῖς ἐπιχειρήμασι τούτοις πρὸς τὸν ἐπιτάφιον τὸν καλούμενον καὶ Μενέξενον. ἄλλοι δὲ εἰς Ξενοφῶντα· καὶ γὰρ αὐτὸς ἐν τοῖς Ἑλληνικοῖς ταῦτ' εἴρηκεν. τῷ Θουκυδίδῃ· μέχρι γὰρ τῶν ἐνταῦθα τὰ Θουκυδίδου. τινὲς οὖν αὐτὸν εἰς Θουκυδίδην αἰνίττεσθαι λέγουσιν· εἶπε γὰρ κἀκεῖνος τὸ ἐνθύμημα τοῦτο ἐν τῇ πρώτῃ· μετὰ κινδύνων τὰς μελέτας ποιούμενοι. ἢ εἰς Πλάτωνα αἰνίττεται· καὶ γὰρ καὶ αὐτὸς φαίνεται ἐπιτάφιον γράψας τὸν καλούμενον Μενέξενον, ἐν ᾧ ἐχρήσατο τοῖς ἐπιχειρήμασι τούτοις. ἄλλοι δέ φασιν ὅτι εἰς Ξενοφῶντα ἀποτείνεται· καὶ γὰρ καὶ αὐτὸς ταῦτα ἐν ταῖς Ἑλληνικαῖς εἶπε. τέλος δ' ἐπὶ Κυζίκῳ συμπεσόντες, ὁμοῦ Λακεδαιμονίοις ὁ γὰρ Ἀλκιβιάδης αὐτοὺς κατεναυμάχησε.

161,15 λαμβάνουσι τὰς ναῦς ἃς πάντες οὗτοι εἶχον. παρ' ὅσας διέφθειραν χωρὶς ὧν διέφθειραν.

161,16 οἱ μὲν ἐκ ποδὸς ἱππομαχήσαντες τὸ ἐκ ποδὸς εἶπεν, ἐπειδὴ ἀπὸ τῶν νηῶν ἐξελθόντες τοῖς οἰκείοις ποσὶν ἐποιοῦντο τὴν μάχην. τὸ δὲ ἱππομαχήσαντες, ἐπειδὴ πρὸς οὓς ἐμάχοντο, ἱππεῖς ἦσαν. καὶ γὰρ Φαρνάβαζος, ἰδὼν Λακεδαιμονίους καταναυμαχηθέντας, προὐκαλέσατο Ἀθηναίους εἰς ἱππομαχίαν. οἱ δὲ αὐτίκα τῶν νεῶν ἐξελθόντες καὶ τούτου περιεγένοντο. οὐ μόνον τὸ ἐκποδὼν ἀντὶ τοῦ μακρὰν, ἀλλὰ καὶ ἀντὶ τοῦ παραυτίκα· ὥσπερ κἀνταῦθα τὸ ἐκ ποδός· καὶ γὰρ Φαρνάβαζος— περιεγένοντο. οἱ δ' Ἀθηναῖοι· λέγει δὲ ἀντὶ τοῦ οὗτοι δέ. ὁ γὰρ Ἀλκιβιάδης αὐτοὺς κατεναυμάχησε. ἀπὸ τῶν νεῶν ἀντὶ τοῦ ἐπὶ τῶν τριήρων ἱστάμενοι.

161,18 τὰς Λακεδαιμονίων ἐλπίδας Λακεδαιμονίων ἐλπίδας νόει ἢ τὴν ἀπὸ τοῦ βασιλέως συμμαχίαν, ἢ ἃς εἶχον, ὡς αὐτίκα καταστρέψονται Ἀθηναίους, μετὰ βαρβάρων καὶ τῶν ἄλλων Ἑλλήνων αὐτοῖς πολεμοῦντες. κενὸς ἤδη τοῖς ἐναντίοις ὁ πόλεμος ἦν ἀντὶ τοῦ ἀφορμὴν οὐκ ἔχων, οὐδὲ χορηγίαν· πάντα γὰρ αὐτοῖς διέφθαρτο.

161,19 πάντα τὰ αὐτῶν. ὥσπερ ἐκ ναυαγίας τινὸς ὡς ἀληθῶς οἱ γὰρ ναυαγίῳ περιπίπτοντες οὔτε ἣν φοροῦσιν ἐσθῆτα δύνανται σώσασθαι. τοσοῦτον ὑπερβληθεῖσα ὑπὸ τῆς συστάσεως τοσαύτην ὑπερβολὴν στάσει δεξαμένη.

161,20 ὑπὸ τῆς στάσεως ἣν ἔφημεν τετρακοσίων πολιτῶν. οὐδ' ὄνομα εἰρήνης ἐπ' ἐκείνων τῶν χρόνων ἐνενόησεν εἰς ἣν μάλιστα καταφεύγειν εἰώθασιν οἱ τὰ τοιαῦτα δυστυχοῦντες.

162,1 οἱ δ' ἀπὸ τοσούτων καὶ τηλικούτων πλεονεκτημάτων ὁρμώμενοι Λακεδαιμόνιοι. οἱ Λακεδαιμόνιοι. πλεονεκτημάτων δὲ λέγει τῶν διαφόρων συμμάχων· εἶχον γὰρ βασιλέα καὶ Συρακουσίους. ἀπὸ τοσούτων καὶ τηλικούτων πλεονεκτημάτων τῆς ἀπὸ τῶν βαρβάρων καὶ Ἑλλήνων συμμαχίας. πληγέντες κατέφυγον εὐθὺς ἐπὶ τὴν εἰρήνην μετὰ τὴν ἐν Κυζίκῳ ναυμαχίαν, ἣν ὑπ' Ἀθηναίων κατεναυμαχήθησαν Λακεδαιμόνιοι, ἡττηθέντες καὶ αὖθις ὑπὸ τῶν αὐτῶν τούτων ἐν Ἀργινούσαις, πρέσβεις Ἀθήναζε πεπόμφασι περὶ εἰρήνης. μετὰ γὰρ τὴν ἐν Κυζίκῳ ναυμαχίαν ἐπ' Ἀργιννούσαις οἱ Λακεδαιμόνιοι ἡττηθέντες περὶ εἰρήνης ἐπρεσβεύοντο. παραδόξως δὲ ἀπὸ τῶν συμφορῶν συγκρίνειν ἐπεχείρησε, τοῦτο εἰς ἀπόδειξιν ἀνδρείας δεχόμενος, τὸ δύνασθαι φέρειν τὰς συμφοράς.

161,2 ἀεὶ μὲν οὖν ἔγωγ' ἐμεμψάμην τοῖς ἐπιτιμῶσι τῇ τῶν Λακεδαιμονίων πόλει ἐντεῦθεν τὸ κεφάλαιον ἡ σύγκρισις· ἔστι γὰρ ἓν καὶ τοῦτο τοῦ ἐγκωμίου· αὔξησιν γὰρ ἐργάζεται τὸ κεφάλαιον ἀεί. ποιεῖται δὲ τὴν σύγκρισιν πρὸς Λακεδαιμονίους, οἵτινες ἐνομίζοντο μείζους εἶναι τῶν πάντων Ἑλλήνων. δεινῶς δὲ αὔξει ἀπὸ τῆς ἀρχῆς τὴν πόλιν ἐπιτιμῶν μὲν τοῖς συγκρίνουσιν αὐτὴν τοῖς Λακεδαιμονίοις, διότι πρὸς ἥττους ἡ σύγκρισις, διὰ δὲ τὸν νόμον τῆς τέχνης χρώμενος καὶ αὐτὸς τῇ συγκρίσει· καὶ ἔστι Θουκυδίδου ἡ μεταχείρησις. κἀκεῖνος γὰρ ἐν τῷ προοιμίῳ τοῦ ἐπιταφίου καταμέμφεται τὸν νομοθέτην τὸν κελεύοντα ἐπιτάφιον λέγεσθαι, εἶτα ὕστερον καὶ αὐτὸς κέχρηται αὐτοῦ.

161,3 ἐκείνοις μὲν γὰρ ἀπεχθάνονται ἀντὶ τοῦ ἐκείνοις ἀποῦσι· λέγει δὲ τοὺς Λακεδαιμονίους.

161,6 τῆς βλασφημίας βλασφημίαν καλεῖ τὸ ἀνόμοιον τῆς συγκρίσεως.

161,7 ὅτι πρὸς τὴν πόλιν κρίνονται, τοῦτο κερδαίνουσιν τὸ γὰρ συγκρίνειν οὐκ εἴρηται.

161,11 τὰ προσάλληλα τῶν πράξεων αἱ κοινωνίαι.

161,14 τριακοσίων ἀνδρῶν τῶν ἐν Πύλαις. οὐκ ἐνεγκόντες, ἀλλ᾽ εὐθὺς ἐγκλίναντες ἀκούσαντες γὰρ τοὺς ἐν Πύλαις ἀπολωλότας εἰς φυγὴν ἐτράπησαν, ὅτ᾽ ἐν Σαλαμῖνι μετ᾽ Ἀθηναίων καὶ τῶν ἄλλων ἵσταντο. εὐθὺς ἐγκλίναντες χαλάσαντες τοῦ φρονήματος, χαυνωθέντες.

161,15 τῇ πόλει τῶν Ἀθηναίων.

161,16 ὥσπερ ἐν ἄθλοις, ὅταν πᾶς τις εἴκῃ ἐν τοῖς ἀγῶσι πάντες οἱ μαχόμενοι καὶ οἱ μὴ ὑπείκουσιν ἑκόντες τῷ ἀναφανέντι τῶν ἀθλητῶν κρείττονι. ὅταν πᾶς τις εἴκῃ τῷ ἀναφανέντι κρείττονι. τῷ κρείττονι. τουτέστιν, ὅταν πᾶς καὶ ὁ μὴ μαχεσάμενος ὑποχωρήσῃ τῆς νίκης τῷ κρείττονι τῶν Ἀθηναίων.

161,17 μετὰ ταῦτ᾽ ἦγουν ὕστερον τῶν Περσικῶν. οὐ μόνον οὐ καταπτήξασα φαίνεται ἀπὸ κοινοῦ.

161,18 οὕτω διαθεῖσα τοὺς πολεμίους, —πεῖσαι τὴν πόλιν ἐν Σικυῶνι μετὰ Σικελίας νικήσασα. ἐν γὰρ Σικυῶνι τοὺς Λακεδαιμονίους μετὰ Σικελίας ἐνίκησε.

162,19 εἴ τις εἰρήνην ἄγειν δυνηθῇ πεῖσαι τὴν πόλιν μετὰ τὰ ἐν Σικελίᾳ ἐνίκησε τοὺς Λακεδαιμονίους ἡ πόλις, ὡς εἰπεῖν. ἐν Κυζίκῳ οὖν ἐνίκησεν, ὥστε Λακεδαιμονίους ἐπιθυμῆσαι ἰδεῖν τινα παρακαλέσαι τὴν πόλιν, ὥστε ἄγειν εἰρήνην. οἱ μέν, ὡς ἤκουσαν τὴν Κόνωνος ἐν Μιτυλήνῃ πολιορκίαν, οὐκ ἐξεπλάγησαν ὑπὸ Καλλικρατίδου στρατηγοῦ Λακεδαιμονίων συνηλάθη εἰς Μιτυλήνην Κόνων μετὰ Λέοντος καὶ Ἐρασινίδου, τῶν συστρατήγων· καὶ γὰρ κατὰ γῆν μὲν ἐβιάζετο τῷ ἀπὸ Χίου στρατεύματι καὶ τῷ ἐκ Μεθύμνης, κατὰ θάλασσαν δὲ ὑπὸ Λακεδαιμονίων. συμβαλὼν οὖν Καλλικρατίδῃ ἐνικήθη. μαθόντες δὲ Ἀθηναῖοι τὴν τῶν σφετέρων στρατηγῶν ἧτταν καὶ παροξυνθέντες ἔπεμψαν οὐκ ὀλίγας ναῦς ἐκεῖσε καὶ στρατηγοὺς δέκα· οἳ καὶ συμβαλόντες ἐπ᾽ Ἀργινούσαις τοῖς Λακεδαιμονίοις κατὰ κράτος

ἐνίκησαν. εἰς γὰρ Μιτυλήνην Κόνων συνηλάθη μετὰ Λέοντος καὶ Ἐρασσινίδου συστρατήγων ὄντων ὑπὸ Καλλικρατίδου, κατὰ γῆν μὲν τῷ ἀπὸ Χίου στρατεύματι καὶ τοῖς Μηθυμναίοις, κατὰ θάλατταν δὲ ταῖς ναυσὶ τὸν λιμένα, ὡς Ξενοφῶν. συμβαλὼν δὲ Κόνων τοῖς Λακεδαιμονίοις ἐκεῖ ἡττήθη καὶ ἐπολιορκήθη παρ᾽ αὐτῶν. ὡς ἤκουσαν Ἀθηναῖοι.

162,21 ὅσαις οὐδ᾽ ἂν εἷς εἰκάσειε ναυσὶν οὐ διὰ τὸν ἀριθμὸν, ἀλλὰ διὰ τὰς συμφορὰς τὰς ἐν Σικελίᾳ συμβάσας. διὰ τὸ πλῆθος. ἐλάττοσι δ᾽ ὅμως ἔτι τῶν ἀντιπάλων ἐκ τοῦ εἰπεῖν ἐλάττοσι τῶν πολεμίων αὔξει μὲν τούτους, μείζους δὲ τοὺς Ἀθηναίους ποιεῖ, νικήσαντας ἐκείνους, ὧν ἦσαν αὐτοὶ ἐλάττους· καὶ γὰρ Ἀθηναῖοι μὲν ὀκτὼ καὶ ἑκατὸν εἶχον ναῦς, Λακεδαιμόνιοι δὲ ἑβδομήκοντα πρὸς τοῖς ἑκατόν. ἑκατὸν καὶ ἑβδομήκοντα εἶχον ἐκεῖνοι, Ἀθηναῖοι δὲ ἑκατὸν καὶ πεντήκοντα.

163,1 ὥσπερ ἄλλου μέν τινος ἀεὶ παρέχοντος σφίσι τὰς τριήρεις τὸ ὥσπερ ἄλλου μέν τινος ἀεὶ παρέχοντος σφίσι τὰς τριήρεις ἔμφασιν ἔχει τῆς τῶν Ἀθηναίων περιουσίας, ἣν εἶχον περὶ τὰς ναῦς, καὶ ὅτι πολλὰς ναῦς ἀπολωλεκότες ἐν Σικελίᾳ καὶ ἑτέρωθι οὐκ ἀπεῖπον, ἀλλ᾽ ὥσπερ ἂν εἰ μηδὲν τοιοῦτον πεπόνθεσαν, οὕτως ἐποιοῦντο τοὺς στόλους.

163,2 ἐν δὲ τῷ Καρὶ, καὶ οὐκ ἐν τοῖς ἑαυτῶν σώμασι τὰς πείρας ποιούμενοι παροιμία ἐστὶν ἐν Καρὶ τὸν κίνδυνον, τουτέστιν, οὐκ ἐν τοῖς αὐτῶν σώμασιν, ἀλλ᾽ ἐν ἀλλοτρίοις, ὡς καὶ οὗτος ἑρμηνεύει εὐθύς. Κᾶρες γὰρ πρῶτοι ἀνθρώπων ἐμισθοφόρησαν, οὓς καὶ προύταττον τῷ πολέμῳ. φέρεται δὲ καὶ ἑτέρα παροιμία, ἐν Καρὸς μοίρᾳ, ἐπὶ τῶν εὐτελῶν καὶ δουλοπρεπῶν ταττομένη. παροιμία. παροιμία ἐστὶν ἐν Καρὶ τὸν κίνδυνον. τὸ δὲ οὐκ ἐν τοῖς αὐτῶν σώμασι, τουτέστιν ἐν ἀλλοτρίοις σώμασιν· οἱ γὰρ μισούμενοι αὐτοῖς προέταττον ἐν τοῖς κινδύνοις. λέγεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἀφειδῶς εἰς τὰ ἑαυτῶν σώματα πολεμούντων, ἀπὸ μεταφορᾶς τῶν Καρῶν· οὗτοι γὰρ τὰ ἑαυτῶν σώματα ἐμίσθουν εἰς τοὺς πολέμους. πρῶτοι γὰρ λέγονται βαρβάρων μισθοφορῆσαι· ὅθεν καὶ ὁ ποιητής φησι «Τίω δέ μιν ἐν Καρὸς αἴσῃ.» Ἑλλήνων δὲ πρῶτοι Ἀρκάδες ἐμισθοφόρησαν. τὰς πείρας τὰς πολεμικάς.

163,3 οὔτε τῆς Καλλικρατίδου δόξης ἣν εἶχεν εἰς τὸ μάχεσθαι. στρατηγὸς γὰρ οὗτος ἔνδοξος Λακεδαιμονίων, ὁ Καλλικρατίδης. ἣν εἶχε περὶ τὰ πολέμια. οὔτε νήσων ἐχομένων ἃς παρεστήσαντο Λακεδαιμόνιοι.

163,4 οὔτε ἠλλοτριωμένης, ὡς εἰπεῖν, ἤδη τῆς τύχης τῶν Ἀθηναίων, καὶ πρὸς Λακεδαιμονίους πεσούσης. οὐ χειμῶνος ἡττήθησαν τοσοῦτον χειμῶνα φασὶν εἶναι, ὅτε τὴν ἐν Ἀργινούσαις μάχην Ἀθηναῖοι κατώρθωσαν, ὡς μὴ δυνηθῆναι τοὺς τῶν Ἀθηναίων στρατηγοὺς ἀνελέσθαι τῶν πεπτωκότων τὰ σώματα καὶ θάψαι κατὰ τὸν νόμον. ἐλθόντες οὖν ἐν Ἀθήναις, καὶ κατηγορηθέντες ὑπὸ Καλλιξένου περὶ τούτων ἀκρίτως ἀπέθανον. ὕστερον δὲ καταγνόντες Ἀθηναῖοι τοῦ Καλλιξένου, ὡς παραλόγως αὐτοὺς πεπεικότος ἐπὶ τοὺς στρατηγοὺς, λιμῷ ἀναιροῦσιν. ὅτε οἱ δέκα στρατηγοὶ νικήσαντες οὐκ ἀνείλοντο τὰ σώματα διὰ τὸν χειμῶνα, καὶ θανάτῳ ἐζημιώθησαν. ἡ ἱστορία δέ φησιν ὅτι τοσοῦτος χειμὼν γέγονεν, ὥστε τοὺς συστρατήγους μὴ δύνασθαι λαβεῖν τῶν πεπτωκότων τὰ σώματα· διὸ κατηγορήσαντος αὐτῶν Καλλιξένου καὶ νενικηκότος, τεθνήκασιν ἀκρίτως. ὕστερον δὲ μεταγνόντες Ἀθηναῖοι, καὶ τοῦτον ἀνεῖλον, καὶ νόμον ἔθεντο ἄνευ κρίσεως μὴ κτεῖναί τινα.

163,5 οὐχ ὅσον τοῦ πολέμου τὸ λοιπὸν ἐνεθυμήθησαν λοιπὸν τοῦ πολέμου λέγει, ἢ τὰς μετὰ ταῦτα συμβησομένας αὐτοῖς πρὸς Λακεδαιμονίους μάχας, ἐὰν τοῦτον κατορθώσωσι τὸν πόλεμον· ἢ λοιπὸν λέγει, οὓς ἔμελλον τῷ πολέμῳ κτήσασθαι πόνους· πρῶτον γὰρ ἡ παρασκευὴ καὶ ἡ ἐκστρατεία, δεύτερον δὲ αὐτὸς ὁ πόλεμος. ἔμελλον γὰρ πρὸς πλείους μαχεῖσθαι. ὥσπερ ἐπαρκοῦν εἰς τὴν θάλατταν ἰδεῖν εἰς νίκην τὸ μόνον εἰς τὴν θάλατταν αὐτοὺς ἰδεῖν.

163,6 κρατοῦσι δὲ σύμπαντας Πελοποννησίους πάντας γὰρ τοὺς ἐν Πελοποννήσῳ Λακεδαιμόνιοι τότ’ εἶχον συμμάχους.

163,7 ὁμοῦ τῷ σκηπτῷ ὃν εἶπε χειμῶνα, νῦν σκηπτὸν ἐκάλεσεν. ἰστέον δὲ ὅτι ἔφυγε δεθεὶς ὁ Καλλίξενος, καὶ ὕστερον ἐπανελθὼν λιμῷ διεφθάρη. τῇ ἐπικειμένῃ τοῦ χειμῶνος ζάλῃ.

163,8 τοσοῦτον ἐποίησαν τῆς πολιορκίας τὸ διάφορον πολιορκοῦντες γὰρ ἐν Μιτυλήνῃ Λακεδαιμόνιοι τὸ τῶν Ἀθηναίων, οὗ Κόνων ἦρχεν, αὐτοὶ ὑπὸ

τῶν ἐπελθόντων Ἀθηναίων τῆς πολιορκίας ὑπέστησαν. τῆς πολιορκίας τῆς πρὸς τὸν Κόνωνα.

163,9 ὅτι ἄνδρα ῥύονται πολιορκήσαντες γὰρ αὐτὸν εἶχον ἐν ταῖς ναυσίν. τῆς πολιορκίας. ὃς μόνος ἤρκεσε τὴν Λακεδαιμονίων ὕστερον δυναστείαν καταλῦσαι αἰσθόμενος ὁ Κόνων διὰ τὴν πρόσθεν ἦτταν, μετὰ τὸ ἐλθεῖν εἰς Ἀθήνας, Ἀθηναίους ὀργιζομένους αὐτῷ, ἔφυγεν εἰς Εὐαγόραν, βασιλέα τῆς Κύπρου. ὕστερον Ἀθηναίοις Λακεδαιμονίους ναυμαχήσαντες καὶ κατὰ τῆς Ἀσίας στρατεύονται, καὶ ἐδῄουν τὰ βασιλέως Περσῶν πράγματα. Εὐαγόρου δὲ συμμαχοῦντος βασιλεῖ, καὶ Κόνων παραγίνεται· καὶ συμβαλὼν Λακεδαιμονίοις, καὶ κατὰ κράτος νενικηκὼς ἐν τῇ Κνίδῳ, ἐπάνεισιν εἰς Ἀθήνας, καὶ ταύτας τειχίζει· Λακεδαιμόνιοι γὰρ πρόσθεν κεκρατηκότες καθαιροῦσι τὰ τείχη, ὅτε καὶ τοὺς τριάκοντα τυράννους τῷ δήμῳ τῶν Ἀθηναίων ἐπέστησαν. εἷς γὰρ ὢν τῶν δέκα στρατηγῶν ὁ Κόνων, ἔφυγεν αἰσθόμενος τῆς Ἀθηναίων ὀργῆς, καὶ ἐλθὼν πρὸς Εὐαγόραν, τὸν τῆς Κύπρου βασιλέα, διέτριβεν. ὕστερον δὲ μετὰ τὸ νικῆσαι τοὺς Ἀθηναίους Λακεδαιμόνιοι καὶ κατὰ τῆς Ἀσίας στρατεύονται, Εὐαγόρου συμμαχοῦντος βασιλεῖ, καὶ Κόνων παρεγένετο, καὶ καταναυμαχήσας Λακεδαιμονίους ἐλθὼν εἰς τὴν Ἀττικὴν τὰ τείχη τῶν Ἀθηναίων ἀνέστησε. κατέλυσε δὲ τὴν δυναστείαν Λακεδαιμονίων ἐν Κνίδῳ· τὴν δὲ ἱστορίαν Ἰσοκράτης λέγει ἐν τῷ Εὐαγόρᾳ. οἱ δ’ οἱ Λακεδαιμόνιοι καὶ οἱ σὺν αὐτοῖς Ἕλληνες. οἱ δ’, ὥσπερ ἅπαντες καταναυμαχηθέντες, εἰρήνης αὖθις ἐδέοντο τὸ οἱ δὲ διὰ τοὺς Λακεδαιμονίους καὶ τοὺς συμμαχοῦντας αὐτοῖς Ἕλληνας εἰπὼν, παρεξάγει τὸν λόγον καὶ πρὸς πάντας, διὰ τοῦ εἰπεῖν, ὥσπερ ἅπαντες καταναυμαχηθέντες, καὶ ὅτι πάντες οἱ Ἕλληνες εἰρήνην ἐποιήσαντο. ὅτι δὲ τοῦθ’ οὕτως ἔχει δείκνυται καὶ διὰ τοῦ ἐπαγομένου· οὕτως οὐ μόνον τοὺς ἐν τοῖς ἀγῶσι παρόντας εἴθιστο τότε νικᾶν ἡ πόλις, ἀλλὰ καὶ τοὺς ἄλλους ἐξέπληττεν.

163,10 ὥσπερ ἅπαντες καταναυμαχηθέντες οὐ γὰρ ἅπαντες Ἕλληνες, ἀλλ’ ὅσοι μετὰ Λακεδαιμονίων ἡττήθησαν.

163,11 τοὺς ἐν τοῖς ἀγῶσι παρόντας παρόντας λέγει ἐν τῇ μάχῃ, ἀπόντας δὲ τοὺς μὴ ὄντας ἐν τῇ μάχῃ, ἀλλ’ ἀκηκοότας τὴν ἦτταν, καὶ εἰρήνης

ἐπιθυμήσαντας.

163,12 διὰ πάντων ἐνίκα καὶ ἐξ ὧν ἐποίει καὶ ἐξ ὧν ἀκοῇ μόνῃ κατέπληττεν.

163,13 τὴν ἐν τοῖς δεινοῖς εὐψυχίαν καρτερίαν καὶ γενναιότητα.

163,15 νικῶσα ταῖς εὐπραξίαις, —ὁμοίως ἐνήνοχε συμφορὰς οὐ τῷ πλείονα ἀτυχῆσαι λέγει αὐτὴν νενικηκέναι, ἀλλὰ τῷ φέρειν τὰς συμφορὰς καὶ μὴ ταπεινοῦσθαι.

163,16 τοῦ μὲν οὖν ἐν οἷς κατώρθωσε, νικᾶν— ἄλυτα ὑπάρχει διττὰ σημεῖα τοῦ νικᾶν, φησὶ, Λακεδαιμονίους ἐν τῷ κατορθοῦν χωρίς ἐστιν ὧν κατὰ αὐτῶν ἔπραξε Λακεδαιμονίων. δύο ταῦτα ἄλυτα τεκμήρια. καλῶς δὲ τὸ ἐν οἷς κατώρθωσεν, ἡ προσθήκη· βούλεται γὰρ αὐτὴν καὶ ἐν οἷς ἡττήθη νικᾶν. ἐν οἷς κατώρθωσε πρὸς ἄλλους ἰδίᾳ καὶ μετ᾽ αὐτῶν. πρὸς τοὺς ἄλλους.

163,17 τοὺς ἀντιπολιτευσαμένους ἀντὶ τοῦ τοὺς ἀντισεμνυνομένους, ἵνα λέγῃ Λακεδαιμονίους. λέγει δὲ ὅτι χωρὶς ὧν ἐνίκησαν αὐτοὺς Λακεδαιμονίους ἕτερα διττὰ σημεῖα νίκης ἄλυτα αὐτῇ ὑπάρχει, ἅ τε μόνη νενίκηκεν ἐν Μαραθῶνι καὶ ἃ κοινῇ μετὰ τῶν Ἑλλήνων ἐν Σαλαμῖνι. ἐν ἑκάστῳ γὰρ, φησὶν, ὑπερεβάλετο πάντας. ἅ τε γὰρ κατ᾽ αὐτὴν ἔπραξε ἐν Μαραθῶνι.

163,18 οὐχ ὅσον ἀγνοῆσαι ἀντὶ τοῦ οὐ μικρῶς· ἡ γὰρ μικρὰ ὑπερβολὴ πολλάκις λανθάνει. ἤγουν οὐ μικρῶς· τὸ γὰρ μικρὸν κατόρθωμα πολλάκις λανθάνει. ἅ τ᾽ ἐν ταυτῷ γενομένων ἔπραξε.

163,19 ὁμοῦ πάντες ἐλάττους ἀντιθεῖναι ἀντὶ τοῦ πάντες μικροί εἰσιν εἰς τὸ συγκρίνεσθαι τῇ πόλει· ἐσχημάτισται γὰρ ἡ λέξις. κρείττων δὲ γέγονε τῶν νενικηκότων τῷ φέρειν τὰ δυσχερῆ. ἐλάττους τούτων. εἰσίν. ἀντιθεῖναι αὐτοὺς τῇ πόλει. ἔν γε τοῖς δυσκόλοις ἤγουν ἐν ταῖς δυσπραγίαις.

163,20 οἱ μὲν γὰρ εἴκοντες ἐν ταῖς αὐτῶν δυστυχίαις. ταῖς δυσπραγίαις ὅταν περιπέσωσι.

163,21 ἀμφοτέρας τὰς νίκας καὶ τῶν δυστυχιῶν καὶ τῶν εὐτυχιῶν.

164,1 ἐθνῶν ἢ συστημάτων λέγει, ἢ πολλῶν ὁμοῦ γενῶν. Δωριέων, Αἰολέων, Ἰώνων, καὶ τῶν λοιπῶν.

164,2 αὐτῆς δ᾽ οὐδεὶς ὅστις οὐ μετὰ πολλῶν συμμάχων εἰς Λακεδαιμονίους αἰνίττεται· ὡς λέγει ὁ Θουκυδίδης ἐν τῷ ἐπιταφίῳ, ὅτι μέρος τῆς πόλεως ἐνίκησαν συμβαλόντες μέρει τῶν ἱππέων.

164,3 τοὺς ἐπιόντας κατ᾽ αὐτῆς. κινοῦντας δι᾽ ὧν παρὰ γνώμην αὐτοὶ πράττειν. αὐτὴν πρὸς πόλεμον.

164,4 ἀθρόας δὲ τῆς δυνάμεως ἢ τὶς ἢ οὐδεὶς ἐπειράθη τὸ μὲν τὶς λέγει διὰ μόνον τὸν Ξέρξην, τὸ δὲ οὐδεὶς, ἐπειδὴ καὶ οὗτος κατὰ κράτος ἡττηθεὶς ἔφυγεν· ἄλλως τε καὶ τῆς παροιμίας λεγούσης, εἷς οὐδεὶς, διὰ τὸ μὴ τοῦ ἑνὸς λόγον εἶναι. τὸ Θουκυδίδειον· ἢ οὐδεὶς, φησὶν, ἐπειράθη τῆς πόλεως, ἢ μόνος εἷς, τουτέστιν ὁ Ξέρξης.

164,5 αὐτὴ δ᾽ ἴσα καὶ ἀήττητός ἐστι ἢ ὁμοίως καὶ σχεδὸν ἀήττητός ἐστιν, ἢ παρέλκεται Ἀττικῶς τὸ ἴσα. ἴσα ὥσπερ.

164,6 οὐδεὶς γὰρ αὐτῆς τὴν γνώμην παρεστήσατο βούλεται καὶ ἐν τῇ προαιρέσει τὴν νίκην εἶναι· οἷς ἡττηθεῖσα οὐκ ἐταπείνωσεν ἑαυτήν. τὴν γνώμην τὴν γενναιότητα καὶ τὸ φρόνημα· οὐ γὰρ ἡττηθεῖσα ἀπεῖπε ταῖς συμφοραῖς.

164,7 αὐτὴ δὲ τὰς γνώμας τῶν ἐναντίων ἅμα ἔργοις δεδούλωται κατεδουλώσατο τῷ φυγεῖν αὐτὴν τοὺς πάντας.

164,9 ἀνακλίνασα ταπεινώσασα. χαυνώσασα, ὑπτιάσασα. οὐχ ἧττον τοὺς ἀκούοντας ἢ τοὺς ἐν ταῖς μάχαις παρόντας πλέον τοὺς ἀκούσαντας τῶν πεπονθότων τῷ πάντας ἐπιθυμῆσαι εἰρήνην. τοὺς ἀκούοντας τὴν τῶν οἰκείων ἧτταν.

164,10 τῶν πόλεων τούτων τῆς τῶν Ἀθηναίων, καὶ τῆς τῶν Λακεδαιμονίων. Ἀθηνῶν καὶ Λακεδαίμονος.

164,12 ἐν Λεύκτροις τόπος τῆς Βοιωτίας. ἀτυχήσαντες ὑπὸ Θηβαίων. οὐκ ἀνήνεγκαν οὐκ ἀνεσώθησαν. ἀντὶ τοῦ οὐκ ἀνέλαβον, οὐκ ἀνεσώθησαν· ἀπὸ μεταφορᾶς τῶν ναυαγίων τῶν μὴ ἀναφερομένων. ἤγουν οὐκ εἰς τὴν

πρόσθεν εὐδαιμονίαν ἐπανῆλθον. ὥσπερ ἀνδρὸς τελευτὴ κἀκείνοις συνέβη ταῖς γὰρ πόλεσι παρέπεται ποτὲ μὲν ἀκμάζειν, ποτὲ δὲ ἀσθενεῖν· ἄνθρωπος δὲ, ἐπὰν ἀποθάνῃ, οὐ δύναται ἀναζῆσαι.

164,13 εἰρήνην μὲν γὰρ ἀπηξίωσαν ποιήσασθαι πρὸς Θηβαίους ἀπηξίωσαν Λακεδαιμόνιοι πρὸς Θηβαίους εἰρήνην ποιήσασθαι. διὰ τοῦτο ἐλθόντες εἰς Θηβαίους εἰρήνης ἐδέοντο. εἰπόντων δὲ τῶν Θηβαίων ὡς οὐ πρότερον εἰρήνην ποιήσονται, πρὶν ἂν Μεσσηνίους καὶ τοὺς ἄλλους αὐτονόμους ποιήσονται, ἐπεὶ ταῦτα Λακεδαιμονίοις οὐκ ἤρεσκεν, εἰρήνη οὐ γέγονεν. ψεύδεται· οὐ γὰρ ἀπηξίωσαν· ἀλλ᾽ ἐπειδὴ ᾔτουν αὐτοὺς, ἐπὶ τὴν εἰρήνην τοὺς ἰδίους συμμάχους, τοὺς Μεσσηνίους, αὐτονόμους ἐᾶσαι, διὰ τοῦτο οὐκ ἠβουλήθησαν.

164,14 ἀναμιχθέντες δὲ τοῖς ἄλλοις Πελοποννησίοις ὅ ἐστι κοινῇ πολεμήσαντες μετὰ Πελοποννησίων Θηβαίους.

164,15 οὐ μᾶλλον σώζειν ἑτέρους εἶχον ἢ τῶν ἄλλων ἐδέοντο σώζειν σφᾶς κατὰ κράτος γὰρ ἥττηνται. καίτοι τὸ μέγιστόν γε αὐτοῖς—καθάπαξ ἀναρπασθῆναι νενικηκότες δεύτερον Λακεδαιμονίους Θηβαῖοι ἐζήτουν καὶ τὴν χώραν αὐτῶν κατασκάψαι· καὶ Ἀθηναῖοι μαθόντες οὐκ εἴασαν. ἀντὶ τοῦ μέγα αὐτοῖς ἐβοήθησεν, ὅτι οἱ Θηβαῖοι νικήσαντες ἐν Λεύκτροις ἐζήτουν αὐτοὺς κατασκάψαι, καὶ οὐκ εἴασεν ἡ πόλις.

164,16 ὥσπερ καταιγίδος, ἢ στροβίλου τινὸς, ἐμβολῇ καταιγίς ἐστιν ἀνέμων συστροφή. μιμεῖται δὲ τὸν στρόβιλον, ὅ ἐστι σημεῖον σκοτῶδες.

164,17 ἡ δὲ πόλις κλαπεῖσα τῇ ναυμαχίᾳ τῇ καθ᾽ Ἑλλήσποντον τὰ ἐν Αἰγὸς ποταμοῖς λέγει, ὅτε ὁ τῶν Ἀθηναίων στρατηγὸς Κόνων ἀφεὶς τὰς ναῦς μετὰ νίκην ἐξῆλθε μετὰ τῶν ἐν αὐταῖς εἰς τὴν χέρσον διά τινα χρείαν. ἐλθὼν οὖν Λύσανδρος, ὁ τοῦ ναυτικοῦ τῶν Λακεδαιμονίων ἄρχων, καὶ τὰς ναῦς εὑρὼν ὀλίγους ἐχούσας τινὰς ἐντὸς ἐπιθέμενος ἀφείλετο· λέγει οὖν τὴν τοιαύτην νίκην κλοπήν. ὁ δὲ Αἰγὸς ποταμὸς τόπος ἐστὶ πλησίον Σηστοῦ, καταντικρὺ Λαμψάκου. ἐλθὼν δὲ Λύσανδρος ἐν τῷ Πειραιεῖ, καὶ σῖτον οὐκ ἐῶν εἰς τὴν πόλιν παραγενέσθαι λιμαγχονήσας Ἀθηναίους, ἠνάγκασεν αὐτοὺς ταῖς οἰκείαις χερσὶ καθελεῖν τὰ τείχη. τότε καὶ τριάκοντα τύραννοι, Λακεδαιμόνιοι, μετὰ Κριτίου τοῦ σοφιστοῦ τῷ δήμῳ

τῶν Ἀθηναίων ἐπέστησαν. τότε καί τινες τῶν Ἀθηναίων οὐκ ὀλίγοι στασιάσαντες προσετέθησαν τοῖς τυράννοις. τὰ ἐν Αἰγὸς ποταμοῖς λέγει. κλοπὴν δὲ εἶπε τὴν νίκην, ἐπειδὴ ἀπόντος τοῦ Κόνωνος μετὰ νίκην ἐπὶ λαχανισμὸν καὶ φρυγανισμὸν ὁ Λύσανδρος, ὁ στρατηγὸς τῶν Λακεδαιμονίων, εὑρὼν ἐρήμους τὰς τριήρεις ἐπιθέμενος λαθών πως ἀφείλετο. στερηθεῖσα—τῶν τειχῶν νικήσαντες γὰρ Λακεδαιμόνιοι ἐλθόντες ἠνάγκασαν τοὺς Ἀθηναίους ταῖς ἑαυτῶν χερσὶ κατασκάψαι τὰ ἑαυτῶν τείχη.

164,18 Λακεδαιμονίων οὐδὲν μέτριον ποιούντων διὰ μὲν τῶν τυράννων πρὸς Ἀθηναίους, δι᾽ ἑαυτῶν δὲ πρὸς τοὺς τῶν Ἀθηναίων συμμάχους.

164,19 ἐκείνους μὲν δι᾽ ἑνὸς ἀνδρὸς ἀφείλετο τῆς θαλάττης τὴν ἀρχὴν τοὺς Λακεδαιμονίους λέγει διὰ τοῦ Κόνωνος ἐν τῇ Κνίδῳ. ἐν τῇ Κνίδῳ γὰρ διὰ τοῦ Κόνωνος κατεναυμαχήθησαν. δι᾽ ἑνὸς ἀνδρὸς τοῦ Κόνωνος.

164,20 ἐπέστη τοῖς Ἑλληνικοῖς ἦρξε καὶ ἡγεμόνευσεν· Ἑλληνίδα δὲ λέγει τὴν ἡγεμονίαν. ἤγουν τῶν Ἑλληνικῶν ἦρξε πραγμάτων, ἐκπλήξασα πάντας τῇ ἐν Κνίδῳ ναυμαχίᾳ.

164,21 τὰ τῶν πολέμων ἐλαττώματα κάλλιον ἤνεγκεν ἢ τὰς εὐπραξίας ἕτεροι βαρὺ γὰρ καὶ χαλεπὸν φέρειν εὐτυχίας.

165,1 τὰς οἴκοι δυσκολίας οὕτω διέθετο ἀντὶ τοῦ διέλυσε. λέγει δὲ τὴν τῶν τριάκοντα καὶ τὴν τῶν τετρακοσίων. ὥσθ᾽ ὅρον εἶναι ταύτην. ὅρον ἀντὶ τοῦ κανόνα τῆς εὐβουλίας· τοῦτο γὰρ εἶπε σωφροσύνης εὐβουλίαν, διότι ἅμα ἐστασίασε καὶ διηλλάγη πρὸς ἑαυτήν.

165,2 ἐξευρεῖν ἀφ᾽ ἑαυτοῦ εὑρεῖν. ὑπ᾽ ἐκείνων τῶν τότε Ἀθηναίων. ἔδειξε δὲ τῇ τ᾽ ἐπὶ τῶν τετρακοσίων μεταστάσει τῆς πολιτείας, ἣν ἀψοφητὶ κατέλυσε τετρακόσιοί τινες τὸν ἀριθμὸν Ἀθηναῖοι ἠβουλήθησαν ἐπαναστῆναι τῇ πολιτείᾳ, καὶ κατακυριεῦσαι αὐτῆς. μαθόντες οὖν Σάμιοι τοῦτο ὥρμησαν εἰς τὴν τούτων κατάλυσιν, ἅτε μάλιστα πάντων φιλίαν πρὸς Ἀθηναίους ἔχοντες. ὡς δὲ ἤκουσαν οἱ τετρακόσιοι, ἑκόντες διελύθησαν ἀψοφητί. τίθησιν οὖν εἰς ἐγκώμιον τῆς πόλεως.

165,3 ἀψοφητὶ ἀντὶ τοῦ ἀμαχητί. καὶ γὰρ αὐτὸς λέγει ὁ Θουκυδίδης ἐν τῇ ὀγδόῃ ὅτι ἀπὸ τῶν Ἀθηναίων ἐν τῇ Σάμῳ — ταύτην γὰρ μόνον εἶχον ὁρμητήριον κατὰ πάντων τῶν πολεμίων — τετρακόσιοί τινες ἐπανέστησαν Ἀθηναῖοι αὐτοὶ θέλοντες ἔχειν τὴν πολιτείαν. ἀκούσαντες οἱ ἐν Σάμῳ ἐβουλεύσαντο ἐλθόντες καταλῦσαι αὐτούς. οἱ δὲ ἀκηκοότες ὅτι μέλλουσιν ἐλθεῖν, διέλυσαν ἑαυτούς.

165,4 μηδέν τι πρὸς πλείους μετ᾽ ἐκείνους γενομένῳ τὸ μηδέν τι πρὸς πλείους λέγει, ἐπειδὴ τριάκοντα ὄντων τῶν τυράννων τριάκοντα καὶ Θρασύβουλος Ἀθηναίους παραλαβὼν αὐτοὺς ἀνῃρήκει. ἀντὶ τοῦ μηδαμῶς πρὸς πλείονας ἀγωνισάμενοι· τριάκοντα γὰρ, φησὶν, ὄντων τῶν τυραννούντων, καὶ οἱ δημοκρατούμενοι ἀντιμαχησάμενοι ἑαυτοῖς τριάκοντα ἦσαν. μετ᾽ ἐκείνους τοὺς τριακοσίους ἀλλὰ μὴν ἅμα σωφροσύνης τε καὶ τόλμης τὸ ... ὥστε πρὸς πολλοὺς παρατάττεσθαι ... ὕστερον δὲ οὐκ ὀλίγοι παρεγένοντο. τὸ οὖν πλῆθος ἦν τὸ τὴν νίκην εἰργασμένον. ἐκ δὲ τοῦ εἰπεῖν πρὸς τὴν Λακεδαιμονίων ἀρχὴν αὔξει σοφιστικῶς τὴν νίκην· οὐ γὰρ παρετάξαντο πρὸς τὸ Λακεδαιμονίων στρατόπεδον, ἀλλὰ Παυσανίας ὁ νεώτερος ἐλθὼν ἐκ Λακεδαίμονος μετὰ χρημάτων βοηθῆσαι τοῖς τυράννοις προύδωκεν. ἅμα σωφροσύνης τε καὶ τόλμης σωφροσύνης, ὅτι καλῶς παρεσκευάσαντο, τόλμης δὲ, ὅτι ὀλίγοι ὄντες πρὸς τοσούτους ἀντῆραν.

165,5 ὀλίγῳ μὲν πλείους ὄντες ἢ πεντήκοντα οἱ πρῶτοι ταῦτα βασιλεύσαντες ὕστερον γὰρ πολλοὶ παρεγένοντο. τὸ οὖν πλῆθος ἦν καὶ τὸ τὴν νίκην εἰργασμένον. καὶ Παυσανίας δὲ ὁ νεώτερος πεμφθεὶς μετὰ χρημάτων ὑπὸ Λακεδαιμονίων βοηθῆσαι τοῖς τριάκοντα προδέδωκε. σιωπᾷ δὲ τοῦτο, ἵν᾽ Ἀθηναίων δόξῃ μόνον τὰ κατορθώματα.

165,7 κινδυνεύειν ἀντὶ τοῦ πολεμεῖν.

165,8 κακίας ἤγουν ἀνανδρίας. ἐπεὶ δ᾽ ἠγωνίσαντο μὲν πρὸς τοὺς καταλυθέντων τῶν τυράννων οἵ τε βοηθοῦντες αὐτοῖς Ἀθηναῖοι καὶ οἱ τούτους καταπολεμήσαντες συνῆψαν πόλεμον πρὸς ἀλλήλους· καὶ συρραγείσης τῆς μάχης, αὐτίκα πρὸς σπονδὰς ὑπεχώρησαν, εἰπόντες ἑκάτεροι ὡς τί δεῖ πολεμεῖν ἡμῖν ἀλλήλοις Ἀθηναίους ὄντας. τὸ δὲ ὑπὲρ

αὐτῶν λέγει, ἐπειδὴ οἱ μὲν σὺν τοῖς τυράννοις ὑπὲρ τοῦ συμφέροντος αὐτῶν ἐπολέμουν τοῖς ἄλλοις, οἱ δὲ τούτοις μαχόμενοι, ὅπως αὐτῶν τε καὶ τῶν τυράννων καταλυθέντων ἐλευθερία γένηται. νόει δὲ τὸ ὑπὲρ ἀλλήλων διὰ τὴν συμβᾶσαν αὐτοῖς ἄκραν ὁμόνοιαν.

165,9 πρὸς τοὺς ἀπὸ τοῦ ἄστεος τυράννους καὶ τοὺς συνόντας αὐτοῖς. ἀντετάξαντο δὲ Λακεδαιμονίοις τοῖς μετὰ Παυσανίου πεμφθεῖσιν εἰς συμμαχίαν τῶν τυράννων. ἔσχον ἐκράτησαν. παράδειγμα δ' ἀνθρώποις τῶν ἐν τοῖς δεινοῖς ἐλπίδων ἐγένοντο τίς γὰρ ἐν δεινοῖς ὢν οὐ τὰ βελτίω ἐλπίσει, ὁρῶν Ἀθηναίους τοιαῦτα παθόντας, καὶ οὕτως ἀπηλλαγμένους.

165,10 τῶν ἐν τοῖς δεινοῖς ἐλπίδων Θουκυδίδειον· καὶ ἐν τοῖς δεινοῖς εὐέλπιδες. ὁ δῆμος ἤδη συνειλεγμένοι ἀντὶ τοῦ καθ' ἑαυτῶν. ἤδη συνειλεγμένοι τότε. εἰς χεῖρας μάχην. ἤγουν εἰς πόλεμον τοῖς μετὰ τυράννων στᾶσιν Ἀθηναίοις.

165,11 εἰς λόγους εἰς σπονδάς. ταύτην ἐν τοῖς ἄνω εὐβουλίαν εἶπε, διὰ τὸ μὴ ἐμμεῖναι τῇ στάσει. εἰς λόγους περὶ σπονδῶν.

165,12 ὥστε μὴ εἶναι διελέσθαι, πότερον—συνεύξασθαι τῇ πόλει ἀντὶ τοῦ μὴ δύνασθαι διακρῖναι, πότερα ἡ στάσις κατάρα ἐστὶν ἐχθρῶν, ἢ φίλων εὐχή.

165,13 τοῦτόν γε λυθεῖσαν τὸν τρόπον τὸ τάχος λέγει τῆς διαλύσεως καὶ τὰς σπονδάς. λέγει τὸ βεβαιοτέραν ὕστερον λυθεῖσαν τὸν τρόπον. ἐνόσησε ἐστασίασεν. ἐνόσησε μὲν γὰρ τῇ τῶν πάντων ἀνθρώπων φύσει φύσει γὰρ πρόσεστιν ἅπασιν ἀνθρώποις τὸ δυστυχεῖν. ἰάθη δὲ τῇ ἑαυτῆς ἡ γὰρ τῶν Ἀθηναίων φύσις φιλάνθρωπός ἐστι καὶ πρὸς φιλίαν ἐπιρρεπής.

165,14 τοῦτο τὸ νοσῆσαι. ζῆλον εὐδαιμονίαν. θαῦμα.

165,15 ὑπὲρ τῶν ἀνδρῶν ἐκείνων δημοτικῶν τῶν ἐπὶ τριάκοντα. τῶν δημοτικῶν τῶν ἐπὶ τῶν τριάκοντα. τῇ μὲν τόλμῃ παρῆλθον οὐ μόνον Λακεδαιμονίους τοῦτο λέγει ἢ ὅτι τολμηταὶ μάλιστα πάντων Λακεδαιμόνιοι, ἢ ὅτι οἱ μὲν εὐτυχοῦντες τοιαῦτα κατὰ τῆς πόλεως ἐτόλμησαν, οἱ δὲ Ἀθηναῖοι, καίπερ δυστυχοῦντες, πρὸς τοὺς ἐξ αὐτῶν τυράννους καὶ ἑαυτοὺς, ὀλίγοι ὄντες, ἀντετάξαντο.

165,16 τοὺς Μαραθῶνι σχεδὸν τῶν προγόνων αὔξων αὐτοὺς πρὸς τοὺς ἐν Μαραθῶνι κινδυνεύσαντες τῶν προγόνων παραβάλλει. τὸ δὲ σχεδὸν εἶπεν, ἐπειδὴ τολμηρὸν ἦν καὶ οἱονεὶ παρακεκινδυνευμένον τοιούτοις αὐτοὺς παρεξετάσαι. αὔξων αὐτοὺς τοῖς προγόνοις αὐτῶν συνέκρινεν αὐτούς. οἱ μὲν ἤγουν οἱ ἐν Μαραθῶνι. ἐν πλήθει συντάγματος ὄντες πλήθει, οὐχ ὡς πρὸς τοὺς βαρβάρους, ἀλλ᾽ ὡς πρὸς τοὺς ἐν Φυλῇ μαχεσαμένους.

165,17 ἐθάρρησαν τούτοις ἀντιταχθῆναι. οἱ δ᾽ ὀλίγῳ πλείους ὄντες οἱ σύμπαντες ἢ πρὸς ὅσους τοὺς τυράννους ἠγωνίζοντο πάλιν αἰνίττεται εἰς τοὺς πεντήκοντα.

165,18 Φυλὴν τόπος τοῦ Πειραιοῦ. οἱ μὲν οἱ μὲν Μαραθῶνι. εὐθηνούσης καλῶς πραττούσης, εὐτυχούσης.

165,19 ἑτέρως εὐφήμως ἀντὶ τοῦ εὐτυχῶς.

165,20 τοὺς ἐκ τοῦ ἄστεος αὐτῶν ἐπειδὴ τὸ ἑαυτῶν καὶ ἐπὶ τρίτου προσώπου εὕρηται, καὶ οὕτως, ὡς εἰώθαμεν χρῆσθαι, νόει ἐνταῦθα, ἢ διὰ τοὺς Λακεδαιμονίους, ἢ διὰ τοὺς Ἀθηναίους, λέγεσθαι. τοὺς ἐχθροὺς Λακεδαιμονίους.

166,1 τῷ μετὰ τὰς πράξεις ἃ δεῖ βουλεύσασθαι τὸ σπείσασθαι μετὰ τὴν μάχην. τὸ σπείσασθαι πρὸς τοὺς οἰκείους, καὶ μὴ μνησικακῆσαι.

166,2 οὕτως ἀνεκτήσαντο τὴν πόλιν οἰκείως κεῖται τὸ ἀνεκτήσαντο, τουτέστιν ἀνέλαβον τὴν πόλιν. τὸ γὰρ ἀνακτᾶσθαι ἐπὶ νόσου φαμέν. καὶ ἡ πόλις νοσήσασα τῇ στάσει, ὥσπερ οὗτος καὶ ἄνωθέν φησιν ὑπὸ τῶν αὐτῆς πολιτῶν καταβαλλόντων τὴν στάσιν ἀνεκτήσατο ἑαυτήν. ἀνεκτήσαντο ἀνέλαβον· ὡς ἐπὶ νόσου δὲ εἶπεν. ὥστ᾽ εἴ τις βούλοιτο μὴ πάντα—ἐπὶ τοῦ πολέμου συμφορὰν ὁ γὰρ μὴ τὴν ἐπανόρθωσιν διηγούμενος ἀκριβῶς τὴν συμφορὰν ἀποκρύψηται· πρὸς γὰρ τὴν συμφορὰν ἡ ἐπανόρθωσις γίνεται.

166,3 πάντα ἃ τότε ἐπεδείξαντο. κλέψαι ἤτοι κρύψαι. εἰκότως εἶπε τὸ κλέψαι· ὁ γὰρ μὴ ἀκριβῶς καὶ ὡς δεῖ τὰς μετὰ τὴν συμφορὰν ἐπιδείξεις καὶ φιλοτιμίας διηγούμενος κλέπτει ταύτην καὶ οἱονεὶ μικρὰν καὶ φαύλην δείκνυσιν, ἀλλ᾽ οὐχ οἵα γέγονεν. οὕτως ἀκολούθως ἤγουν ὁμοίως.

οὕτως ἀκολούθως ταῖς ἄνω πράξεσι τὰς ἐφεξῆς καὶ προείλοντο καὶ κατώρθωσαν ἀντὶ τοῦ καὶ τοῖς πρώτοις καὶ τοῖς ὕστερον ἐκάλυψαν τὴν ἐκ τῆς στάσεως συμφοράν.

166,5 Λακεδαιμόνιοι οἱ τῶν Ἑλλήνων κατὰ γῆν καὶ κατὰ θάλατταν ἄρχοντες.

166,6_8 Λακεδαιμονίων γὰρ ἃ τοῖς τριάκοντα—τὰς συνθήκας βεβαιώσηται ὅτε οἱ τριάκοντα Ἀθήνησιν ἔμελλον τυραννήσειν, ἐδανείσαντο παρὰ τῶν Λακεδαιμονίων χρήματα, ἵνα διὰ τούτων δύναμιν ἑαυτοῖς περιποιήσονται. καταλυθέντων δὲ τούτων, καὶ τῶν Λακεδαιμονίων οὐκ ἀξιούντων ζημιωθήσεσθαι τὰ χρήματα, οἱ Ἀθηναῖοι πάντες ἀπέτισαν, ὁμοῦ τε μεγαλοψυχίαν ἐπιδεικνύμενοι, καὶ τὰς συνθήκας βεβαιοῦντες δι' ἔργου. τοῦτο δὲ ἐποίησαν, ἐπειδήπερ οἱ πλείους τῶν τυράννων ἐξ Ἀθηνῶν ἦσαν, αὐτοί τε καὶ οἱ περὶ αὐτοὺς ὑπηρέται.

166,7 ἐπὶ τὸν δῆμον ἀντὶ τοῦ κατὰ τὸν δῆμον. τοῦτο καὶ Δημοσθένης ἐν τῷ πρὸς Λεπτίνην εἶπεν.

166,8 τὰς συνθήκας τὰς σπονδάς· ὤμοσαν γὰρ μὴ μνησικακεῖν τοῖς τριάκοντα. καὶ μὴν Λακεδαιμόνιοι μὲν, ὅπως ὠμίλουν ἀλλήλοις, οὐκ ἂν ἔχοιμεν εἰπεῖν· ἔκρυπτον γάρ. οἱ Λακεδαιμόνιοι οὐκ εἴων ξένον τινὰ κἀν ταῖς ἐκκλησίαις κἀν τοῖς βουλευτηρίοις φοιτᾶν ταῖς αὐτῶν, ἡγούμενοι μεγίστην ὠφέλειαν σφίσιν αὐτοῖς εἶναι, εἰ μὴ φωραθεῖεν τοῖς ἔξωθεν, τί πράττειν βούλονται. καὶ ὅλως νόμος αὐτοῖς ἦν ἄγνωστα τὰ αὐτῶν εἶναι τοῖς ἄλλοις. ὅθεν καὶ οὐδεὶς ἐπίστατο ἢ φιλανθρώπως ἀλλήλοις ἐχρῶντο, ἢ μή.

166,9 ὅπως ὠμίλουν ἀλλήλοις ἀντὶ τοῦ ὠμονόουν ἀλλήλοις. εἴτ' εὐμενῶς, εἴτε μή. ἔκρυπτον γὰρ ἐμφαίνει τὴν ξενηλασίαν.

166,10 πρὸς τῷ τὰ σφέτερα αὐτῆς οὕτω θέσθαι μετὰ πολλῶν μαρτύρων ἀντὶ τοῦ καλῶς καὶ φιλικῶς τὴν κατάλυσιν τῶν τυράννων. μαρτυρίας δὲ εἶπεν, ὡς πρὸς ἀντιδιαστολὴν τῶν Λακεδαιμονίων τῶν ξενηλατούντων. πρὸς τῷ— οὕτω θέσθαι ὡς ἐδείξαμεν. τοῖς ἄλλοις παράδειγμα κατέστη ἵνα τὰ ὅμοια πράττωσι.

166,11 τὸ γοῦν Ἀργείων πλῆθος νοσοῦν ὕστερον οἱ προστάται γὰρ τῶν Ἀργείων δήμου τοὺς πλουσίους, ὑπονοήσαντες ἐπάγεσθαι Λακεδαιμονίους ἀπέκτειναν. νοσοῦν στασιάζον.

166,13 πολιτευσάμενοι διοικήσαντες.

166,15 πρὸς τὰς οἴκοι δυσκολίας πρὸς τὰς στάσεις τὰς ἐν αὐτῇ γενομένας.

166,16_19 οὐ δὴ τοὺς ἄλλοθεν ἥκοντας, καὶ πολλῷ—δείκνυσι τὸ οὐκ ἴσον ἰστέον ὅτι τὸ μὲν ταῦτα αἰτιατική ἐστι, τὸ δὲ οὐκ ἴσον εὐθεῖα. συντάσσεται δὲ οὕτως. τὸ οὐκ ἴσον, ἤγουν ἡ οὐκ ἰσότης, οὐ μόνον δείκνυσι ταῦτα, λέγω τοὺς ἄλλοθεν ἥκοντας, καὶ πολλῷ νεωτέρους πρὸς αὐτόχθονας καὶ πρεσβυτέρους, οὐδὲ τὸ τῆς πόλεως καταδειξάσης ἑτέροις, τοῦτο δηλονότι, οὐδὲ τοῦτο τὸ προνοουμένους μηδενὸς ἄλλου, πλὴν τῶν εἰς τὸν πόλεμον, νικώσης τῆς πόλεως, οὐ πλέον ἐν τοῖς ἄλλοις ἢ ταύτῃ καὶ οὕτως. λέγει δὲ ἄλλοθεν ἥκοντας καὶ πολλῷ νεωτέρους τοὺς Λακεδαιμονίους. καὶ γὰρ Δωριεῖς ὄντες τὸ παλαιὸν, Πελοποννήσιοι ὕστερον γεγόνασιν, ὡς Ἑλλάνικος λέγει καὶ ἄλλοι πολλοὶ τῶν ἱστορικῶν, οἱ περὶ αὐτῶν γράψαντες. αὐτόχθονας δὲ καὶ πρεσβυτάτους ἁπάντων Ἑλλήνων λέγει τοὺς Ἀθηναίους, ὡς ἐμάθομεν. τὸ δὲ ἥκοντας ἢ σύναπτε πρὸς τὸ αὐτόχθονας, ἵν᾽ ᾖ διὰ τὴν πάλαι τῶν Ἡρακλειδῶν φυγὴν εἰς Ἀθήνας, ὅτ᾽ ἐπ᾽ Εὐρυσθέως ἐδιώκοντο, ἢ τὸ μὲν ἥκοντας λέγει, διότι Δωριεῖς ὄντες ἦλθον εἰς Πελοπόννησον, ὡς ἔφημεν. τὴν δὲ πρὸς πρόθεσιν νόει συγκριτικῶς ἐκφέρεσθαι. καὶ γὰρ οὕτως εἰώθαμεν λέγειν, δείκνυμι τὸν δεῖνα νεώτερον πρὸς τὸν δεῖνα. τὸ τῆς πόλεως δὲ λέγει, ἀντὶ τοῦ ὅπερ εἴωθεν ἡ πόλις ποιεῖν ἐξαρχῆς, τοὺς καταφεύγοντας δέχεσθαι, τοὺς κινδυνεύοντας ἐπανορθοῦν, καὶ ὅσα τοιαῦτα πλεονεκτήματα, ἃ πάντα ἡ πόλις εὑροῦσα ἑτέροις κατέδειξε ποιεῖν. μηδενὸς δὲ ἄλλου προνοουμένους λέγει τοὺς Λακεδαιμονίους, οἳ μόνον τῶν πολεμικῶν ἐποιοῦντο πρόνοιαν, ὡς Ἰσοκράτης φησὶν ἐν Βουσίριδι. διὰ δὲ τοῦ εἰπεῖν τῆς πόλεως οὐ πλέον τοῖς ἄλλοις ἢ ταύτῃ νικώσης, δείκνυσιν αὐτὴν καὶ κατὰ τοὺς πολέμους κρείττονα Λακεδαιμονίων καὶ κατὰ τὰ ἄλλα πολλῷ ὑπερέχουσαν. ἔστι δὲ τὸ τὸ πρὸς τὸ προνοουμένους οὐ κατὰ σύνταξιν, ἀλλὰ κατὰ ἀπαρίθμησιν, ὥσπερ ὅταν λέγωμεν τὸ Αἴας, τὸ Ἀγαμέμνων. εἶπε δὲ νῦν αἰτιατικὴν, ἐπειδὴ οὕτως ἀπῄτει ἡ σύνταξις·

μὴ θαυμάσῃς δὲ, εἰ λέγει ὡς ἀνισότης ταῦτα δεικνύει, καὶ οὐ ταῦτα τὴν ἀνισότητα· εἴωθε γὰρ οὕτως ἀεὶ καινοπρεπεῖς ἐπάγειν τοὺς λόγους· ἐπεὶ καὶ τοῦτο κἀκεῖνο ταυτόν ἐστιν. οὐ δὴ τοὺς ἄλλοθεν ἥκοντας οὐ δὴ ἀντὶ τοῦ οὐδαμῶς δή. ἔστι δὲ τὸ νόημα συλλογιστικόν. ἥκοντας δὲ λέγει Λακεδαιμονίους, ὅτι τὸ παλαιὸν Δωριεῖς ἦσαν, καὶ ἐκ τῆς Βοιωτίας κατῆλθον εἰς Πελοπόννησον. ἐπιλογίζεται δὲ ἐνταῦθα τὰς συγκρίσεις. ἄλλοθεν δὲ λέγει ἥκοντας ἐκ τῆς Δωρίδος.

166,17 τὸ τῆς πόλεως ἑτέροις καταδειξάσης διὰ μαντείας γὰρ αὐτοὺς οἱ Ἀθηναῖοι κατήγαγον μετὰ τῶν Ἡρακλειδῶν. τὸ μηδενὸς ἄλλου, πλὴν τῶν εἰς τὸν πόλεμον, προνοουμένους Λακεδαιμόνιοι γὰρ περὶ μόνα εἶχον τὰ πολεμικά· ὡς λέγει καὶ Ἰσοκράτης ἐν τῷ Βουσίριδι. καὶ Δημοσθένης φησὶν ὅτι τὰ Ἀθηναίων νόμιμα ἐζήλωσαν ἐν τῷ τέλει τοῦ κατὰ Τιμοκράτους. τῶν εἰς τὸν πόλεμον τῶν πολεμικῶν.

166,18 τῆς πόλεως πλέον τοῖς ἄλλοις ἢ ταύτῃ νικώσης ἀποδεῖξαι βούλεται νῦν τὴν Ἀττικὴν τὰ πολέμια ἀρίστην. ἀλλὰ τὸ κῶλον τὸ ἐναντίον δηλοῖ. ἔστιν οὖν ὑπερβιβασμοῦ τὸ σχῆμα· καὶ δεῖ ἀναγνῶναι τῆς πόλεως πλέον ταύτῃ νικώσης, τουτέστιν ἐν τῷ μέρει τῶν πολεμικῶν. ἢ τοῖς ἄλλοις, ἀντὶ τοῦ ἤπερ ἐν τοῖς ἄλλοις. τοῖς ἄλλοις φιλανθρωπίᾳ, πρᾳότητι, δικαιοσύνῃ. οὐ ταῦτα μόνα δείκνυσι τὸ οὐκ ἴσον διὰ μακροῦ ἡ ἀπόδοσις· ἔστι γὰρ πρὸς τὸ οὐ δὴ τοὺς ἄλλοθεν.

166,19 ἀλλὰ καὶ τὸ ἐν αὐτοῖς τοῖς τοῦ πολέμου πράγμασι καὶ καιροῖς εἰς αὐτὴν τὴν κάθοδον προσδεηθέντας, οὐδὲ τὸ εὖ παθόντας πρὸς τὸ εὖ ποιήσαντας ἁμιλλᾶσθαι, οὐδὲ τοὺς νόμους ἑτέρωθεν λαβόντας τῆς πόλεως.

166,20 ἑτέρως ἐναντίως.

167,1 πάσχω δ’ ἔγωγε πρὸς τὰς τῆς πόλεως πληρώσας ἐνταῦθα τὰς συγκρίσεις ἐπιφέρει τὰς λοιπὰς πράξεις, ἀρξάμενος ἀπὸ τῶν μετὰ τὰ Πελοποννησιακά. ἄρχεται νῦν περὶ τῶν Ἑλληνικῶν λέγειν, περὶ ὧν φησι Ξενοφῶν.

167,2 ἐν ὥρᾳ ἢ κάλλει. ἀεὶ γάρ μοι τὸ προφαινόμενον τῶν ἔργων κάλλιστον φαίνεται τοῦτο γὰρ ἴδιον τῶν ἀρετῶν· πᾶν γὰρ μέρος τοῦ σώματος

ἡγοῦντο καλὸν εἶναι.

167,3 τίθεμαι τούτῳ κατὰ τὸν λόγον ἤγουν πλείστου ἄξιον κρίνω τοῦτο διεξιών. ταῦτα μὲν οὖν θεῶν τις ἂν κρίνειε καλῶς δείκνυσιν ἐντεῦθεν τὸ τῶν ἔργων μέγεθος, καὶ ὅτι θείας κρίσεως δεῖται, ποῖα δεῖ πρότερον λεχθῆναι. ὡς αὐτὸς μὴ δυνάμενος κρῖναι τὸ κάλλιον μέρος τῆς πόλεως. ἐκ τοῦ εἰπεῖν θεῶν τις σεμνύνει τὴν πόλιν, καὶ δείκνυσιν ἐντεῦθεν ὅτι τὰ αὐτῆς ἔργα οὐδεὶς ἀνθρώπων ἀξίως κρινεῖ, ἀλλὰ τῆς θείας τοῦτο δεῖται ῥοπῆς τε καὶ ψήφου. κρίνειε καλῶς πότερον ἑτέρου προέχει. ἐγὼ δ', ὥσπερ ὑπεσχόμην, δίειμι ἐνταῦθα βούλεται εἰπεῖν, ὅσα οὐκ ἔτι μὲν ὑπὲρ αὐτῆς, ὑπὲρ δὲ τῶν ἄλλων Ἑλλήνων ἠγωνίσατο πρὸς Λακεδαιμονίους. ἐντεῦθεν γὰρ ἄρχεται τῶν Ἑλληνικῶν, καὶ ὧν ἐποίησε μετὰ τῶν τριάκοντα, ὥς φησι Μένανδρος.

167,4 ἐγὼ δ', ὥσπερ ὑπεσχόμην, δίειμι τῶν λοιπῶν τὰ γνωριμώτατα οὐ γὰρ οἷόν τε πάντα κατὰ μέρος διεξελθεῖν. τήν τε γνώμην ἀντὶ τοῦ φιλάνθρωπον. τὴν ἡμερότητα καὶ τὴν μεγαλοφροσύνην.

167,5 ἕνα μὲν τοίνυν καὶ πρῶτον ἄτοπον πόλεμον νῦν ἄρχεται λέγειν περὶ τῶν πολέμων, οὓς οὐχ ὑπὲρ αὐτῆς, ἀλλ' ὑπὲρ τῶν ἄλλων ἐπολέμησεν. ἄτοπον δὲ πόλεμον λέγει, ἐπειδὴ ὑπὲρ Θηβαίων, ἐχθρῶν ὄντων αὐτῆς, πρὸς Λακεδαιμονίους ἐπολέμησεν. ἄτοπον πόλεμον καὶ θαυμαστὸν παράδοξον. ὑπὲρ τῶν ἐχθρῶν ἐμάχοντο. ἄτοπον λέγει ἀντὶ τοῦ παράδοξον· ὅτι ὑπὲρ ἐχθρῶν, τῶν Θηβαίων, ἐπολέμησαν πρὸς Λακεδαιμονίους.

167,6 ὡς ἀπειρηκότων ὑμῶν ὅτε τὰ τείχη αὐτῶν κατεσκάφη, καὶ οἱ τριάκοντα κατέστησαν τύραννοι. διὰ τὴν ἐν Σικελίᾳ συμφορὰν καὶ τὰ ἄλλα. τὰ λοιπὰ ἤγουν τοὺς ἄλλους Ἕλληνας.

167,7 ἤρχοντο τῆς δυναστείας ἀπὸ τῶν ἑαυτῶν συμμάχων νικήσαντες γὰρ Ἀθηναίους, καὶ ἄρξαι τῆς Ἑλλάδος βουληθέντες κατὰ τῶν ἰδίων ἐχώρησαν συμμάχων. ἀπὸ τῶν ἑαυτῶν συμμάχων Θηβαῖοι γὰρ καὶ ἄλλοι Ἕλληνες αὐτοῖς συνεμάχουν. φρουρὰν ἐπὶ Θηβαίους ἔφαινον Φοιβίδας, ὁ Λακεδαιμονίων στρατηγὸς, μετὰ πλήθους ἱκανοῦ παριὼν τὴν Βοιωτίαν, ἐπὶ τῷ βοηθῆσαι Ἀμύντᾳ, τῷ Μακεδόνων βασιλεῖ, ἐν παρέργῳ εἰσελθὼν

εἰς τὰς Θήβας, ὡς δῆθεν φίλος, κατέλαβε τὴν ἀκρόπολιν, καὶ φρουροὺς ἐγκατέλιπεν, οἳ τοῖς Θηβαίοις τυραννικῶς, καὶ οὐ φιλανθρώπως, ἐχρῶντο. καταφυγόντες οὖν Θηβαῖοι Ἀθήναζε ἐδεήθησαν Ἀθηναίων ἀπαλλάξαι αὐτοὺς τῆς φρουρᾶς. καὶ ἐλθόντες κατέλυσάν τε ταύτην καὶ Λακεδαιμονίοις ἐπολέμησαν ἐν Ἀλιάρτῳ, καὶ κατὰ κράτος ἐνίκησαν. ἡγεῖτο δὲ Λακεδαιμονίων Λύσανδρος, ὁ ἐν Αἰγὸς ποταμοῖς Ἀθηναίους νενικηκὼς, κἀντεῦθεν μέγα φρονῶν, καὶ Παυσανίας ὁ νεώτερος. Φοιβίδας, ὁ στρατηγὸς τῶν Λακεδαιμονίων, παριὼν τὴν Βοιωτίαν, ἵνα δῆθεν βοηθήσῃ Ἀμύντᾳ, τὴν ἀκρόπολιν τῶν Θηβαίων κατέλαβε καὶ ἐφρούρει τὰ ἐκεῖ.

167,8 ἀμφότερα ἐξέπληξε ἀντὶ τοῦ ἀμφότερα εἰς θαῦμα ἤγαγε καὶ ἐπαινέσαι παρέσχεν. ἐχθροῖς πικροτέροις τῶν Θηβαίων.

167,9 συμμάχοις προθυμοτέροις ἅμα καὶ δυνατωτέροις τῶν Θηβαίων. ἐπ᾽ αὐτὴν ἐκείνην ἤτοι τῶν Θηβαίων πόλιν. ἤγουν κατὰ τῆς πόλεως.

167,10 ἀρχομένου τοῦ πολέμου τοῦ Πελοποννησιακοῦ. τοῦ Σικελικοῦ.

167,11 ὁ δῆμος οὐκ ἐφήσθη τοῖς γιγνομένοις κατὰ Θηβαίων. ὅτε γὰρ ἐνίκησαν Λακεδαιμόνιοι, ψῆφον ἐτίθεσαν τοῖς ἑαυτῶν συμμάχοις, τί δεῖ ποιῆσαι τὴν Ἀττικὴν, καὶ εἶπον Θηβαῖοι μηλόβοτον. μήτε τεῖχος τὸ μακρὸν, ὃ Κόνων ἀνέστησεν ὕστερον.

167,12 τοὺς ἀπαντῶντας τοὺς ἐναντιουμένους καὶ ἀμυνομένους. τοὺς ἀπαντῶντας αὐτοῖς.

167,13 παρ᾽ αὐτὰ τὰ τῶν συμφορῶν ὑπομνήματα ἤγουν οὐχ ὕστερον, ἀλλ᾽ ὅτε ἡ τῶν συμφορῶν ὑπόμνησις ἤκμαζεν. τὴν ἧτταν λέγει, ἣν ἔσχον ὑπὲρ Θηβαίων, καὶ μᾶλλον, ἵνα δείξῃ τὸ φιλάνθρωπον τῆς πόλεως· ὡσανεὶ δὲ ἔλεγεν, οὕπω τῶν συμφορῶν τῶν οἰκείων ἐπιλαθόμενοι. ἤγουν παρ᾽ αὐτὸν τὸν καιρὸν, καθ᾽ ὃν ἔδει τὰς συμφορὰς λογιζομένους θρηνεῖν.

167,14 ἐξελθόντες εἰς Ἀλίαρτον ἐναντία Λυσάνδρῳ καὶ Παυσανίᾳ δύο γὰρ ἠγωνίσαντο μάχας Θηβαῖοι, μίαν μὲν εἰς Ἀλίαρτον μετὰ τῶν Ἀθηναίων, ἑτέραν δὲ ἐν Λεύκτροις καθ᾽ ἑαυτοὺς, ὅτε καὶ τελείως ἐνίκησαν. ὁ Λύσανδρος δὲ, ἐπειδὴ δῆθεν αὐτοὺς ἐνίκησεν ἐν Αἰγὸς ποταμοῖς, μέγα

ἐφρόνει. δύο δὲ ἦσαν οἱ στρατηγοί· ἀλλ᾽ ὁ Παυσανίας οὐ παρῆν ἐν τῇ μάχῃ. ἔστι δ᾽ οὗτος ὁ Παυσανίας ἀπόγονος τοῦ μεγάλου, τοῦ προδότου. τὴν Βοιωτίαν ἐξείλοντο τῆς Λακεδαιμονίων δυναστείας.

167,15 οὐχ, ὡς ᾤετο, ἐνενικήκει τὴν τῶν Ἀθηναίων πόλιν πρότερον ἐν Αἰγὸς ποταμοῖς.

167,16 ὥσπερ ὠνειροπόλησε ἐκ τοῦ εἰπεῖν ὠνειροπόλησε δείκνυσιν ὅτι οὐκ ἀληθῶς οὐδὲ ὡς δεῖ νενίκηκεν, ἀλλ᾽ ὥσπερ φάντασμα νίκης εἰργάσατο. ἀντὶ τοῦ ἐφαντάσθη νικῆσαι, οὐ μέντοι γε ἦν νικήσας τῇ ἀληθείᾳ. ἡ μὲν γὰρ εὐθὺς ἀνειλήφει τὰς συμφορὰς ἣ ἡ πόλις τῶν Λακεδαιμονίων ἦν ἐν συμφοραῖς, ἣ ἡ πόλις τῶν Ἀθηναίων ἀποβεβλήκει· τότε γὰρ ἦρξε τῶν Ἑλλήνων μετὰ τὴν νίκην. ἡ μὲν γὰρ εὐθὺς ἀνειλήφει τὰς συμφορὰς ἃς τότε ἡττηθεῖσα ἐκτήσατο.

167,17 διώκει διώκησε. ὁμοῦ τοῖς ἄλλοις ἔκειτο πέπτωκε γὰρ καὶ αὐτὸς ἐν τῇ πρὸς Ἁλίαρτον μάχῃ. οὐ πολλῷ δ᾽ ὕστερον καὶ Κορινθίους Ἑλληνικὴ καὶ τῇ πόλει πρέπουσα μετῆλθε δίκη ἐπειδὴ οἱ Κορίνθιοι πρὸς τὴν πόλιν κακῶς διέκειντο, καὶ πολλῶν συμφορῶν αὐτῇ γεγόνασιν αἴτιοι, διὰ τοῦτο λέγει Ἑλληνικὴ καὶ τῇ πόλει πρέπουσα. δέον δὲ εἰπεῖν δικαία, Ἑλληνικὴ εἶπε· δίκαιον γὰρ τὸ τῶν Ἑλλήνων γένος. ἡ δὲ ἱστορία τοιαύτη· Λακεδαιμόνιοι μετὰ Θηβαίους καὶ κατὰ Κορινθίων ἐχώρησαν, καὶ τοσαῦτα κακὰ αὐτοὺς εἰργάσαντο, ὡς ἀπειρηκότας ἐλθεῖν Ἀθήναζε, καὶ δεηθῆναι τῶν Ἀθηναίων εἰς ἀπολύτρωσιν.

167,18 Ἑλληνικὴ ἀντὶ τοῦ φιλάνθρωπος. μετὰ γὰρ Θηβαίους καὶ κατὰ Κορινθίων ἐχώρησαν Λακεδαιμόνιοι. τὸ δὲ Ἑλληνικὴ ἀντὶ τοῦ ἕως τοῦ σωφρονίσαι, πρὸς ἀντιδιαστολὴν τῶν βαρβάρων, οἳ καὶ πολεμοῦσι. τῇ πόλει τῶν Ἀθηναίων. καταφεύγουσι καὶ οὗτοι πρὸς τὴν πόλιν καὶ Ἀριστοφάνης μέμνηται τῆς στρατηγίας λέγων «Τὸ δ᾽ ἐν Κορίνθῳ ξενικὸν οὐχ οὗτος τρέφει;»

167,19 ἦν ὁτιοῦν δρῶσαν κακὸν αὐτοὺς—ἐκ τῶν ὑπαρχόντων εἴ τι δὴ τότε, φησὶν, ἔδρασεν Ἀθηναίοις. εἴ τι δὴ τότε, φησὶν, ἔδρασαν Ἀθηναῖοι εἰς Κορινθίους, ἀξίαν δίκην οὐκ ἐλάμβανον παρ᾽ αὐτῶν, ὅτι καὶ τοῦ πολέμου αὐτοὶ αἴτιοι ἐγένοντο καὶ ἄλλων κακῶν τοῖς Ἀθηναίοις.

167,20 ἐκ τῶν ὑπαρχόντων ἀντὶ τοῦ ἐξ ὧν ἐποίησαν εἰς αὐτούς. ἡ δὲ σύνταξις οὕτως· ἢν πᾶς τις ἂν εἴκασεν, οὐκ ἄν ποτε τὴν ἱκανὴν ἔχειν νομίσαι, ὁτιοῦν δρῶσαν κακὸν αὐτούς. τὸ γὰρ ἐκ τῶν ὑπαρχόντων ἀπόδειξίς ἐστι τοῦ νομίζεσθαι. λέγει τὴν πόλιν κακῶς πάνυ Κορινθίοις ποιῆσαι. ἐκ τῶν ὑπαρχόντων κακῶν τῇ πόλει παρὰ Κορινθίων.

167,21 γενομένου τοῦ πολέμου πολλοῦ καὶ συνεχοῦς ἐν Κορίνθῳ πρὸς Λακεδαιμονίους.

168,1 τειχίσαντες φυλάξαντες. αὐτοὺς τοὺς Κορινθίους.

168,2 τὸν Ἀκροκόρινθον ἡ τῶν Κορινθίων ἀκρόπολις Ἀκροκόρινθος λέγεται, ὥσπερ καὶ ἡ τῆς Ἰλίου Πέργαμος, καὶ ἡ τῶν Θηβῶν Καδμεία, καὶ ἡ τοῦ Ἄργους Λάρισσα. ἡ ἀκρόπολις Κορινθίων ἡ Ἀκροκόρινθος ἐκαλεῖτο, ὥσπερ ἡ τῶν Θηβαίων Καδμεία.

168,3 τὴν πόλιν τῶν Κορινθίων. οὐκ ἐδέξαντο ταύτην τὴν γνώμην. τὸν τῶν προστατῶν πόλεμον. τὸν τῶν προστατῶν πολεμοῦσιν ἐπειδήπερ αἱ Κορίνθιοι προστάτας ἑαυτῶν τοὺς Ἀθηναίους πεποίηνται, οὐκ ἠθέλησαν αὐτοὺς Ἀθηναῖοι ἀδικῆσαι, καὶ τὴν ἀκρόπολιν τούτων καταλαβεῖν· πολεμίων γὰρ ἔργον τὸ τοιαῦτα ποιεῖν, προστάτου δὲ τὸ παντὶ τρόπῳ ὑπὲρ τῶν προστησαμένων ἀγωνίζεσθαι.

168,4 αὐτοῖς ἤγουν ἑαυτοῖς.

168,5 ὥστ᾽ ἐπὶ τὸν Περσῶν βασιλέα πάλιν καταφεύγουσι τὸν υἱὸν Δαρείου τοῦ νεωτέρου, Κύρου δὲ ἀδελφόν. Ἀρταξέρξην δὲ λέγει, οὗ ἐν τοῖς Ἑλληνικοῖς μέμνηται Ξενοφῶν. τὸ δὲ γένος οὗτος ἔχει ἀπὸ Δαρείου· Ξέρξης, ὁ κατὰ τῆς Ἑλλάδος στρατεύσας, εἶτα Ἀρταξέρξης καὶ Κῦρος, οἱ ἐν ταῖς ἀναβάσεσι. τὸ δὲ πάλιν εἶπεν, ἐπειδὴ ἐν τῷ Πελοποννησιακῷ πολέμῳ πρὸς τὸν Πέρσην κατέφυγον. ἐπὶ τὸν Περσῶν βασιλέα τὸν Ἀρταξέρξην.

168,6 τὴν θρυλλουμένην εἰρήνην θρυλλουμένην λέγει ἐπ᾽ ἀδοξίᾳ· ἡττηθέντες γὰρ ὑπ᾽ Ἀθηναίων ἦτταν μεγίστην Λακεδαιμόνιοι, ἐλθόντες εἰς τὸν Πέρσην, παρεχώρησαν τοὺς Ἴωνας αὐτῷ, ὅπως ἢ ποιήσῃ αὐτοὺς μετὰ Ἀθηναίων σπείσασθαι, ἢ συμμαχήσοι αὐτοῖς Ἀθηναίων κατακρατῆσαι.

θρυλλουμένην λέγει ἐπὶ ἀδοξίᾳ· ἡττηθέντες γὰρ ἐν τῇ Ἑλλάδι παρεχώρησαν τοὺς Ἴωνας τῷ Πέρσῃ, ὅπως ἂν ποιήσῃ αὐτοὺς μετ᾽ Ἀθηναίων σπείσασθαι, ἢ ποιήσῃ αὐτοὺς κατακρατῆσαι αὐτῶν. περὶ ὧν πραγμάτων. περὶ ὧν οὐδὲν ἔγωγε κατηγορῶ οὐκ ἀποδεχόμενος αὐτῶν τὴν πρᾶξιν, ἀλλ᾽ ἐθέλων μᾶλλον δεῖξαι τὴν ἀσθένειαν αὐτῶν, τοῦτό φησιν. κατὰ ἦθος λέγει· δεῖ γὰρ κατηγορεῖν τῶν τοῦτο ποιησάντων· ἀλλὰ δεινῶς ἀπολογεῖται ὑπὲρ αὐτῶν, δεικνὺς τὴν ἀσθένειαν αὐτῶν, δι᾽ ἣν εἰς τοῦτο ἦλθον, οὐχ ἵνα συμμαχήσωσιν αὐτοῖς, ἀλλ᾽ ἵνα ποιήσωσιν αὐτοὺς μετ᾽ Ἀθηναίων σπείσασθαι. οὐδὲν ἔγωγε κατηγορῶ τῶν Λακεδαιμονίων.

168,7 ἀλλ᾽ εἴ τις ἔροιτο αὐτοὺς, πότερον ἑκόντες διλήμματον τὸ σχῆμα. ταῦτα συνεχώρησαν τῷ Πέρσῃ. εἰ μὲν ἑκόντες φήσουσιν, ἀνάγκη ἐξ ἀμφοτέρων φαυλίζει τοὺς Λάκωνας.

168,8 προδεδωκέναι τοὺς ὁμοφύλους. ὃ τίς ἂν πιστεύσειεν τὸ ἑκόντας προδοῦναι. εἰ δ᾽ ἄκοντες, καὶ δι᾽ ἀνάγκην ὅπερ ἐστὶν ἀληθές.

168,10 εἴ γ᾽ εἶχον οἴκοθεν. εἶτ᾽ ἐξεπίτηδες τοιαύτην αἰσχύνην ὑπέστησαν τὸ μὲν εἶτα παρέλκεται Ἀττικῶς, ἔστι δὲ ἡ σύνταξις οὕτως· οὐ γὰρ ἂν ἐπίτηδες τοιαύτην αἰσχύνην ὑπέστησαν, εἶχον ὅ τι χρήσονται. τοιαύτην αἰσχύνην τοὺς ὁμοφύλους προδοῦναι τῷ βαρβάρῳ.

168,11 τῷ μόνῳ λειπομένῳ τῶν λόγων τῷ ἀκουσίως καὶ δι᾽ ἀνάγκην πένεσθαι. τῷ ἀκουσίως συγχωρῆσαι.

168,12 ἐπεὶ δὲ τῆς εἰρήνης ἐμνήσθην, πάλιν συγκρίνει εἰρήνην πρὸς εἰρήνην.

168,15 ἃ μόνη κατειργάσατο ἐν Μαραθῶνι.

168,16 τοῖς ὕστερον τοῖς ἐν Σαλαμῖνι. τῇ ἐν Σαλαμῖνι ναυμαχίᾳ. τοσοῦτον τῶν μετασχόντων ὑπερῆρεν, ὅσον περ ἂν εἰ καθ᾽ αὑτὴν ἠγωνίζετο οὕτως ἀσθενεῖς ἦσαν ἐκεῖνοι. τῶν μετασχόντων Λακεδαιμονίων καὶ τῶν ἄλλων Ἑλλήνων.

168,17 καθ᾽ αὑτὴν ἀντὶ τοῦ μόνη, δίχα συμμάχων. τοῖς τρισὶ καιροῖς οὐ τοῖς τρισὶ λέγει χρόνοις, τῷ παρελθόντι καὶ τῷ ἐνεστῶτι καὶ τῷ μέλλοντι,

ἀλλὰ πρὸς τὸ προκείμενον εἶπε, τὸν περὶ τοῦ πολέμου, τὸν ἐν τῷ πολέμῳ, τὸν μετὰ τὸν πόλεμον.

168,18 ἐν δὲ τοῖς δευτέροις καὶ πρὸς τὸν βασιλέα προκινδυνεύσασα εἰκότως εἶπε καὶ πρὸς τὸν βασιλέα· πρόσθεν μὲν γὰρ ἐν τῷ Μαραθῶνι ὁ τοῦ βασιλέως ὕπαρχος, Δάτις, τὴν στρατιὰν ἤγαγεν, ὕστερον δὲ αὐτὸς ὁ Ξέρξης ἀφῖκτο.

168,20 αἱ περὶ Κύπρον καὶ Παμφυλίαν ναυμαχίαι καὶ πεζομαχίαι ἃς ὁ Κίμων κατέπραξε. ἃς διὰ τοῦ Κίμωνος εἰργάσατο, ὅτε τοῖς βαρβάροις ἀντεπεξῄει. ὁ πολὺς δρόμος τὸ μετὰ σπουδῆς πλέοντας διώκειν δρόμον εἰρήκει. καταχρηστικῶς· δρόμος γὰρ λέγεται ἐπὶ πεζοῦ, νῦν δὲ πλέοντες ἐδίωκον. ἤγουν ἡ μεγάλη μετὰ σπουδῆς δίωξις.

168,21 ὥστε καὶ μόνη τοὺς βαρβάρους καὶ πρώτη νενίκηκε ἐν Μαραθῶνι. ὥστε—πρώτη νενίκηκε οὐδεὶς γὰρ πρὸ αὐτῆς τοὺς Πέρσας νενίκηκεν. σὺν ἄλλοις γενομένη ἐν Σαλαμῖνι. οὐκ ἔλαττον τοὺς συμπαρόντας ἢ τοὺς ἀντιπάλους ἐνίκα τῶν μὲν γὰρ κρείττων ἐφάνη τοῖς ἔργοις, τοὺς δὲ κατεστρέψατο.

169,1 παρέμεινε μόνη αὕτη γὰρ ἔμεινε, διώκουσα μόνη τὸν Πέρσην, καὶ ἐπεστράτευσε κατ᾽ αὐτοῦ μέχρι τῆς Παμφυλίας ἐπὶ Κίμωνος τοῦ στρατηγοῦ.

169,2 ἡ μέν γε τῆς πόλεως εἰρήνη.

169,3 εἰ δὲ ἐπὶ τῇ ἵππῳ μέγα φρονεῖς ἐκ τοῦ εἰπεῖν ἐπὶ τῇ ἵππῳ μέγα φρονεῖς δείκνυσι Πέρσας ἀγνοοῦντας μὲν τὰς κατὰ θάλατταν μάχας, πεζομαχεῖν δὲ εἰδότας.

169,4 αὐτῆς, φησὶ, τῆς ἵππου δρόμον ἡμέρας τῆς θαλάττης ἀποσχήσεις ὡς παρὰ τῆς πόλεως ὁ λόγος πρὸς τὸν βασιλέα. τοῦτο δὲ εἶπεν, ὡς πρὸς τὸν ἵππου δρόμον ἡμέρας μὴ καταβαίνειν ἐπὶ θάλατταν.

169,5 ἐν τῇ σεαυτοῦ χώρᾳ.

169,6 ἡ δ᾽ ἑτέρα ἡ τῶν Λακεδαιμονίων. τοὺς τὴν Ἀσίαν οἰκοῦντας Ἕλληνας λέγει τοὺς Ἴωνας.

169,7 τοῖς ἄλλοις Ἕλλησι. τοῖς ἐν Εὐρώπῃ. τὰ δίκαια ὁρίζειν εἰ γράψαντες, ὥστε βασιλέα συμμαχεῖν τοῖς δεχομένοις τὴν εἰρήνην κατὰ τῶν ἐναντιουμένων, καὶ μὴ θελόντων αὐτονόμους ἐᾶσαι τοὺς Ἕλληνας. τὸ συμμαχεῖν ἀλλήλοις, καὶ πολεμεῖν τοῖς ἐναντιουμένοις ταῖς συνθήκαις.

169,8 ἆρ᾽ ἴσον τὸ κεφάλαιον ἀντὶ τοῦ μέγας ᾖ ὁ σκοπός.

169,9 τὰς τῶν ἐν αὐτοῖς πολέμων καταλύσεις πῶς Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι διετέθησαν.

169,10 ὥσπερ ἀρκοῦν ἀρετῇ νενικηκέναι ἀντὶ τοῦ τῇ ἀνδρείᾳ· τὸ δὲ ἀρκοῦν ἀντὶ τοῦ ἀρκοῦντος.

169,11 οὕτω γὰρ εὐπρεπὲς εἰπεῖν εἰκότως τὸ οὕτω γὰρ εὐπρεπὲς εἰπεῖν· οὐ γὰρ πάντων Λακεδαιμονίων τοῦτ᾽ ἔστι κατηγόρημα, ἀλλὰ μόνων τῶν μετὰ Λυσάνδρου νενικηκότων Ἀθηναίους. διὰ δὲ τοῦ εἰπεῖν καὶ οὐδὲν προστίθημι Λακεδαιμονίους δείκνυσιν αἰτίους, οὐκ ὀργισθέντας Λυσάνδρῳ ἐπὶ τῇ τῶν ληφθέντων σφαγῇ. βαρβαρικὸν γὰρ τοῦτο καὶ οὐκ ἀνδράσιν Ἕλλησι πρέπον. ἢ τὸ οὕτω γὰρ εὐπρεπὲς εἰπεῖν λέγει διὰ τὸ κλαπέντας. οὕτω γὰρ εὐπρεπὲς εἰπεῖν ἀντὶ τοῦ εὔφημον· τοῦτο δὲ εἶπεν, ὅτι οὐ πάντων Λακεδαιμονίων κατηγορεῖ, ἀλλὰ τινὰς εἶπε, δηλῶν οὐ πάντας, ἀλλὰ τὸν Λύσανδρον. διὰ δὲ τοῦ εἰπεῖν καὶ οὐδὲν προστίθημι Λακεδαιμονίους δείκνυσιν αἰτίους, οὐκ ὀργισθέντας αὐτῶν. εὐπρεπὲς εὔφημον.

169,13 περὶ τοὺς δυστυχήσαντας αὐτῶν.

169,14 ἀλλ᾽ ὅμως οὐδ᾽ οὕτως ἐμιμήσαντο ὅτι τοιαῦτα παρὰ τῶν Ἀθηναίων οὐ πεπόνθασι νικηθέντες, ἀλλὰ φιλανθρωπίας ἔτυχον. καταδεῖξαι τοῦτο.

169,15 ἔτι δ᾽ οἱ μὲν οὐδὲν ἀποχρῶν ἡγήσαντο ἔδει γὰρ ἀρκεσθῆναι μόνῃ τῇ νίκῃ καὶ μηδὲν πλέον ζητεῖν. ἀποχρῶν Ἀττικὸν, ἀντὶ τοῦ ἀποχρῶντος. ἀντὶ τοῦ ἀποχρώντως καὶ ἀρκούντων· ἔστι δὲ Ἀττικόν.

169,16 κατὰ τοὺς ἄνω χρόνους τοῦ Πελοποννησιακοῦ λέγει· σημαίνει δὲ τὰς τριακοντούτεις σπονδάς. ἤγουν πρὸ τοῦ Πελοποννησιακοῦ πολέμου. ὡς

ἐκομίσατο τὴν Εὔβοιαν ἣν αὐτῆς οὖσαν Λακεδαιμόνιοι βίᾳ κατεῖχον. οὐ προῆλθε περαιτέρω ἀντὶ τοῦ πλέον οὐδὲν ἐζήτησε.

169,17 καὶ ἃ τῷ πολέμῳ προειλήφει, καὶ ταῦτ' ἀπέδωκεν ἑκοῦσα ὅτε τὰς τριακοντούτεις ἐποίησαν σπονδάς. ἐν ταῖς τριακοντούτοις σπονδαῖς.

169,18 δοκεῖ δ' ἔμοιγε καὶ τὸ τῶν—μόνον οὑτωσὶ, φιλανθρωπίας ἐπειδήπερ Λακεδαιμονίων κρατήσασα, καὶ αἰχμαλώτους λαβοῦσα, καὶ ἃς νῦν κατέλεξε πόλεις, ὅτε τὰς τριακοντούτεις σπονδὰς ἐποιήσατο, πάλιν ἀπέδωκε, φαίνεται ἀμφότερα ἔχουσα, ἀνδρίαν καὶ φιλανθρωπίαν· φιλανθρωπίαν μὲν διὰ τὴν ἀπόδοσιν, ἀνδρίαν δὲ διὰ τὴν νίκην. τὸ τῶν αἰχμαλώτων λείπει τὸ κατόρθωμα· λέγει δὲ τὸ ἀποδοῦναι τοὺς αἰχμαλώτους· τοῦτο γάρ ἐστι φιλανθρωπίας. αὐτὸς δὲ κατασκευάζει οὐ μόνον φιλανθρωπίας, ἀλλὰ καὶ ἀνδρείας. πᾶν ὅλως τὸ τοιοῦτον τὸ μὴ ἀναφέρειν εἰς πάντας τὸ πταῖσμα καὶ λέγειν· Λακεδαιμόνιοι πάντες ἐν Αἰγὸς ποταμοῖς.

169,19 μόνον οὑτωσὶ ἤγουν διότι ἀπέδωκε.

169,20 ὅσοις μὲν γὰρ οἶμαι παρ' ἐλπίδας δεινότερον ἐμφαίνει τῇ σιωπήσει· σημαίνει δὲ ὅτι ἐκόλασεν αὐτούς· τὰ γὰρ ἄκρα αὐτῶν ἀπέτεμε. ὅσοις μὲν γὰρ οἶμαι παρ' ἐλπίδας ἢ δύναμιν τὰ τοιαῦτα κατορθοῦται ἤγουν λαμβάνειν αἰχμαλώτους.

170,1 τύχης ἀντὶ τοῦ εὐτυχίας. τὸ δὲ ἐνθύμημα εἶπεν ὁ Θουκυδίδης ἐν τῇ τετάρτῃ, ἔνθα οἱ Λακεδαιμόνιοι πρὸς Ἀθηναίους δημηγοροῦσι περὶ τῆς Πύλου. οὐ μεθιᾶσιν οὐκ ἀπολύουσιν.

170,2 ἀποδόσθαι πωλῆσαι. τῆς ἀξίας τιμήσαιτ' ἂν ἐκεῖνο. τὴν αὐτῶν ἀδυναμίαν προστιθέντες πλεονάζουσιν λογιζόμενοι γὰρ ὡς ὅπερ ἀδυνάτως εἶχον λαβεῖν, ἔλαβον, μέγα ἐπὶ τούτοις φρονοῦσι, καὶ πλείστου κρίνουσιν ἄξιον.

170,3 πλεονάζουσιν πλείονος ἄξιον κρίνουσιν. κρείττων οὖσα ἁπάντων.

170,4 ἐμικρολογήσατο ἐφειδωλεύσατο. μικροπρεπὲς καὶ ταπεινὸν ἐφρόνησε καὶ ἀνάξιον ἑαυτῆς. ἐξ ἴσου τοῖς παροῦσι τὰ ἀπόντα ἐλπίζουσα

Θουκυδίδειόν ἐστιν· ὡς λέγει ἐκεῖνος· ἐξ ἴσου τὰ ἀπόντα ἔχειν νομίζουσιν. τὰ ἀπόντα ἐλπίζουσα ἔχειν.

170,6 τῆς πόλεως τῶν Ἀθηναίων. ὅπου γε μηδ᾽ ἀπὸ κοινοῦ μόνοι ἀπὸ κοινοῦ τὸ ἐκράτησαν.

170,7 Ἀθηναίων δ᾽ ἀνὴρ εἷς ὁ Κόνων. Ἀθηναίων δ᾽ ἀνὴρ εἷς τῆς θαλάττης— μᾶλλον δὲ τοῖς Ἕλλησιν ἵνα λέγῃ τὸν Πέρσην· ἵνα μή τις εἴπῃ ὅτι κέκλοφεν, ἢ ἀπεστέρησεν αὐτὸν τὰ χρήματα. λέγεται γὰρ ἡνίκα Λακεδαιμονίους κατεδίωκεν, ἐν τῷ παριέναι δέδωκε τοῖς Ἀθηναίοις χρήματα Περσικά. ἀκούσας δὲ ὁ βασιλεὺς συνελάβετο αὐτὸν, ὁ δὲ δυνηθεὶς φυγεῖν πάλιν πρὸς Εὐαγόραν κομίζεται. ἡ ἱστορία προεγράφη.

170,8 ἅμα τῷ βασιλεῖ στρατηγήσας καὶ τῇ πόλει, μᾶλλον δὲ τοῖς Ἕλλησιν ἡ γὰρ ὑπὲρ τῆς πόλεως αὐτοῦ στρατηγία ὑπὲρ ἁπάντων Ἑλλήνων ἦν, καταβαλόντος Λακεδαιμονίους, τοὺς τὰ Ἑλλήνων σφετεριζομένους. τῷ βασιλεῖ τῶν Περσῶν.

170,9 τὸν πιστεύσαντα τὸν βασιλέα. τοὺς Ἕλληνας ἠλευθέρωσε, Λακεδαιμονίους κατὰ νῆσον καὶ πόλιν νικῶν ὅτι πάντας ἠλευθέρωσε νικήσας.

170,12 οἱ δ᾽ οἱ Λακεδαιμόνιοι. οἱ δ᾽ ἐξ ὧν ἡ πόλις ἠτύχησε ἐν Αἰγὸς ποταμοῖς. τότε γὰρ ἔλαβον Λακεδαιμόνιοι τὴν ἡγεμονίαν. ἐν Αἰγὸς ποταμοῖς. ἡ πόλις τῶν Ἀθηναίων. κτησάμενοι τοίνυν τὴν ἀρχὴν Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι. οἱ μὲν οἱ Ἀθηναῖοι. ἕκαστα τὰ τῶν Ἑλλήνων. διεῖλον διεμέρισαν. διέκριναν καὶ διῴκησαν. διοικήσαντα δὲ λέγει τὸν τοὺς φόρους τάξαντα· ἵνα λέγῃ τὸν Ἀριστείδην.

170,13 τὸν διοικήσαντα τὸν Ἀριστείδην τοῦ Λυσιμάχου. Ἀριστείδην τὸν Λυσιμάχου, τὸν τοὺς φόρους τάξαντα. ἀπὸ τούτου τοῦ διοικῆσαι. εἰκότως προσέθηκε τὸ ἀπὸ τούτου, ἵνα μή τις νομίσῃ ὡς ἐξ ἄλλης αἰτίας, καὶ οὐκ ἀπὸ τοῦ τοὺς φόρους τάξαι, δίκαιος κέκληται. καλῶς προσέθηκε τὸ ἀπὸ τούτου, ἵνα μή τις εἴπῃ ὅτι δι᾽ ἄλλην αἰτίαν δίκαιος Ἀριστείδης ἐκλήθη.

170,14 μηδὲν δεῖν περιττότερον σύμβολον εἰπεῖν τῆς ἐπωνυμίας, ἣν δι᾽ ἐκείνου τότε ἡ πόλις ἐκτήσατο ἡ γὰρ ἐκείνη ἐπωνυμία τῆς πόλεως ἦν τῆς τοῦτον

παρασχούσης. ἥντινα, φησὶ, δόξαν διὰ τοῦ Ἀριστείδου ἐκτήσατο. λέγει δὲ τὴν τῆς δικαιοσύνης. ἧς γὰρ ὁ πολίτης δίκαιος, ἀνάγκη καὶ τὴν τοῦτον προενεγκοῦσαν πόλιν οὕτω καλεῖσθαι.

170,15 οἱ δ' οἱ Λακεδαιμόνιοι. τοὺς παραδόντας ἑαυτοὺς τοὺς ὑπακούσαντας. τοὺς πιστεύσαντας καὶ ὑπακούσαντας. Ἕλληνας σφίσι. ὥστε κάλλιστ' ἀνθρώπων ἀπελογήσατο—παρ' ἐνίων τῇ πόλει δεινῶς καὶ βιαίως τὴν ὑπερβολὴν τῶν ἀδικημάτων τῶν Λακεδαιμονίων ἀπολογίαν, ὧν κατὰ καιροὺς ἠδίκησαν Ἀθηναῖοι, λέγει. καὶ ἀληθῆ λέγει· ὅταν γὰρ, τινὸς πρόσθεν μεγάλα ἠδικηκότος, ὕστερόν τις μείζω ἀδικήσας φανήσεται, φιλάνθρωπον ἀπέφηνε τὸν προειληφότα. σημαίνει δὲ τὰς αἰτίας τὰς περὶ Μηλίων καὶ Σκιωναίων, ἐφ' ἃς κατὰ μικρὸν ἔρχεται. Θουκυδίδης· ἄλλους ἂν οἰόμεθα τὰ ἡμέτερα λαβόντας δεῖξαι ἂν μάλιστα, ὅτι μετριάζομεν. δεινῶς δ' ἐνταῦθα ἀπολογίαν καλεῖ τὴν ὑπερβολὴν τῶν ἀδικημάτων ὧν ἠδίκησαν Ἀθηναῖοι. ἔστιν οὖν καινοπρεπὴς τρόπος οὗτος ἀπολογίας· τὴν γὰρ ὑπερβολὴν τῆς Λακεδαιμονίων ἀδικίας ἀπολογίαν ἐκάλεσε.

170,16 ὑπὲρ τῶν κατὰ καιρούς τινας αἰτιῶν γενομένων παρ' ἐνίων τῇ πόλει σημαίνει τὰ περὶ Ἠλείων καὶ Σκιωναίων, ἐφ' ἃ μετὰ μικρὸν ἔρχεται. τῇ πόλει τῶν Ἀθηναίων.

170,17 αἴτιον τοῦ τοιαῦτα ποιῆσαι τοὺς Λακεδαιμονίους. αἴτιον δ' οὐκ ὠμότης ἀπολογεῖται ὑπὲρ Λακεδαιμονίων, ὅτι οὐ δι' ὠμότητος ἠδίκησαν, ἵνα πλέον αὐξήσῃ τὴν Ἀθηναίων φύσιν, ὅτι μὴ ἔχοντες τὴν ὁμοίαν αὐτοῖς φύσιν ἡμάρτανον· τοῦτο γάρ ἐστι τὸ μὴ ἐξικνεῖσθαι τὰς φύσεις ἄχρι τοῦ ἴσου. ἤγουν ὅτι οὐκ ὠμότατοι τὴν φύσιν ἦσαν Λακεδαιμόνιοι.

170,18 τὰς φύσεις ἑκατέρων. οἱ μὲν ἤγουν Ἀθηναῖοι.

170,19 κατέσχον τὴν τῆς θαλάττης ἀρχήν. οἱ δ' οὐδ' εἰς τρεῖς Ὀλυμπιάδας διεφύλαξαν τὴν ἀρχὴν ἄξιον ζητῆσαι τί δήποτε ὁ μὲν Ἀριστείδης λέγει πεντεκαιδέκατον ἔτος τοὺς Λακεδαιμονίους τὴν ἀρχὴν ἐσχηκέναι. ὁ δὲ Δημοσθένης φησὶ κα′. λέγομεν οὖν τοῦτο, ὅτι ἕως τῶν ἐν Κνίδῳ ιε′ ἔτη εἶχον τὴν ἡγεμονίαν, εἶτα καταναυμαχηθέντες μετρίως ἦρχον· εἶτα πάλιν ἕως τῶν Λευκτρικῶν ἔχοντες τὴν ἀρχὴν, τότε κατεπολεμήθησαν ὑπὸ Θηβαίων τελέως, ὅθεν οὐκ ἔτι ἤνεγκαν· ὥσθ' ὁ μὲν Ἀριστείδης

ἀποβλέπων πρὸς τὰ ἕως ἐν τῇ Κνίδῳ, ὁ δὲ Δημοσθένης πρὸς τὸν ὅλον χρόνον, ἕως τῶν Λευκτρικῶν· οὕτως ἀνομοίως εἰρήκεσαν. εἰς τρεῖς Ὀλυμπιάδας τὰς ἐνδείκτους. ἤγουν μέχρι πεντεκαίδεκα χρόνων· κατὰ πέντε γὰρ χρόνους τὰ Ὀλύμπια γίγνεται.

170,20 οὔκουν ὡς ἀληθῶς ἄλλως γ' ἂν εἴη ἤγουν οὐκ ἂν ποσῶς ἔσχον τὴν ἀρχήν. προσαγόντων τὸ προσαγόντων ἀντὶ τοῦ ἐγγιζόντων καὶ ἀρχομένων, ἵνα δείξῃ τὴν ἀκρίβειαν, τοῦτο προσέθηκε. προσαγόντων προσερχομένων.

171,1 τοῖς παρεξετάζειν βουλομένοις ἑκατέρας τὰς πόλεις. ἴσως μὲν οὖν κἀγώ τισι ποιεῖν ἄτοπον δοκῶ ὥσπερ ἀντιπῖπτον θεραπεύει, τὸ ἐναντίον δοκῶν ποιεῖν.

171,2 μεμφόμενος μὲν τοῖς παρεξετάζουσι. αὐτὸς δ' εἰς τοὺς ὁμοίους λόγους προεληλυθὼς τρόπον γάρ τινα καὶ αὐτὸς παρεξετάζω. δι' αὐτά γε ταῦτ' εἰρηκὼς αὐτοὺς, δι' ἃ φημι δεῖν μὴ λέγειν τουτέστιν αὐτὰ τὰ πλεονεκτήματα φαίνομαι εἰρηκὼς τὰ τῶν Ἀθηναίων, δι' ἃ λέγω μὴ δίκαιον εἶναι συγκρίνειν αὐτοὺς τοῖς Λακεδαιμονίοις.

171,4 ἣν οἴονται τῇ πόλει κατατίθεσθαι οἱ παρεξετάζοντες καὶ τὴν πόλιν κρείττω δεικνύντες.

171,5 ὥστ' εἴ τις ἀξιοῖ καὶ ἡμῖν ἄρρητα ταῦτ' εἶναι ἀντὶ τοῦ εἴ τις ἀξιοῖ μηδὲ ἐμοὶ ταῦτα λελέχθαι. λέγει δὲ τὸ συγκεκρικέναι ἡγείσθω, ὅτι οὐκ ἐξεπίτηδες αὐτὰ εἶπον.

171,6 ἄνευ βλασφημίας εἰς Λακεδαιμονίους, αἷς ἀνάγκη τοὺς παρεξετάζοντας χρῆσθαι.

171,7 οὐ γὰρ ἦν ἄλλως ὃ προειλόμην ἀποδεῖξαι ἤγουν τὸ εἰπεῖν ὡς μάταιον τὸ παρεξετάζειν. ὥστ' ἐξ ὧν ἔφευγον, ἐκ τούτων προήχθην εἰπεῖν ἔφευγον παραβάλλειν, ἵνα μὴ τῷ παραβάλλειν ἐλαττώσω τὴν πόλιν. ἀνάγκη οὖν παρατιθέναι καὶ δεικνύειν αὐτῆς τὰ πλεονεκτήματα, διὰ τὸ παριστᾶν ἐκ τούτων, ὡς οὐκ ἔστι δίκαιον τὴν κατὰ τοσούτου προέχουσαν ἑτέρᾳ παραβάλλεσθαι.

171,8 προήχθην ἠγόμην. ἀντὶ τοῦ ἠναγκάσθην· οἷον φυγὼν τὸ συγκρῖναι συνέκρινα. δοκοῦσι γάρ μοι Λακεδαιμόνιοι τὸ τοῦ παρ᾽ Ὁμήρῳ Τεύκρου πρὸς τὸν Αἴαντα πεπονθέναι πρὸς τὴν πόλιν οὕτως Ὅμηρος περὶ Τεύκρου φησὶ, «Πάις ὡς ὑπὸ μητέρα,
δύσκεν εἰς Αἴανθ᾽· ὁ δέ μιν σάκεϊ κρύπτασκε
φαεινῷ.» ἐν οἷς φησιν ὁ ποιητὴς «Πάις ὡς ὑπὸ— κρύπτεσκε φαεινῷ.»

171,10 δι᾽ ἐκείνου φαίνεται ἀντὶ τοῦ ἔνδοξος γίνεται καὶ ἐπίσημος.

171,13 ὧν τῶν Περσικῶν. τούτων ἃ μὲν διείλοντο ἀπέτυχον τὰ Μηδικὰ λέγει τὰ ἐν Πύλαις, ὅπου οἱ τριακόσιοι αὐτῶν ἀπέθανον. διείλοντο δὲ, τουτέστι διεμερίσαντο. λέγω τὸ εἰς Πύλας ἀπαντῆσαι. ἀπέτυχον πάντες γὰρ οἱ ἐκεῖσε ἰόντες ἀπώλοντο.

171,14 ἃ δὲ σὺν τοῖς ἀπὸ τῆς πόλεως ἔπραξαν, ἐνδοξότατ᾽ ἀνθρώπων κατώρθωσαν λέγω τὴν ἐν Πλαταίᾳ μάχην πρὸς τὸ Ξέρξου πεζόν.

171,15 οὐ μὴν ἀλλ᾽ ἔγωγε οὕτω παρὰ γνώμην εἰς τούτους ἐξήχθην συνεπέρανε τὴν σύγκρισιν, εἰς ἄλλα δὲ μεταβαίνων κατὰ Λακεδαιμονίων γενόμενα, ὥσπερ δυσχεραίνων, ὅτι κατὰ Λακεδαιμονίων μέλλει λέγειν, ἵνα μὴ δόξῃ τισὶ συγκρίνων Ἀθηναίους πρὸς τούτους τὰς κατ᾽ αὐτῶν πράξεις διέρχεσθαι. συνεπέρανε τὴν σύγκρισιν. εἰς ἄλλα δὲ μεταβαίνει κατὰ Λακεδαιμονίων γενόμενα.

171,17 τοῖς πολλοῖς τροπαίοις.

171,18 ταύτην τὴν ὁδόν.

171,20 δεῖ δὲ, ὡς ἔοικεν, οὐ τοῦ τυχόντος δρόμου ἀλλὰ πολλῆς ταχυτῆτος, διὰ τὸ μὴ εἰς μῆκος ἐκταθῆναι τὸν λόγον. οὐ τοῦ τυχόντος δρόμου ὁ δρόμος εἶδός ἐστι σχήματος λόγου. Διονύσιος γὰρ ὁ Ἁλικαρνασεὺς λέγει ὅτι λβ′ εἰσὶ σχήματα τοῦ λόγου, ὧν ἕν ἐστι τὸ τοῦ δρόμου. ἐνίκησαν μὲν τοίνυν ἐν Λεχαίῳ, καὶ διέφθειραν Λέχαιον λιμήν ἐστι Κορίνθου, πρὸς δυσμὰς τῆς πόλεως κείμενον. ἡ δὲ ἱστορία αὕτη· ἐπεστρατεύσαντο κατὰ Κορινθίων Λακεδαιμόνιοι, ὅτι μὴ συνεστρατεύσαντο αὐτοῖς κατὰ Ἀθηναίων, λέγοντες ὅτι, ἡνίκα ἐκινδυνεύετε, ἐβοηθήσαμεν· νῦν οὖν ἀδικεῖτε. ἐλθόντες οὖν πρὸς συμμαχίαν Κορινθίων οἱ Ἀθηναῖοι ἐν τῷ Λεχαίῳ

νενικήκασιν. ἔστι δὲ τόπος πλησίον τοῦ Λεχαίου Μόρα καλούμενος, ἣν ὁ τῶν Ἀθηναίων στρατηγὸς Ἰφικράτης κατέκοψε. καὶ τὰ ἐφεξῆς δὲ πάντα οὕτως ἐποίησε· καὶ γὰρ τὰ ἐν Ὀροδοῦντι καὶ ἐν Κρομίονι καὶ ἐν Οἰνόῃ φρούρια Λακεδαιμονίων πάντα εἶλε, καὶ τὰ τείχη, ἃ ἦσαν περιβαλόντες περὶ τὴν Κόρινθον Λακεδαιμόνιοι, ἵνα αὐτὴν παραστήσονται βίᾳ. Λέχαιον λιμήν ἐστι Κορίνθου. ἡ ἱστορία αὕτη· ἐστρατεύσαντο κατὰ Κορινθίων Λακεδαιμόνιοι, ὅτι μὴ συνεστρατεύοντο αὐτοῖς κατὰ Ἀθηναίων, λέγοντες ὅτι, ἡνίκα ἐκινδυνεύετε, ἐβοηθήσαμεν· νῦν δὲ ἀδικεῖτε. ἐλθόντες οὖν πρὸς συμμαχίαν Κορινθίων Ἀθηναῖοι ἐν τῷ Λεχαίῳ τῷ λιμένι νενικήκασι.

172,1 διέφθειραν μικροῦ πᾶν τὸ στρατόπεδον περὶ τῆς κατακοπείσης λέγει μοίρας ὑπὸ Ἰφικράτους περὶ τὸ Λέχαιον. καὶ ἃ λέγει δὲ ἑξῆς Ἰφικράτης ἐποίησε, μετὰ τὸ κόψαι τὴν μοῖραν εὐθύς· καὶ γὰρ τὰ ἐν Ὀρδοῦντι καὶ ἐν Κρομμύωνι καὶ ἐν Οἰνόῃ πάντα εἵλετο φρούρια. εἶλον δὲ τὰ ἐν Κορίνθῳ φρούρια ταῦτά ἐστι τὰ Κορινθιακὰ φυλακτήρια τὰ ἐν τῇ χώρᾳ τῶν Κορινθίων. τὰ ἐν Κορίνθῳ φρούρια τῶν Λακεδαιμονίων.

171,2 τὰ τείχη κατέσκαψαν ἃ ἦσαν περιβαλόντες αὐτοῖς οἱ Λακεδαιμόνιοι πρὸς τὸ πολιορκῆσαι αὐτούς.

171,3 κατέκλεισαν δὲ τοὺς ἐν Φλιοῦντι τὰ μετὰ Κορινθίων αὐτοῖς λέγει γενόμενα πρὸς τῷ Τρικαράνῳ, καὶ τὸ κατὰ Φλιασίων τρόπαιον, στρατηγοῦντος Ἰφικράτους. Φλιοῦς δὲ πόλις Πελοποννήσου. Φλιασίους οὖν, φίλους ὄντας Λακεδαιμονίων, ἐπολιόρκησαν, καί τινας αὐτῶν ἐπεξελθόντας διέφθειραν, στρατηγὸν ἔχοντες Χαβρίαν. ἐκράτησαν δὲ καὶ Σικυωνίων καὶ Μαντινέων, στρατηγὸν ἔχοντες Διότιμον.

172,4 καὶ Μαντινέων πάλιν ὅτε ἐν Κορίνθῳ πελτασταὶ τῶν Ἀθηναίων ἐνίκων, στρατηγοῦντος Χαβρίου. Σικυωνίων δὲ, ἐπειδὴ καὶ οὗτοι Λακεδαιμονίοις συνεμάχουν, Διότιμος δὲ Σικυωνίων καὶ τῶν συμμάχων ἐκράτησεν ἐν τῷ πεδίῳ.

172,5 παρέπλευσαν δ’ ἄχρι καὶ Βυζαντίου, καὶ πάντα ταῦτα διὰ Θρασυβούλου τοῦ Πειραιῶς ἐπράχθη. πάντα τὸν περὶ Θρᾴκην τόπον δι’ ἑαυτῶν

ἐποιήσαντο ἦγουν διὰ τῆς αὐτῶν στρατηγίας καὶ νίκης οἰκεῖον σφίσιν εἰργάσαντο.

172,6 ἐνίκησαν δὲ τοὺς ἐπιλοίπους τῶν ἁρμοστῶν, καὶ τὰς φρουρὰς ἐν Μηθύμνῃ, καὶ πρὸς Ἀβύδῳ κρατουμένας τῶν πόλεων Λακεδαιμόνιοι ἄρχοντας ἔπεμπον, οὓς ἐκάλουν ἁρμοστὰς διὰ τὸ μεθαρμόζειν τὴν πολιτείαν ἐκ δημοκρατίας εἰς ὀλιγαρχίαν, οὓς Ἀθηναῖοι ἀντιστάντας σφίσιν ἐκράτησαν, καὶ πρὸς τούτοις ἃς ἐν Μηθύμνῃ καὶ ἐν Ἀβύδῳ φρουρὰς ἔστησαν Λακεδαιμόνιοι. ἐνίκησαν δὲ τοὺς ἐπιλοίπους τῶν ἁρμοστῶν· καὶ γὰρ Θηρίμαχον τὸν ἁρμοστὴν ἀπέκτεινε Θρασύβουλος, καὶ τὴν Λέσβον προεκτήσατο. ἔγνωμεν δὲ πολλάκις ὅτι οἱ ἄρχοντες, οὓς κατέστησαν οἱ Λακεδαιμόνιοι ἐν τῷ τέλει τοῦ Πελοποννησιακοῦ, ἁρμοσταὶ ἐκαλοῦντο, διὰ τὸ μεθαρμόζειν τὴν δημοκρατίαν εἰς ὀλιγαρχίαν.

172,7 τοσοῦτον δ' αὐτοῖς περιῆν ὥστε καὶ τοὺς Θρᾳκῶν βασιλέας διήλλαξαν Αὐδηρίταις ἐβοήθησε Χαβρίας ἐν Θρᾴκῃ πολεμουμένοις ὑπὸ Μαρωνιτῶν καὶ Τριβαλῶν, ὧν ἦρχε Χάλης, καὶ διαλλάξας τοὺς αὐτῶν βασιλεῖς ἀλλήλοις, καὶ φίλους καὶ συμμάχους ἀμφοτέρους Ἀθηναίων ἐποίησε. ἠλευθέρωσαν ἀπὸ Λακεδαιμονίας οὓς εὗρον ἐν παρόδῳ στασιάζοντας πρὸς ἀλλήλους. γενομένου δὲ τοῦ περὶ τὴν Καδμείαν κακοῦ ὅτε παριὼν ὁ Φοιβίδας ταύτην κατέσχε καὶ φρουρὰν κατέστησεν. ἀπροσδοκήτου δὲ λέγει κακοῦ, ἐπειδήπερ οὐκ ἤλπιζον Θηβαῖοι ὑπὸ Λακεδαιμονίων τοῦτο παθεῖν, συμμάχων ὄντων αὐτοῖς. ὅτε παριὼν ὁ Φοιβίδας κατέσχε τὴν Καδμείαν, καὶ τὴν φρουρὰν κατέστησεν.

172,8 τὸ τῆς αἰσχρᾶς εἰρήνης δίκαιον εἰρήνην λέγει, ἧς πρόσθεν ἐμνήσθη, ἣν καὶ καλεῖ αἰσχράν, διὰ τὸ παραχωρῆσαι Λακεδαιμονίους τῷ Πέρσῃ τοὺς Ἴωνας. δίκαιον δὲ λέγει διὰ τὸ αὐτονόμους εἶναι τοὺς Ἕλληνας, καὶ μὴ ὑπό τινων πολεμίων καταπολεμεῖσθαι· τοῦτο γὰρ ἡ εἰρήνη ἐθέσπιζεν. τὸ μὲν αἰσχρᾶς λέγει, διὰ τὸ παραχωρῆσαι Λακεδαιμονίους τῷ Πέρσῃ τοὺς Ἴωνας κατὰ Ἀθηναίων· τὸ δὲ δίκαιον, διὰ τὸ αὐτονόμους εἶναι τοὺς Ἕλληνας, καὶ μὴ ἔχειν ἄδειαν Λακεδαιμονίους, βιάζεσθαι τούτους. αἰσχρὰν μὲν λέγει, διὰ τὸν Ἀνταλκίδην, ὅτι τοὺς Ἴωνας παρεχώρησε δι' ἐκείνου τῷ Πέρσῃ, δικαίαν δὲ διὰ τὸ αὐτονόμους εἶναι τοὺς Ἕλληνας. ἢ

ἄλλως. δίκαιον λέγει τὸ ἐμμένειν τὰς συνθήκας ὕστερον συνθεμένους. τὰ δὲ τῶν Ἑλλήνων καλὰ φησὶ τὴν ἐλευθερίαν.

172,9 τὰ τῶν Ἑλλήνων καλὰ καὶ ὡς ἀληθῶς δίκαια καὶ τὸ ἐλευθέρους εἶναι καὶ τὸ μὴ στασιάζειν. τὴν ἐλευθερίαν. Λακεδαιμονίοις ἐπεξελθόντες ὅτι ἀδίκως καὶ παρασυνθήκως τὴν Καδμείαν κατέσχον.

172,10 ὧν ἀμφοτέρων τί χρὴ μεῖζον εἰπεῖν περὶ τῆς πόλεως, ὅτε μετὰ τὴν κατάληψιν τῆς Καδμείας οἱ περὶ Χαβρίαν Ἀθηναῖοι πρὸς Κλεόμβροτον ἐπολέμησαν τὸν Λάκωνα, αὐτὸς δὲ ἐπιφέρει. ἔστι δὲ ταῦτα, τὸ τελευταίους συνθέσθαι, καὶ τὸ Λακεδαιμονίοις ἐπεξελθεῖν ἀδικοῦσι τοὺς Ἕλληνας. πρῶτον δὲ αὐτοὺς ὑπεδέξαντο, εἶτα ὕστερον ἐστράτευσαν μετὰ τῶν ὅπλων καὶ ἐβοήθησαν αὐτοῖς. τήν τε γὰρ εἰρήνην ἔσχατοι τῶν Ἑλλήνων συνεχώρησαν, καὶ οὐ πρότερον, πρὶν ἀπολογεῖται ὑπὲρ τῶν Ἀθηναίων, ὅτι ἠνέσχοντο τοιαύτης εἰρήνης, ἐν ᾗ ἐξεδόθησαν οἱ ἄποικοι αὐτῶν τῷ Πέρσῃ, λέγων ὅτι ἂν πάντας τούτους ἐκτήσαντο ἐχθροὺς, εἰ μὴ τὴν εἰρήνην ἐδέχοντο. ἦν δὲ ὁ Σεύθης σατράπης τοῦ Πέρσου, ὁ στρατιᾶς πολλῆς ἡγούμενος· ὁ δὲ Διονύσιος Σικελίας τύραννος.

172,12 Σεύθῃ οὗτος σατράπης ἦν τοῦ βασιλέως. Διονυσίῳ τῷ Σικελίας τυράννῳ λέγει. λέγει οὖν ὅτι, εἰ μὴ ἐδέξαντο τὴν εἰρήνην, ἀνάγκη ἦν αὐτοὺς τούτοις πᾶσι πολεμῆσαι.

172,13 ἐπεὶ πρὸς τοῦτό γε ὑπῆρχον παρεσκευασμένοι τὸ ἀντιπῖπτον λύει· οὐκ ἔδει οὖν καὶ τούτοις πολεμεῖν ἕνεκα τῶν Ἰώνων. λέγει οὖν ὅτι καὶ τούτοις ἐβουλεύοντο πολεμεῖν. τοῦτο δὲ καθ' ἑαυτόν. ἐπεὶ, φησὶ, παρεσκευάσαντο πολεμεῖν, ὥστε μὴ συγχωρῆσαι, εἰ μὴ τοὺς συμμάχους εἶχον ἀντιπράττοντας. πρὸς τοῦτό γε τὸ πᾶσι τούτοις μόνον πολεμῆσαι.

172,14 οὕτω προυδόθησαν ὑπὸ τῶν συμμάχων δηλονότι. ἤγουν διὰ τοιαύτην αἰτίαν ἐξέστησαν τοῦ φρονήματος, καὶ ἑκόντες ἄκοντί γε θυμῷ συνεχώρησαν τῇ εἰρήνῃ. καὶ οὐδ' οὕτως ἁπάσαις καὶ τοῦτο καθ' ἑαυτόν· διὰ μέσου γάρ ἐστι τὸ καὶ τοῖς συμμάχοις μέλλοντες πολεμεῖν. ἁπάσαις ταῖς ψήφοις ἤγουν πάσῃ σπουδῇ καὶ προθυμίᾳ. ἐκ τοῦ εἰπεῖν ἁπάσαις ταῖς ψήφοις δείκνυσιν ὅτι, εἰ καὶ συνεχώρησαν, ἀλλ' ἐδυσχέραινον, καὶ τοὺς

αἰτίους κατεμέμφοντο. ἔστι δὲ ἐκ μεταφορᾶς τῶν κριτῶν, οἳ, ὅταν τι ἀποδέξωνται, πᾶσαν ψῆφον ἐπὶ τούτῳ τιθέασιν.

172,15 τῶν γε πεισάντων κατέγνωσαν εἰς Ἐπικράτην αἰνίττεται, ὃς ἔπεισεν Ἀθηναίους δι' ἅσπερ ἴσμεν αἰτίας δέξασθαι τὴν εἰρήνην. εἰς Ἐπικράτην αἰνίττεται. κατέγνωσαν λέγει, τὸν θάνατον δηλονότι. ἡγούμενοι παρὰ τὴν ἑαυτῶν—ἀκροᾶσθαι συγχωρῆσαι ἐπειδήπερ μεγάλα κατὰ Περσῶν Ἀθηναῖοι ἔστησαν τρόπαια, οὐκ ᾤοντο δίκαιον, οὐδὲ τῆς αὐτῶν φύσεως, ἐπιλελησμένους τουτωνὶ τῶν τροπαίων παραχωρῆσαι Ἕλληνάς τινας ὑπακούειν τῷ Πέρσῃ, ὃν δεῖ τούτους ἅπαντας νικῶντας ἱστάναι τρόπαια.

172,17 παρὰ ταύτην τὴν εἰρήνην τὴν ἐπὶ Ἀνταλκίδου· ἐπανέρχεται γὰρ εἰς ὅπερ ἔλεγεν. ἐπειδὴ οὖν, φησὶ, καὶ κακὴν συνθέμενοι εἰρήνην ὅμως οὐκ ἐφύλαξαν, ἀλλὰ πρῶτοι παρέβησαν, κατὰ τῶν Ἑλλήνων στρατεύσαντες. παρὰ ταύτην τὴν εἰρήνην ἦγουν ἐκτὸς τῶν ἐν αὐτῇ συνθηκῶν. παρῆλθον εἰς Θήβας οἱ Λακεδαιμόνιοι. εἰς Θήβας τουτέστιν εἰς τὴν Καδμείαν, ὅπερ καὶ ὄπισθεν εἶπε. ὧν ἐγὼ φεύγω λέγειν τοὔνομα ἐπὶ τοιούτοις τὸ Λακεδαιμονίων δηλονότι. τοῦτο δὲ εἶπεν, ἵνα μὴ δόξῃ αὐτοὺς διαβάλλειν παρεισφέρων. ἵνα μηδὲν δόξω παρεξετάζων σφᾶς πρὸς Ἀθηναίους λέγειν ταυτί.

172,18 οὐ μόνον πρῶτοι—τῶν πραγμάτων ἀνθήψαντο οἱ Ἀθηναῖοι. τῶν πραγμάτων τῶν τοῖς Θηβαίοις.

172,19 καὶ οὐχ ἓν εἶδος εὐεργεσίας ἐκ καταθέσεως καὶ ἀναιρέσεως τὸ ἐπιχείρημα. καὶ οὐχ ἓν εἶδος—εὐεργεσίας ἀπέλιπον ἐπιθυμοῦσι γὰρ Ἀθηναῖοι εὐεργεσίας ποιεῖν.

172,20 δεξάμενοι μὲν ἐν Ἀθήναις. τὴν φυγὴν τετρακόσιοι ἦσαν οἱ φυγάδες, ὡς Ἀνδροτίων λέγει. τὴν φυγὴν αὐτῶν. τὴν πρᾶξιν αὐτοῖς συνθέντες τὸ πρᾶξιν αὐτοῖς συνθέντες λέγει, διότι συνεβούλευσαν αὐτοῖς πῶς δεῖ τοὺς τυράννους καταχρήσασθαι. ἡ δὲ ἱστορία προεγράφη ἐν ἀρχῇ τοῦ λόγου, εἰς τὸ πάλιν τοίνυν Θηβαίων ὑπὸ τῆς φρουρᾶς τῆς Λακωνικῆς. ἦγουν τὸ πῶς διαχρήσονται τοὺς τὴν Καδμείαν καταλαβόντας. ἀντὶ τοῦ προσώπου τὴν φυγὴν τὸ πρᾶγμα εἶπεν· ἔδει γὰρ εἰπεῖν τοὺς φυγόντας. καταλαβόντων γὰρ τὴν Καδμείαν τῶν Λακεδαιμονίων, κατέφυγον

Θηβαῖοι πρὸς Ἀθηναίους. συνθέντες δὲ λέγει, ἀντὶ τοῦ κακουργήσαντες. λέγει δὲ ὅτι ἐδίδαξαν αὐτοὺς πῶς δεῖ τοὺς καταλαβόντας τὴν Καδμείαν χρήσασθαι· συνεβούλευσαν γὰρ ἐγχειρίδια λαβόντας νεωτέρους τινὰς, καὶ γυναικεῖον σχῆμα περιθεμένους, αὐτοῖς εἰς τὴν ἀκρόπολιν ὡς γυναῖκας συγγενέσθαι, τοῖς καταλαβοῦσι τὴν Καδμείαν, τούτων αἰτησάντων εὑρεῖν πρὸς συνουσίαν, γυναῖκας, καὶ οὕτως ἀνελεῖν αὐτούς. ὥσπερ δὲ δρᾶμα λέγει, ὅτι εἰώθασιν οἱ τραγῳδοὶ ἀεὶ προτυποῦν ἑαυτοὺς καὶ κατασκευάζειν τὴν ἐπίδειξιν. συνθέντες κακουργήσαντες.

172,21 ὥσπερ δρᾶμα τὸ ὥσπερ δρᾶμα λέγει, ἐπειδὴ εἰώθασιν οἱ τραγῳδοὶ πρὸ τῆς δραματουργίας τοὺς ὑπουργήσαντας αὐτῇ προδιδάσκειν καὶ προμηνύειν, πῶς δεῖ ποιεῖν. καὶ γὰρ ἐν τοῖς δράμασι σκοποῦσι καὶ προμελετῶσι πῶς καὶ τίνα εἰσελθεῖν δεῖ. πρᾶξιν δὲ λέγει, ὅτι γυναικεῖον σχῆμα εἶπον αὐτοῖς πρὸς τοὺς ἁρμοστὰς εἰσελθεῖν. ἀτέλειαν δὲ καὶ πολιτείαν καὶ πάντων μετουσίαν δόντες ἐφ᾽ ὅσον καιρὸν Ἀθήναζε ἦσαν.

173,1 ὥσπερ τοῖς ἐκ Κορίνθου καὶ Θάσου καὶ Βυζαντίου μεταστᾶσιν τοῖς μετοικήσασι. ταῦτα καὶ Δημοσθένης λέγει ἐν τῷ πρὸς Λεπτίνην. τοῖς— μεταστᾶσιν Ἀθήναζε. ἔπειθ᾽ ὡς καὶ τῆς διὰ τῶν ὅπλων ἐδέησε μετὰ γὰρ τὸ ἀνελεῖν τοὺς ἁρμοστὰς μετεπέμψαντο τοὺς Ἀθηναίους Θηβαῖοι, καὶ οὕτως ἔσχον τὴν πόλιν.

173,2 ὥσπερ πομπῆς πανηγύρεως.

173,3 τὴν προτέραν αὐτῶν ἔξοδον μιμησάμενοι τὴν ἐν Ἁλιάρτῳ. ἣν ὑπὲρ αὐτῶν Θηβαῖοι ἦσαν ποιησάμενοι, ὅτι ἐξέβαλον τὴν φρουρὰν αὐτῶν· τότε γὰρ ὀλίγους ἔπεμψαν μετ᾽ αὐτῶν, νῦν δὲ τελείαν δύναμιν. προτέραν οὖν ἔξοδον λέγει τὴν ἐν Ἁλιάρτῳ γενομένην, ὅτε Λύσανδρος καὶ Παυσανίας ἡγοῦντο Λακεδαιμονίων ἐν Ἁλιάρτῳ, ἐν τῇ προτέρᾳ ἐξόδῳ.

173,4 τότε μὲν γὰρ οὐκ οὔσης αὐτοῖς συμμαχίας πρὶν τὴν Καδμείαν καταλαβεῖν τὸν Φοιβίδαν, κακῶς ὑπὸ Λακεδαιμονίων Θηβαίους ἰδόντες Ἀθηναῖοι πάσχοντας, εἰσελθόντες εἰς Ἁλίαρτον, ἐνίκησαν Λακεδαιμονίους, ἐξείλοντο δὲ τῆς ἀπὸ τούτων βλάβης Θηβαίους· οὐδὲν διασωθέντες Θηβαῖοι στήλας ἔστησαν περὶ συμμαχίας, ἃς προϊόντος τοῦ χρόνου καθῃρηκότες πρὸς Λακεδαιμονίους αὖθις ἐχώρησαν. ἔπειτα Φοιβίδου τὴν

Καδμείαν κατειληφότος καὶ φρουρὰν καταστήσαντος, ἐλεήσαντες Ἀθηναῖοι τυραννουμένους Θηβαίους, ἐξελθόντες κατέλυσαν μὲν τὴν φρουρὰν, συμβαλόντες δὲ Λακεδαιμονίοις ἐν Κορωνείᾳ κατὰ κράτος ἐνίκησαν. αὕτη δὲ ἡ βοήθεια μαρτύριόν ἐστι μεγαλοψυχίας, ἐπειδήπερ ἠμνημόνησαν τῆς τῶν στηλῶν καθαιρέσεως. ἡ πρότερον ἔξοδος τῶν Ἀθηναίων ἐγένετο, ὅτε ἐν Ἁλιάρτῳ συνεμάχησαν Θηβαίοις, μετὰ τὴν κατάληψιν τῆς Καδμείας, καὶ τὴν ἀναίρεσιν τῆς Λακεδαιμονίων φρουρᾶς τῆς διὰ Φοιβίδου καταστάσης, ἔνθα σωθέντες Θηβαῖοι στήλας ἔστησαν περὶ συμμαχίας, εἶτ᾽ ἀποστάντες πρὸς Λακεδαιμονίους κατέβαλον τὰς στήλας. ἀλλ᾽ ὅμως Ἀθηναῖοι πολεμουμένοις αὖθις ὑπὸ Λακεδαιμονίων συνεμάχησαν ἐν Κορωνείᾳ.

173,5 τῶν στηλῶν τῶν περὶ τῆς συμμαχίας—τὴν ἄνοιαν αὐτῶν τῇ χρείᾳ σωθέντες γὰρ ἐν Ἁλιάρτῳ ἐν στήλαις τὴν συμμαχίαν ἀνέγραψαν, ὕστερον δὲ πάλιν καθεῖλον, ὡς ἀχάριστοι. ἐγράφοντο γὰρ καὶ συμμαχίαι ἐν στήλαις, ὥσπερ καὶ δωρεαί. λέγει οὖν ὅτι οἱ Θηβαῖοι τὰς στήλας τῆς συμμαχίας τῶν Ἀθηναίων καθεῖλον, οἱ δὲ Ἀθηναῖοι τὴν ἄνοιαν αὐτῶν οὐχ ὑπελογίσαντο. τῇ λέξει δὲ θεραπεύει αὐτῶν τὴν ἄνοιαν.

173,6 τῇ χρείᾳ διὰ τὴν χρείαν. τοῖς δικαίως κινδυνεύουσιν διὰ τὸ καθελεῖν αὐτῶν τὰς στήλας εἶπεν αὐτοὺς δικαίως κινδυνεύοντας. ἀξίως γὰρ ἐκινδύνευον, τὴν Ἀθηναίων συμμαχίαν ἀφέντες.

173,7 τοῖς ἀδίκως ἐπελθοῦσιν τοῖς Λακεδαιμονίοις λέγει, ὅτι καταδουλώσασθαι αὐτοὺς ἐβούλοντο. τοῖς ἀδίκως ἐπελθοῦσιν κατ᾽ αὐτῶν Λακεδαιμονίοις.

173,9 ἐκβαλόντες τῆς Καδμείας. τοὺς ἁρμοστὰς ὑποσπόνδους σπονδὰς γὰρ πρὸς Ἀθηναίους ποιήσαντες ἀβίαστοι ἐξῆλθον τῆς πόλεως.

173,11 παροξυνθέντων γὰρ Λακεδαιμονίων πρὸς τὸ συμβὰν ἀκούσαντες Λακεδαιμόνιοι τὴν ἐν Κορωνείᾳ τοῦ στρατοπέδου αὐτῶν ἦτταν, μετὰ δυνάμεως πολλῆς ἔπεμψαν Ἀγησίλαον κατὰ Θηβαίων, ὃς μάλιστα πάντων ἐδόκει φιλοπόλεμος εἶναι. Ἀθηναῖοι δὲ καὶ αὖθις ἐβοήθησαν Θηβαίοις, καὶ συμβαλόντες πρὸ τῆς Θηβαίων πόλεως Ἀγησιλάῳ, εἰς φυγὴν ἔτρεψαν, στρατηγοῦντος αὐτοῖς Χαβρίου καὶ Δημάδου. τὸ δὲ σὺν Ἀγησιλάῳ λέγει, ἢ ὅτι μετ᾽ αὐτοῦ ἦσαν καὶ ἕτεροι στρατηγοὶ, ἢ ὥσπερ

φαμὲν τοὺς ἀμφὶ τὸν Ἀχιλλέα, δηλοῦντες αὐτὸν μόνον τὸν Ἀχιλλέα. πρὸς τὸ συμβὰν τὸ ἐκβληθῆναι τὴν φρουράν.

173,12 ἀντετάξαντο οἱ Ἀθηναῖοι.

173,13 στρατηγούς τε φοβερωτέρους ἐκείνοις ἀντεπιστήσαντες τὸν Χαβρίαν λέγει καὶ Δημέαν. ἐπέμφθη δὲ ὕστερον Ἀγησίλαος μετὰ δυνάμεως πολλῆς κατὰ Θηβαίων. οὗτος δὲ πάνυ ἐγένετο φιλοπόλεμος, ὡς μαρτυρεῖ Ξενοφῶν, πρὸς ὃν Θηβαῖοι κατὰ Χαβρίου ἀντετάξαντο.

173,14 τῇ πόλει τῶν Θηβαίων. περιίσταται δέ με παντοδαπὰ, ὥσπερ—οὐδ' ἑνὸς στρατηγοῦ πάντα ἑξῆς διὰ τὸ εἶναι πλεῖστα, ἃ μέλλει λέγειν, τὸ συγγραφῇ εἴρηκε· συγγραφῆς γάρ ἐστιν ἔργον ἡ τῶν πολλῶν καὶ συνεχῶν πραγμάτων διήγησις. δέον δὲ οὕτως εἰπεῖν, ἃ μὴ ὅτι πάντα διεξελθεῖν εὔπορον, ἀλλ' οὐδὲ μέρη αὐτῶν, ὁ δὲ ἄλλως τὸν λόγον ἔτρεψεν, εἰπὼν, ἀλλ' οὐδὲ ἑνὸς στρατηγοῦ πάντα ἑξῆς, δεικνὺς ἐντεῦθεν ὡς, ἐπειδήπερ οὐχ εἷς στρατηγὸς, ἀλλὰ πολλοὶ ταῦτ' ἔπραξαν, παγχάλεπος εἴη ὁ περὶ τούτων λόγος.

173,15 ἀλλ' οὐδ' ἑνὸς στρατηγοῦ πάντα ἑξῆς διεξελθεῖν.

173,16 πότερον τῆς ἐν Νάξῳ ναυμαχίας, ἔργου τοσούτου σὺν ναυσὶ πολιορκῶν Νάξον Χαβρίας, Λακεδαιμονίων οὖσαν σύμμαχον. ἐπειδὴ οἱ Λακεδαιμόνιοι αἰσθόμενοι μετὰ πλήθους νεῶν παρεγένοντο, συμβαλὼν αὐτοῖς μεταξὺ Νάξου καὶ Πάρου, κατέδυσε μὲν τέσσαρας πρὸς ταῖς εἴκοσι ναῦς, τὰς δὲ λοιπὰς εἰς φυγὴν ἔτρεψε, δύο δὲ αὐτάνδρους λαβὼν ἀγαγὼν Ἀθήναζε τοὺς ἐν αὐταῖς πέπρακεν. τὴν Χαβρίου φησὶν, ὅτε σὺν ναυσὶ πολιορκῶν Νάξον πρὸς αὐτοὺς ἐναυμάχησε μεταξὺ Πάρου καὶ Νάξου, καὶ κατέδυσε μὲν κδ′ ναῦς, δύο δὲ αὐτάνδρους ἔλαβε, καὶ τοὺς αἰχμαλώτους ἄγων εἰς τὰς Ἀθήνας ἐπώλησεν ἐπὶ τοῦ πωλητηρίου.

173,17 τῶν περὶ Κέρκυραν ἀγωνισμάτων ἡ Κέρκυρα, Λακεδαιμονίων οὖσα, ὑπ' Ἀθηναίων ἐπολιορκεῖτο, στρατηγοῦντος αὐτοῖς Τιμοθέου. ἀκούσαντες δὲ Λακεδαιμόνιοι στράτευμα οὐκ ὀλίγον ἔπεμψαν, καὶ στρατηγὸν Νικόλαον. Τιμόθεος δὲ τήν τε Κέρκυραν παρεστήσατο, καὶ Λακεδαιμονίους διέφθειρεν. ὕστερον δὲ ἐπ' ἀναιρέσει Κερκύρας πεπλευκόσι

Λακεδαιμονίοις, μαθόντες οἱ Ἀθηναῖοι ἔπεμψαν Ἰφικράτην μετὰ νεῶν οὐ πολλῶν, ὃς συμβαλὼν αὐτοῖς, καὶ κατὰ κράτος νικήσας, ἀπήλλαξε κινδύνου τὴν νῆσον. ὅτε Τιμόθεος εἶλε Κέρκυραν, καὶ παρ᾽ αὐτὴν Λακεδαιμονίους, καὶ τὸν ναύαρχον Νικόλαον ἐνίκησε καὶ ἐν Ἀλύζᾳ τρόπαιον ἔστησε, καὶ ἐπεκράτησε τὸν κατ᾽ ἐκεῖνα τόπον, ὅτε ὕστερον Λακεδαιμονίων Κέρκυραν πολιορκούντων Ἰφικράτης πλεύσας τὰς Διονυσίου τριήρεις Λακεδαιμονίοις ἡκούσας βοηθοὺς ἐλθὼν διέφθειρε, καὶ ἀπήλλαξε κινδύνων τὴν νῆσον. τῶν ἐπὶ Θρᾴκης ὑπὲρ τῆς ἐκεῖ πραχθέντων Ἑλλάδος ὅτε Αὐδηρίτας καὶ Μαρωνίτας πολεμοῦντας ἀλλήλοις Χαβρίας διήλλαξεν. οἱ ἐπὶ Θρᾴκῃ Ἕλληνες πάσχοντες κακῶς ὑπὸ Λακεδαιμονίων ὑπ᾽ Ἀθηναίων ἀπηλλάγησαν, καταπολεμησάντων Λακεδαιμονίους.

173,18 τῶν ἐν Ἀκαρνανίᾳ ἐνταῦθα Ἀθηναῖοι Λακεδαιμονίοις καὶ τοῖς αὐτῶν συμμάχοις συμβαλόντες ἐνίκησαν.

173,19 μόνον ὡς ἀληθῶς τῶν Ἀθηναίων ἄξιον πρᾶξαι ἤτοι τὸ φιλάνθρωπον. ἐπειδὴ Θηβαῖοι Λακεδαιμονίους ἐν Λεύκτροις Θηβαῖοι Λακεδαιμονίους ἐν Λεύκτροις τῆς Βοιωτίας νενικηκότες οὕτως ἐδίωξαν, ὡς καὶ μέχρι τῆς Λακωνικῆς αὐτοὺς ἀφιγμένους φόβον τοῖς Λάκωσιν οὐ μικρὸν παρασχεῖν. ἦλθον γὰρ καὶ εἰς τὴν Λακωνικὴν αὐτὴν Θηβαῖοι μετὰ τὴν ἐν Λεύκτροις νίκην.

173,20 κατελέλειπτο τὰ πράγματα ἐν τούτῳ— ὄντων κινδύνων ἐθελοντὰς τὰ πράγματα, φησὶ, τῶν Λακεδαιμονίων οὕτως ἦν, ὥστε δεῖσθαι ἢ τινὰ τῶν θεῶν συμμαχῆσαι, ἢ τοὺς Ἀθηναίους κοινωνῆσαι τῶν κινδύνων. αὔξων δὲ τὸ δεινὸν ἐπαινεῖ τὴν Ἀθηναίων ῥοπήν.

174,1 ὥστε δεῖν ἢ θεῶν τινα χεῖρα ὑπερέχειν ἐκ τοῦ εἰπεῖν ὥστε δεῖν ἢ θεῶν τινα δείκνυσι μὲν τῆς Λακεδαιμονίων δυστυχίας τὸ μέγεθος, αὔξει δὲ τὴν Ἀθηναίων ῥώμην, ἣν ὑπὲρ Λακεδαιμονίων ἐπεδείξαντο. εἰ γὰρ Λακεδαιμόνιοι μὲν εἰς τοῦτο τύχης ἀφίκοντο, ὡς, εἰ μή τις αὐτοῖς συμμαχήσει τούτοις, καθάπαξ ἀπολωλέναι, Ἀθηναῖοι δὲ τοῖς οὕτως ἔχουσιν ἐβοήθησαν, πῶς οὖν δαιμόνιοί τινες ἦσαν ὡς ἀληθῶς, καὶ ταὐτὰ τοῖς θεοῖς δυνάμενοι.

174,2 καίτοι ἀφῖκτο μὲν κατ᾽ ἀρχὰς τοῦτο μέσον ἐστὶ παρεμβολή. κάτω γὰρ ἐπιφέρει τὴν ἀπόδοσιν. ἀφῖκτο μὲν κατ᾽ ἀρχὰς εὐθὺς κήρυξ παρὰ τῶν Θηβαίων, ὡς ἐπ᾽ εὐαγγελίοις ἐστεφανωμένος ἦλθεν αὐτοῖς ὁ κήρυξ, εὐαγγελιζόμενος νίκην, ἐπειδήπερ καὶ σύμμαχοι αὐτῶν Ἀθηναῖοι ἐγένοντο ἐν τοῖς προτέροις πολέμοις, ἐν Ἁλιάρτῳ καὶ Κορωνείᾳ. ἔστι δὲ καὶ οὕτως εἰπεῖν· τῶν προσόντων ἀγαθῶν ἢ προσώπῳ, ἢ πράγματι, τὰ μέν ἐστιν ὁμολογούμενα, τὰ δὲ ἀμφισβητούμενα. ἢ οὖν παρελευσόμεθα, ὅταν πάνυ ἄδηλον τοῖς ἀκούουσι, καὶ τὴν δόξαν ἀμφίβολον ἔχῃ, ἢ λύσομεν φανερωθέντες περὶ αὐτῶν ἀντίθεσιν, ὅταν ὁ ἀκροατὴς δι᾽ ὑπόληψιν ἐναντίαν ἐνίσταται πρὸς τὰ ἐπαινούμενα. ἀφῖκτο Ἀθήναζε.

174,4 κελεύουσα παρακαλοῦσα. κελεύουσα ἐπ᾽ ἀναιρέσει τῆς Σπάρτης ἡγεῖσθαι κελεύουσα, ἀντὶ τοῦ παρακαλοῦσα. ἔστι δὲ Ἀττικόν. ἐπ᾽ ἀναιρέσει δὲ λέγει, ἐπὶ κατασκαφῇ τῆς Σπάρτης. ἐπ᾽ ἀναιρέσει ἀφανισμῷ. ἀναλήψει. ἡγεῖσθαι εἰς πόλεμον. εἰ δὲ μὴ ἀντὶ τοῦ εἴπερ περιιδεῖν. ἔστι δὲ ὁ σύνδεσμος συγκριτικός.

174,5 ἐπὶ μὲν τοῖς παρὰ τοῦ κήρυκος λόγοις.

174,6 πλεῖστον δὴ δόξης ψευσθέντα δόξαν λέγει νῦν τὴν ἐλπίδα καὶ προσδοκίαν· ἤλπιζον γὰρ οἱ Θηβαῖοι τοὺς Ἀθηναίους ἐπὶ τῇ θέᾳ τοῦ κηρύγματος ἥδεσθαι. ἤλπιζε γὰρ εὐεργεσιῶν μεγάλων τευξεῖσθαι. τὴν δὲ Λακεδαιμονίων ἐρημίαν ἀπορίαν καὶ μόνωσιν. τὴν δὲ Λακεδαιμονίων— τῶν κεκρατηκότων, εἴλοντο ἰστέον ὅτι πάντες οἱ ἐν τῇ Πελοποννήσῳ κατοικοῦντες κοινῷ. ὀνόματι Πελοποννήσιοι λέγονται, ἰδίᾳ δὲ οἱ μὲν Λακεδαιμόνιοι, οἱ δὲ Μυκηναῖοι, οἱ δὲ Πελοποννήσιοι. ἐν οὖν τῇ Λακεδαιμονίων ἥττῃ τοσοῦτον ἥσθησαν Πελοποννήσιοι, ὡς ἑκόντες ἐλθεῖν Ἀθήναζε, καὶ συμμαχίαν ἐπαγγέλλειν, ἣν μετ᾽ αὐτῶν καὶ Θηβαίων κατὰ Λακεδαιμονίων χωρήσωσι. τὸ αὐτὸ δὲ καὶ Θηβαῖοι διὰ τοῦ κηρύγματος ᾔτουν· πάλιν ἐκ μέρους Λακεδαιμόνιοι ἐδέοντο μὴ περιιδεῖν σφᾶς.

174,7 τῶν κεκρατηκότων τῶν Θηβαίων λέγει.

174,8 ὧν ἐπεπόνθεσαν αὐτοὶ ὑπὸ Λακεδαιμονίων. ἐν τῷ Πελοποννησιακῷ πολέμῳ. μνημονεύσαντες ἀντὶ τοῦ μνησικακήσαντες. ἀλλ᾽ ἃ πείσονται

Λακεδαιμόνιοι περιοφθέντες, αὐτῶν εἶναι λῦσαι νομίσαντες ἡ σύνταξις οὕτως· ἀλλὰ νομίσαντες αὐτῶν εἶναι κωλῦσαι, ἃ πείσονται Λακεδαιμόνιοι περιοφθέντες, τουτέστι παροραθέντες.

174,9 ὃ δὲ δὴ καὶ μάλιστα—ἢ κατ᾽ ἄνθρωπον ἡγήσασθαι λείπει τοῦτο λέγει.

174,10 ἐξὸν γὰρ ἑαυτοῖς ἀκολουθοῦντας ἔχειν Λακεδαιμονίους ὥσπερ ὑπηρέτας. ἀκολουθοῦντας ἀντὶ τοῦ ὑπακούοντας, ἐν ὑπηκόων τάξει. οὐχ ἁπλῶς δὲ λέγει, ἀλλ᾽ ἐπεὶ δόξα ἦν τῷ στρατηγεῖν ἐν πολέμῳ. δυνάμενος οὖν, φησὶν, αὐτοὶ τὴν στρατηγίαν ἔχειν, ἅτε παρακαλούμενοι βοηθεῖν αὐτοῖς ἐπὶ τῇ ἴσῃ τιμῇ ἐδέξαντο, ὅ ἐστιν ἴσον ἀξίωμα ἔχειν συμμαχίας.

174,11 ἐπὶ κεφαλὴν ὠσθέντας τὸ ἐπὶ κεφαλὴν ὠσθῆναι παροιμία ἐστὶν ἐπὶ τῶν κακῶς πεσόντων καὶ ἀπολωλότων ταττομένη. εἴρηται δὲ ἀπὸ τῶν κακούργων τῶν καταδικαζομένων ἐκ κρημνοῦ ῥίπτεσθαι, κατὰ κεφαλήν. ἀντὶ τοῦ κακῶς παθόντας· δεινὸν γὰρ τὸ ἐν τῇ κεφαλῇ τινα πληγῆναι. ἔστι δὲ καὶ παροιμία ἐπ᾽ ὀλέθρῳ ταττομένη, παρὸ οἱ ἐπὶ τὴν κεφαλὴν φερόμενοι κινδυνεύουσιν.

174,12 συμμάχων, περιοίκων, οἰκετῶν, ἁπάντων, ἐπανεστηκότων ἐπειδήπερ εἶδον αὐτοὺς ὑπὸ Θηβαίων κατὰ κράτος ἡττηθέντας. τὸ δὲ ἐπὶ τοῖς ἴσοις ἐδέξαντο, ἀντὶ τοῦ ἴσους αὐτοῖς καὶ ὁμοτίμους συμμάχους. ἐπὶ τοῖς ἴσοις ἤγουν ἐπὶ τῇ ἴσῃ τιμῇ· ὅ ἐστιν ἴσον ἀξίωμα ἔχειν συμμαχίας. ἤτοι ἐπὶ τῷ ἴσῳ ἀξιώματι.

174,13 καὶ τὰ λοιπὰ τῆς Πελοποννήσου λείπει ἡ εἰς, ἵν᾽ ᾖ καὶ εἰς τὰ λοιπὰ τῆς Πελοποννήσου· πᾶσαν γὰρ ἐζήτουν λαβεῖν. ἢ τὰ λοιπὰ λέγει τοὺς συμμαχοῦντας Θηβαίους Λακεδαιμονίοις· εἶχον γὰρ ἀπὸ τῆς Λακωνικῆς συμπράττοντας ἑαυτοῖς μετὰ Θηβαίων τινάς.

174,15 ὥστε καταστῆναι τὴν πόλιν συνέδριον τῆς συμμαχίας ἁπάσης συνέδριον, τουτέστι βουλευτήριον. σημαίνει δὲ τὴν ἡγεμονίαν· ἴδιον γὰρ τῆς τῶν ἀρχόντων πόλεως τὸ συνέδριον εἶναι παρ᾽ αὐτοῖς τῶν ἀρχομένων. ἤγουν τόπον οἰκεῖον καὶ πρέποντα συμμαχίας ἐντεῦθεν γίνεσθαι.

174,16 θαυμάζω τοίνυν τῶν τὰ Μηλίων διαβάλλουσί τινες τὸν Ἀριστείδην διὰ ταύτην τὴν ἀντίθεσιν· οὐ γὰρ ἔδει, φησὶν, ἐν ἐγκωμίῳ μεμνῆσθαι

συμφορῶν καὶ ἐγκλημάτων· ἐγκώμιον γάρ ἐστιν αὔξησις τῶν προσόντων ἀγαθῶν. πρὸς τοῦτο οὖν διπλοῦν ἐστι τὸ τῆς λύσεως θεώρημα. τινὲς γὰρ τῶν τεχνικῶν παντοίως ἀναιροῦσι τὸ μεμνῆσθαι τοιούτου τινὸς ἐν ἐγκωμίῳ. ἄλλοι δὲ λέγουσι· δεῖ μὲν τιθέναι τὰ λυπηρά, ἵνα μὴ τῇ σιωπῇ βεβαιώσωμεν τὰ ἐγκλήματα. ἑκάτερον δὲ τῶν θεωρημάτων ἰσχυρόν. ἡμεῖς δὲ φαμὲν ὅτι, ἐὰν μὲν ἰδιώτου ἑνὸς ἐγκώμιον ποιώμεθα, δεῖ σιωπᾶν τὰ λυπηρά· οὐδὲ γὰρ θαυμαστὸν, ἕνα ἄνδρα εὑρεῖν ἀναμάρτητον· ὅταν οὖν πόλιν ἐγκωμιάζωμεν, καὶ ἀνάγκη, διὰ τὸ πλῆθος τῶν πραγμάτων, εἶναι λυπηρὰ, θετέον τὰ τοιαῦτα, καὶ λυτέον, καὶ οὐκ ἴδιον αὐτῶν ἡμεῖς τοῦτο λέγομεν· αὐτοὶ γὰρ οἱ ἀρχαῖοι ἐν τοῖς λόγοις αὐτῶν τοῦτο ἡμᾶς διδάσκουσιν· ἰδοὺ γὰρ αὐτὸς Ἀριστείδης διδάσκει ἡμᾶς τὸ θεώρημα· ἄλλως τε εἰ δὲ μὴ ἰδιώτου ποιεῖ τὴν κρίσιν, ἀλλὰ πόλεως, καὶ ταύτης πρεσβυτάτης τῶν Ἑλληνίδων. εἰ δέ τις εἴποι, πῶς οὖν ἐν τῷ Βουσίριδι εὕρομεν ἀντίθεσιν, καὶ ταῦτα ἑνὸς ὄντος, καὶ οὐ πόλεως ὄντος τοῦ ἐγκωμιαζομένου; λέγομεν ὅτι βασιλικὸν ἦν τὸ πρόσωπον καὶ μέγα· διὸ ἠναγκάσθη ὁ Ἰσοκράτης κἀκεῖ θεῖναι ἀντίθεσιν, ἵνα τὸ ἄδηλον ποιήσῃ ὁμολογούμενον. ἄδηλον γὰρ ἦν εἰ ὁ Βούσιρις αἴτιος ἐγένετο τῶν τοσούτων ἀγαθῶν τοῖς Αἰγυπτίοις. καὶ διὰ τῆς λύσεως ἀποδείκνυσιν ὅτι οὐδεὶς ἄλλος τούτων αἴτιός ἐστιν, εἰ μὴ ὁ θεῶν παῖς ὢν ὁ Βούσιρις. τὰ Μηλίων καὶ Σκιωναίων τὰ περὶ Σκιώνης ὁ Θουκυδίδης λέγει ἐν τῇ τετάρτῃ. αὕτη γὰρ ἐν Θρᾴκῃ οὖσα πόλις τῶν Ἀθηναίων ὑπήκοος, ἀπέστη αὐτῶν, καὶ Λακεδαιμονίοις συνεμάχει. ὀργισθέντες οὖν Ἀθηναῖοι κατέσκαψαν αὐτήν. ὁ αὐτὸς δὲ λέγει καὶ περὶ τῆς Μήλου ἐν τῇ δευτέρᾳ ὅτι νῆσός ἐστιν ἄποικος μὲν Λακεδαιμονίων, Ἀθηναίοις δὲ οὐ συμμαχεῖν βουλομένη ὑπ᾽ αὐτῶν τῶν Ἀθηναίων κατεσκάφη, ὅτι νῆσος οὖσα θαλασσοκράτορσιν Ἀθηναίοις οὖσιν οὐχ ὑπήκουε. ταῦτα οὖν ἐδόκουν εἶναι μόνα τῶν Ἀθηναίων ὠμὰ καὶ ἀπάνθρωπα. ἔστι δὲ ἡ μὲν Μῆλος νῆσος πρὸς τῇ Πελοποννήσῳ, ἡ δὲ Σκιώνη περὶ Παλήνην. ἀπολογεῖται δὲ Ἀριστείδης πρὸς τοὺς ἐγκλήματα ταῦτα τῆς πόλεως φάσκοντας.

174,17 ποῦ γῆς ἢ θαλάττης ὄντες ταῦτα κατηγοροῦσι ἀντὶ τοῦ ἐγκαλεῖν καὶ ὀνειδίζειν. οὐχ ἁπλῶς δὲ ταῦτα λέγει, ἀλλ᾽ ἵνα δείξῃ ὅτι οἱ ταῦτα λέγοντες ἀγνοοῦσι τῆς πόλεως τὰ ἐν γῇ καὶ θαλάττῃ πλεονεκτήματα.

174,18 τῶν πεπραγμένων τῇ κατὰ ἦθος πόλει ὅταν ἡ πόλις δίκαιον, ἢ ἄδικον ἐργάσηται ἢ ὠμὸν, ἢ φιλάνθρωπον, τότε φαμὲν ὡς ἡ κατὰ τὸ ἦθος τοῦτο ἔπραξεν, ἤγουν ἡ κατὰ τρόπον. τότε γὰρ ἐμφανίζεται ὁ τῆς πόλεως τρόπος, εἴτε χρηστός ἐστιν εἴτε φαῦλος· τὰ μὲν γὰρ ἄλλα χειρῶν, ἢ εὐβουλίας ἐστὶ κατορθώματα, οἷον πόλεμοι καὶ αἱ πρὸς τούτους μηχαναί. καὶ δίκαιον τότε λέγειν ὡς ἡ κατὰ χεῖρας, ἢ ἡ κατὰ φρόνησιν πόλις ταῦτ' εἰργάσατο· ἃ δὲ φιλανθρώπως, ἢ ἀπηνῶς ἐργάσεται, τὴν ποιότητα αὐτῆς παριστᾷ.

174,20 εἰ δ' οὐκ ἂν φύγοιεν τὴν αἵρεσιν ἀλλ' αἱρήσονται καὶ ταῦτα καὶ τἄλλα ὑπάρχοντα αὐτοῖς. εἴ τις αὐτοῖς διδοίη θεῶν τὴν τούτων κτῆσιν.

174,21 παυσάσθωσαν μείζοσιν ἢ καθ' ἑαυτοὺς λόγοις ἐγχειροῦντες οὐ γάρ εἰσιν ἄξιοι ταῦτα κακίζειν, ὧν εὔξαιντ' ἂν μετασχεῖν.

175,1 πότερον τῆς πόλεως ἢ τῶν συμβάντων κατηγοροῦσιν συλλογιστικῶς ἀγωνίζεται. δοκεῖ δὲ τὸ αὐτὸ λέγειν. λέγομεν ὅτι πόλιν μὲν λέγει πάντα τὰ πεπραγμένα αὐτῇ, συμβάντα δὲ τὰ περὶ Μηλίων καὶ Σκιωναίων.

175,2 ἐκπέφευγεν αὐτοὺς ἐκεῖνα. ἐκπέφευγεν αὐτοὺς, ἀφ' ὧν ἡ πόλις γνωρίζεται τουτέστιν ἀγνοοῦσιν αὐτῆς τὰ ἴδια, ἀφ' ὧν γνωρίζεται. εἰ δὲ τὰ συμβάντα μέμφονται, οὐχ ὅμοια—τὴν πόλιν ἐγκωμιάζουσι οὐχ ὅτι, φησὶν, ἄδικόν ἐστι τὸ συμβὰν, διὰ τοῦτο μέμφονται, ὅτι ἀνάξιον ἐγένετο τῆς φιλανθρωπίας τῆς πόλεως.

175,6 προσκείσθω γάρ οὐχ ἁπλῶς τοῦτο εἶπε τὸ προσκείσθω· πολλάκις γὰρ συμβαίνει μικρὰ μὲν, πολλὰ δέ. ἀλλ' ὅταν ᾖ πολλὰ καὶ μεγάλα, τότε ἔγκλημα.

175,7 εἰ μηδ' ἰδιώτου ποιῇ τὴν κρίσιν ἤγουν οὐκ ἰδιώτην κρίνεις ταύτῃ τῇ κρίσει. ἰδιώτου ἀντὶ τοῦ ἑνὸς ἀνδρός. ἰδοὺ δὲ, καὶ αὐτὸς δηλοῖ, εἰ ἔστιν εἷς ἀνὴρ ὁ ἐγκωμιαζόμενος, δεῖ παραλιπεῖν ὃ ἔσχεν ἐλάττωμα.

175,9 εἰ δὲ δεῖ καὶ περὶ τούτων ἀποκρίνασθαι οὐκ ἐρῶ Ἰσοκρατικὸν τὸ μεταχείρημα· ὥσπερ γὰρ ἐκεῖνος ἐν τῷ Βουσίριδι, ὅτε εἰσήγαγε τὸν Πολυκράτην, διέβαλλεν αὐτὸν ὡς ἀπαιδεύτως ἀντιτιθέντα, καὶ ὕστερον

διέλυσεν, οὕτω καὶ Ἀριστείδης δείξας ἀμαθεῖς τοὺς ἀντιθέντας νῦν λύει τὰ παρ᾽ αὐτῶν. πεποίηκε δὲ τοῦτο καὶ Δημοσθένης πολλάκις.

175,10 οἱ μετὰ ταῦτα δυνηθέντες Λακεδαιμόνιοι. πρότερον τὴν τῆς θαλάττης ἀρχὴν Ἀθηναίων ἐχόντων, ὕστερον Λακεδαιμόνιοι ταύτην ἐκτήσαντο. οὔτε γὰρ λυπεῖν ἔγωγε οὐδένα τῶν Ἑλλήνων προῄρημαι διὰ τοῦ ἐπιδείξασθαι αὐτὸν δεινότερα εἰργασμένον.

175,11 ὁ λόγος οὗτος ὁ περὶ τῆς πόλεως.

175,12 οὔτ᾽ ἂν ἑτέρους ἐπιδείξω δήπου μείζω—εἰς συγγνώμην καταφεύγουσα κατηγορεῖταί τις ὡς προδότης· εἰ οὖν καὶ ἑτέρους δείξει εἰς ταύτην τὴν κακίαν πεσόντας, οὐκ ἔστι τοῦτο ἀπολογία ὑπὲρ αὐτοῦ, ὡς διὰ τοῦτο ἔξω μέμψεως εἶναι, ἀλλ᾽ ἐντεῦθεν θηρᾶται παρὰ τῶν κατηγορούντων συγγνώμην καὶ ἔλεον, εἴπερ οὐ μόνος ἑάλω τούτῳ τῷ κακῷ, ἀλλὰ καὶ ἑτέρους ὁμολογοῦντας καὶ συμφωνοῦντας ἔχει διὰ τῆς αὐτῆς πράξεως. μείζω καὶ δεινότερα ὧν νῦν αἰτιῶνται τὴν πόλιν τινές.

175,14 ἀλλά μοι δοκοῦσιν ὅλως ἠγνοηκέναι τὴν τῶν πραγμάτων φύσιν μεταστατικῶς ἀπολογεῖται, μεταφέρων τὴν αἰτίαν τοῦ ἀδικήματος ἐπὶ τὴν φύσιν τοῦ πράγματος. Θουκυδίδειος ἡ μεταχείρησις.

175,15 παραφέροντες εἰς μέσον φέροντες.

175,16 μετρίως καλῶς καὶ ὡς προσῆκε.

175,17 τὴν φύσιν αὐτῆς τῆς ἀρχῆς δηλονότι. μεταστατικῶς δὲ ἀπολογεῖται, τῆς ἀρχῆς τὴν αἰτίαν ἄγων ἐπὶ τὴν φύσιν τοῦ πράγματος.

175,18 παρ᾽ αὐτὸν ἔξω. παρ᾽ αὐτὸν τὸν τῆς ἰσότητος νόμον καὶ ἔξω τοῦ τῆς ἰσότητος νόμου, ἅ ἐστιν αὐτός. ὑπεροχὴ γὰρ ἡ ἀρχὴ, καὶ οὐκ ἰσότης.

175,19 νόμους τιθέναι τοῖς οὐδὲν δεομένοις εἰσὶ γὰρ πολλάκις ἄνθρωποι μηδὲν δεόμενοι νόμων, ἢ τῷ οἴκοθεν νοεῖν τὸ δίκαιον, ἢ τῷ ὅμοιον εἶναι τὸν τρόπον. ἵνα κατ᾽ αὐτοὺς πολιτεύοιντο, καὶ οὐχ ὡς βούλοιντο. πολεμεῖν τοῖς μὴ πειθομένοις.

175,20 εἴ τις ἀκριβολογεῖται περὶ τῶν δικαίων ἀντὶ τοῦ εἴ τις δικαιολογεῖται.

176,1 σοφιστὴς εἶναι μᾶλλον βούλεται ὡς τὰ ἀδύνατα δυνατὰ τῷ λόγῳ ποιεῖν φαίνεσθαι.

176,3 ἅπαντά γε ταῦτα αἱ ἀρχαὶ καὶ αἱ δυναστεῖαι. ὡς ἅπαντά γε ταῦτά ἐστιν ἐν τῷ θεσμῷ τοῦ κρείττονος ἀντὶ τοῦ ἐν τῷ νόμῳ· ἅπασα γὰρ δήπουθεν ἀρχὴ τῶν κρειττόνων ἐστί· δι᾽ ὧν κατηγορεῖ τῆς ἀρχῆς, διὰ τούτων ἀπολογεῖται. ὑπὸ σοφίας ἄνεισι μέχρι τῶν θεῶν τοῦτο κατ᾽ εἰρωνείαν.

176,5 ᾗρηνται κρείττους εἶναι μάτην δηλονότι καὶ ὡς ἔτυχεν. ἀλλ᾽ οἶμαι ταῦτ᾽ ἐστὶ γωνίας ἀξίων ἀνθρώπων, καὶ τὸν ἥλιον οὐχ ἑωρακότων, ὃς ἀφαιρεῖται τοὺς ἄλλους ἀστέρας τὸ φαίνεσθαι ἀντὶ τοῦ ἀγνοούντων ὅτι καὶ αὐτὸς τὸ πλέον ἔχει τῶν ἄλλων ἀστέρων. γωνίας δὲ ἀξίων ἀντὶ τοῦ ἀφανῶν καὶ ἀποκεκρυμμένων· παρόσον τὸ ἀφανέστατον μέρος τῶν οἰκοδομημάτων ἡ γωνία.

176,7 τὰ τοιαῦτα ἃ καὶ κατ᾽ Ἀθηναίων οὗτοι προφέρουσιν.

176,8 ὅταν δείξῃ τῶν ἄλλων εἴτε Ἑλληνικῶν δυνάμεων ἀντὶ τοῦ ἀρχῶν. τῇ συγκρίσει δὲ τῶν ἄλλων ἀρχῶν ἀπολύεται τὴν διαβολήν.

176,9 τῆς πλεονεξίας ἢ ἀδικίας, ἢ ἀνισότητος λέγει. γινομένῳ δὲ λέγει, ἀντὶ τοῦ ὀφειλομένῳ καὶ ἀναγκαίῳ.

176,10 τῷ τῆς πλεονεξίας γιγνομένῳ ἁρμόζοντι. ἢ τὸν τῶν Ἀθηναίων ἐστὶ δῆμον εὑρεῖν ἀντὶ τοῦ ἥπερ τὸν τῶν Ἀθηναίων δῆμον. ἃ μὲν καλά. διαφερόντως τῶν ἄλλων.

176,11 ἑνὸς ἀνδρὸς ἤθει κεχρημένος τοῦ βελτίστου ἀντὶ τοῦ συνετοῦ, καὶ οὐ δήμου συρφετώδους. ἤγουν ὥσπερ τις ἀνὴρ βέλτιστος.

176,12 οὐ τῇ κοινῇ φύσει τῶν ἀνθρώπων ἐξαμαρτὼν ὅτι ἀκολουθεῖ τῇ κοινῇ φύσει ἡμῶν τὰ ἁμαρτήματα. φυσικῶς γὰρ πᾶσιν ἀνθρώποις ἕπεται τὰ ἁμαρτήματα. τῇ τῆς ἀρχῆς ἀκολουθήσας ἀνάγκῃ ἀναγκαῖον ἔστιν ὅτε τὸν ἄρχοντα διὰ τὸ τῆς ἀρχῆς συμφέρον καὶ τὰ ἀδικώτατα ποιεῖν. ὅθεν καὶ ὁ Σοφοκλέους Ἀγαμέμνων φησὶ
«Τόν τοι τύραννον εὐσεβεῖν οὐ ῥᾴδιον.»

176,13 δυνάμει μὲν ἄρχων καταστὰς ἀντὶ τοῦ δύναμιν. σημαίνει δὲ τὸ νικῆσαι τοὺς Πέρσας· νικήσας γὰρ αὐτοὺς ἔλαβε τὴν ἡγεμονίαν. διότι τῶν ἄλλων δυνατώτερος ἦν. τὸ τῆς ἀρχῆς δεδωκὸς ἀντὶ τοῦ τὸ αὐτεξούσιον. ἤγουν ὅπερ ἡ ἀρχὴ δίδωσι, λέγω τὸ ἀδικίᾳ κεχρῆσθαι ἐν τοῖς πλείοσιν.

176,14 σχεδὸν οὐ τῷ τῶν ἐγκλημάτων αἴτιος γεγονὼς παραδόξως λέγει ἑαυτῆς αἰτίαν γενομένην τῶν ἐγκλημάτων.

176,15 πρὸς ἅπαντας τοὺς αὐτῇ ὑπηκόους.

176,16 τοῖς χρηστοῖς δύο σημαίνει ἡ λέξις, τοὺς ἀγαθοὺς καὶ τοὺς ἀφελεῖς.

176,17 διὰ τὴν ἄλλην ἐπιείκειαν ἣν πρὸς αὐτοὺς εἶχε.

176,18 καὶ μὴν εἰ μὲν ἔχοντας τὸ νόημα ἀντεγκληματικόν· ὅτι ἄξιοι ἦσαν· ἠμύναντο γὰρ αὐτοὺς ἀδικήσαντας προτέρους. ἔχοντας τὸ τῶν ὑπηκόων σχῆμα τοὺς Σκιωναίους καὶ Μηλίους.

176,19 εἰ δὲ τοὺς ἀποστάντας ἡ μὲν γὰρ Μῆλος ἀποστᾶσα ἐπολέμησεν, ἡ δὲ Σκιώνη ὑπακούειν οὐκ ἠθέλησε. τοὺς μὲν ἀποστάντας καὶ παρ᾽ ἀξίαν ὑβρίσαντας εἰς αὐτὸν τοὺς Μηλίους.

176,20 τοὺς δ᾽ ἐκ τοῦ φανεροῦ πολεμίους ὄντας τοὺς Σκιωναίους. ποτέροις ἄξιον ἐγκαλεῖν ἀντεγκληματικὸν τὸ ἐπιχείρημα· ὅτι ἄξιοι ἦσαν παθεῖν.

177,2 ὡς Ἀθηναίους γε πεφυκότας σώζειν σημείωσαι τὴν σύνταξιν τοιαύτην εἶναι οἵαν καὶ πρόσθεν ἔφησεν, ὡς ἐνταῦθα· εἴπερ που τὴν δικαίαν φιλανθρωπίαν οὖσαν. εὕρηται δὲ καὶ ἐν πολλοῖς ἄλλοις τῶν λογοποιῶν καὶ τοῖς αὐτοῦ λόγοις πολλαχοῦ.

177,3 ἃ γὰρ περὶ Μιτυληναίων μετέγνωσαν, τίς ἔχει νικῆσαι πόλις οἷς ἐξ ἀρχῆς ἐβουλεύσατο; ἀντὶ τοῦ οὐδεὶς ἂν οὕτω πρὸς ὃν ἐξ ἀρχῆς ἐβουλεύσατο μετέγνω ἃ, φησὶ, περὶ Μιτυληναίων μετέγνωσαν, καίτοι ἠδικηκότων ἀξίων δοῦναι δίκην· τίς οὕτως ἀπ᾽ ἀρχῆς καὶ αὐτοῖς μηδὲν ἠδικηκόσιν, ἀλλὰ φιλίως ἔχουσι, προσηνέχθη· τουτέστιν, ἃ περὶ τῶν φίλων τοῖς φίλοις ἐστὶν ὀφειλόμενα, ταῦτα καὶ μετὰ τὴν ἔχθραν καὶ τιμωρίαν οἱ Ἀθηναῖοι τοῖς Μιτυληναίοις μεταγνόντες ἐβουλεύσαντο. ἃ γὰρ περὶ Μιτυληναίων—τῆς πόλεως ἦν μόνης Μιτυληναίους ὑπολειφθέντας περὶ

Ἀθηναίους εἶναι καὶ ἀναφανέντας ἀκριβῶς, ἐψηφίσαντο Ἀθηναῖοι διαφθεῖραι καθάπαξ. ὕστερον Διοδότῳ πεισθέντες τῷ ῥήτορι μετέγνωσαν. λέγει οὖν τὸ μὲν πρόσθεν βούλημα ὑπὸ τῆς κρίσεως γεγενῆσθαι· τοὺς γὰρ κριθέντας καὶ ἀποφανθέντας κακοὺς τί ἄλλο ἢ ἀπολωλέναι πᾶς τις ἂν εἴποι; τὸ δὲ μεταγνῶναι τῆς ἐμφύτου φιλανθρωπίας εἶναι τῆς πόλεως. μέχρι τούτων Θουκυδίδης ἐν τῇ τρίτῃ· κατεψηφίσαντο γὰρ τούτων θάνατον. ὕστερον δὲ μετέγνωσαν Διοδότῳ πεισθέντες τῷ ῥήτορι. ὥσπερ δὲ ἀντιπῖπτον λύει, ἵνα μή τις εἴποι, καὶ τὸν θάνατον αὐτῶν κατέγνωσαν.

177,4 ἃ μὲν τῇ προτεραίᾳ διέγνωσαν κατ᾽ αὐτῶν.

177,5 ἡ τριήρης τὴν τριήρη κατειλήφει τὸ ἡ τριήρης τὴν τριήρη κατειλήφει ἀντὶ τοῦ ἡ φιλανθρωπία τὴν ἀπανθρωπίαν. ἔστι δὲ παροιμία ἐπὶ τῶν μεταβαλλομένων. εἴρηται δὲ ἐκ τῶν πεμπόντων μὲν πρόσθεν τριήρη κατά τινος, ἔπειτα δὲ ὑπὲρ αὐτοῦ τούτου ἑτέραν πεμπόντων. οἱονεὶ καὶ φιλανθρωπία τὴν ἀπανθρωπίαν κατέλαβεν,

177,6 εἰ τῶν μὲν ἰδιωτῶν τὴν ἔργῳ πάντες ἀπολογίαν τιμῶσι ὁ γὰρ κατηγορηθεὶς ἀνανδρίαν, ἢν ἔργον ἔπειτα γενναῖον ἐργάσηται, ἢ πρότερον εἴργασται, ὥσπερ ἐντεῦθεν, ἀπολογεῖται καὶ δείκνυσιν αὐτὸν τῆς τοιαύτης αἰτίας ἀνεύθυνον.

177,7 οἱ σεμνοὶ τοῦτο κατ᾽ εἰρωνείαν. δι᾽ οἵων καὶ ὅσων ὧν πρὶν καὶ ἔπειτα εἴργασται. περὶ τούτων τῶν κατὰ Μηλίων καὶ Σκιωναίων.

177,11 κἂν εἴ τι σεισθῇ τῶν ἀτόπων. τὰς ὅλας καὶ κοινὰς εὐεργεσίας ἃς εὐεργετοῦσιν ἀνθρώπους ἑκάστοτε.

177,12 Σκιωναίους μὲν ἀνέστησε ἀναστάτους ἐποίησε.

177,14 τὰ τοιαῦτα κατηγορεῖν τῆς πόλεως.

177,15 οἵους ἀναστάτους ἐκώλυσε γενέσθαι Θηβαίους ὑπὸ Λακεδαιμονίων. ὅτε Λακεδαιμόνιοι ἐστρατεύσαντο κατ᾽ αὐτῶν Φοιβίδου καταλαβόντος Θήβας μετὰ τὰ Πελοποννησιακὰ, ἡνίκα ἐξελθόντες ἐν Ἁλιάρτῳ σεσώκασιν αὐτούς. τίνων τείχη τοιαῦτα. τίνων τείχη καθελεῖν, οἷα

Κορινθίοις ἀνέστησεν ἐν τοῖς Κορινθιακοῖς. τείχη δὲ λέγει, ἢ τὰ μακρὰ τὰ ἐπὶ τὸ Λέχαιον, ἢ φρούριά τινα, ἢ τὴν Ἀκροκόρινθον. οἷα Κορινθίοις ἀνέστησεν ὅτε ὑπὸ Λακεδαιμονίων ἔπασχον.

177,16 τίνας τοιούτους ἀνελεῖν, οἵους διετήρησε Λακεδαιμονίους ὅτε Θηβαῖοι νικήσαντες ἐν Λεύκτροις ἐπῆλθον Λακεδαιμονίοις, ἀνελεῖν αὐτοὺς βουλόμενοι, καὶ οἱ Ἀθηναῖοι αὐτοὺς ἔσωσαν. ὅτε τὴν ἐν Λεύκτροις μάχην ἡττήθησαν.

177,17 τὰ τελευταῖα τῇ περὶ Μαντίνειαν—ἱππομαχίᾳ Μαντίνεια πόλις ἐστὶ τῆς Ἀρκαδίας, ἐν ᾗ Ἀθηναῖοι ἐπολέμησαν ὑπὲρ Λακεδαιμονίων, ὅτε Θηβαῖοι μετὰ τὰ Λευκτρικὰ ἐζήτουν αὐτοὺς ἀνελεῖν. οὐχ ἁπλῶς δὲ εἶπεν ἱππομαχίαν, ἀλλ᾽ ὅτι ἱππικώτατοι ἐδόκουν εἶναι μόνοι Θηβαῖοι. καὶ αὕτη ἦν περὶ τοῦ πολέμου αὐτῶν ἡ δόξα. λέγει οὖν ὅτι ἐν ᾧ προέχειν ἐνόμιζον, ἐν τούτῳ ἡττήθησαν. ἡ δὲ σύνταξις οὕτω· τῇ περὶ Μαντίνειαν ἱππομαχίᾳ.

177,19 ὃ δ᾽ ὡσπερεὶ κεφάλαιον ἐνταῦθα ἐπλήρωσε τὴν δοκοῦσαν ἀντίθεσιν. ὃ δ᾽ ὡσπερεὶ κεφάλαιον τῶν χρόνων—πράξεις ἐπεσφραγίσατο τοῦτό ἐστι δηλονότι.

177,20 Διονυσίου γὰρ τοῦ Σικελίας μὲν τυράννου Διονύσιος, ὁ Διονυσίου τοῦ τυράννου υἱός, μετὰ τὴν τοῦ πατρὸς τελευτὴν συνθήκας ἐποιήσατο πρὸς τὸν Περσῶν βασιλέα, ἵνα τῷ μὲν φαινομένῳ Λακεδαιμονίοις βοηθῶν ἔλθῃ κατ᾽ Ἀθηναίων, τῇ δὲ ἀληθείᾳ πορθήσας τὴν Ἑλλάδα πᾶσαν μετὰ Πέρσου μερίσειεν, ὡς Ἔφορος ἱστορεῖ. καὶ διὰ τοῦτο συναγαγὼν ἁπάσας μικροῦ τὰς ἐν Σικελίᾳ ναῦς ἐχώρει, θέλων συμμίξαι τῷ Λακεδαιμονίων ναυτικῷ, ἵνα ὁμοῦ γενόμενα τὰ ναυτικὰ ταῦτα καταγωνίσηται Ἀθηναίους μὴ δυνηθέντας ὑποστῆναι τοσαύτην παρασκευήν. Ἀθηναῖοι δὲ, πρὶν Διονύσιον καὶ Λακεδαιμονίους συμμίξαι ἀλλήλοις, πέμψαντες στρατηγὸν, ὄνομα ... μετὰ πλείστων νεῶν πρὸς τὰς Διονυσίου τριήρεις, καὶ ἕτερον, ὄνομα ... πρὸς Λακεδαιμονίους, εἶχον μὲν πᾶν τὸ Διονυσίου ναυτικὸν, κατεπολέμησαν δὲ Λακεδαιμονίους ἐπὶ Λευκάδι. λέγει τοῦ δευτέρου· οὗτος γὰρ ἦλθε, βουλόμενος μὲν τῷ σχήματι Λακεδαιμονίοις βοηθῆσαι κατὰ Ἀθηναίων, τῇ δὲ ἀληθείᾳ βουλόμενος τὴν Ἑλλάδα μετὰ

Πέρσου μερίσασθαι ἐκείνου δηλώσαντος αὐτῷ, ὡς Ἔφορος ἱστορεῖ. Διονυσίου γὰρ τοῦ δευτέρου.

178,1 πολλῶν δὲ καὶ τῶν ἐν Ἰταλίᾳ πόλεων ἐπάρχοντος καλῶς ἡ ἐπὶ πρόθεσις· πρὸς γὰρ τὸ ἄρχειν τῆς Σικελίας καὶ ἄλλων πόλεων ἦρχε.

178,2 τοὺς προσοίκους τοῖς Ἕλλησι βαρβάρους ἔοικε τοὺς Σικελοὺς λέγειν· οὗτοι γὰρ, ὥς φησι Θουκυδίδης ἐν τῷ ϛ', ἴδια γὰρ μέρη ᾤκουν τῆς Σικελίας χωρὶς τῶν Ἑλλήνων. λέγει δὲ καὶ Καρχηδονίους. ἐκαλοῦντο δὲ οἱ μὲν βάρβαροι τῆς Σικελίας Σικελοὶ, οἱ δὲ Ἕλληνες Σικελιῶται, ὥς φησι καὶ Θουκυδίδης, πολλάκις αὐτοὺς ὀνομάζων. τινὲς δὲ τοὺς Κελτοὺς λέγειν· οὗτοι γὰρ πρόσοικοι τῇ Σικελίᾳ.

178,3 τεθεραπευκότος ἐκ πολλοῦ πρεσβείαις καὶ δώροις. τὸν Περσῶν βασιλέα καλοῦντος εἰς συμμαχίαν.

178,4 ζέοντος ἀκμάζοντος. ἔσχον ἐπέσχον. κατέσχον, ἐκώλυσαν. τὴν πεῖραν τὴν μηχανὴν καὶ τὸ τέχνασμα. Ἀθηναίων στρατηγοὶ δύο Χαβρίας καὶ Ἰφικράτης. ὁ μὲν ἢ Χαβρίας, ἤτοι Τιμόθεος.

178,5 ὁ δὲ καταναυμαχήσας Λακεδαιμονίους ἐπὶ Λευκάδι καταναυμαχηθέντων γὰρ ἐκεῖσε τῶν Λακεδαιμονίων ὑπὸ Ἰφικράτους ἔδοξε τῇ εἰρήνῃ θῦσαι.

178,6 τὴν θάλατταν δι' αὐτοῦ ποιησάμενος ἤγουν περιποιησάμενος τοῖς Ἀθηναίοις. τὸ δι' αὐτοῦ ἢ ἀντὶ τοῦ δι' ἑαυτοῦ νόει ἢ διὰ τοῦ καταναυμαχῆσαι Λακεδαιμονίους θαλασσοκράτορας αὖθις Ἀθηναίους εἰργάσατο. μόνη γὰρ πόλεων οὐ τύραννον ἐπηγάγετο διὰ τοῦ εἰπεῖν οὐ τύραννον ἐπηγάγετο σκώπτει Λακεδαιμονίους, ὡς ἐπαγαγόντας τὸν Σικελίας τύραννον, Διονύσιον, ὡς ἔφημεν, κατὰ Ἀθηναίων. τοῦτο εἶπεν, ὡς τῶν Λακεδαιμονίων διὰ τοῦτο ἐπαγομένων Διονύσιον.

178,8 ἅπασι τοῖς παραπίπτουσι.

178,9 τῇ πόλει πολεμοῦντες διεγένοντο ἅτε κεφάλαιον οὖσῃ παντὸς τοῦ Ἑλληνικοῦ. καὶ Φίλιππος τοὺς μὲν ὑπερεῖδε ἐντεῦθεν ἐπὶ τὰ Φιλιππικὰ μεταβαίνει· ταῦτα γάρ ἐστι τοῖς χρόνοις ἐφεξῆς. μεταβαίνει ἐπὶ τὰ Φιλιππικά. ἀκολουθεῖ γὰρ ταῦτα τοῖς χρόνοις. Φίλιππος τοὺς μὲν

ὑπερεῖδε τῶν ἄλλων Ἑλλήνων λαμβάνει τὸν μὲν καὶ ἐπὶ ἄλλων, τὸν δὲ καὶ πρὸς Λακεδαιμονίους μᾶλλον· τότε γὰρ ὡς ἀσθενῶν κατεφρόνει τῶν Λακεδαιμονίων Φίλιππος. ὡς οὐδενὸς ἀξίους.

178,10 τοὺς δ' ἐλπίσι καὶ δωρεαῖς αὐτῷ συμπράττειν ἔπεισε Θετταλοὺς, Φωκέας, Θηβαίους καὶ ἄλλους.

178,11 πρὸς δὲ τὴν πόλιν πολεμῶν ἐξ ἀρχῆς διετέλεσεν ᾔδει γὰρ οὐκ ἐλπίδων καὶ κερδῶν ἡττωμένην. ὥσπερ ὅρον τινὰ ἀναγκαῖον ἐκπληρῶν διὰ τοῦ εἰπεῖν ὥσπερ ὅρον τινὰ ἀναγκαῖον δείκνυσιν ὅτι δεῖ τὸν ζητοῦντα τὴν Ἑλλάδα δουλώσασθαι Ἀθηναίοις πολεμεῖν, κρείττοσιν οὖσιν ἁπάντων Ἑλλήνων. ὥσπερ ὅρον τινὰ ἀντὶ τοῦ ὥσπερ κανόνα τινὰ, ὅστις λέγει τὸν ζητοῦντα δουλώσασθαι τὴν Ἑλλάδα Ἀθηναίοις πολεμεῖν.

178,12 τοὺς μὲν Ἑλλήνων. ἐξῃρεῖτο τοῦ κινδύνου. τοῖς δ' ἐν πατρίδος μοίρᾳ κατέστη τοῖς Χαλκιδεῦσι, καὶ τοῖς ἄλλοις, καὶ μετὰ Χερώνειαν Εὐβοέων τισίν. ὅσοι τῆς ἑαυτῶν ἐξέπεσον ὑπὸ Φιλίππου· Χαλκιδεῖς λέγει, καί τινες Εὐβοέων μετὰ Χερώνης.

178,13 μόνη δὲ τὸ σύμβολον τῆς Ἑλλάδος διετήρησε ἦγουν τὴν ἐλευθερίαν· ἴδιον γὰρ αὕτη Ἑλλήνων. οἷον τὸ πρόσρημα τὸ Ἑλληνικὸν, τὸ καλεῖσθαι Ἕλληνας· ἢ τὴν ἐλευθερίαν, ἐπειδὴ φαίνονται Ἕλληνες ὑπὲρ αὐτῆς καὶ μάλιστα πρὸς πάντας ἀγωνισάμενοι. διετήρησε ἐφ' ἑαυτῆς, καὶ ἐπὶ τῶν ἄλλων, ὅσον τὸ καθ' αὑτήν.

178,14 συνεσκίασε τὰς κατεχούσας τότε συμφορὰς εἰκότως εἶπε τὸ συνεσκίασε· τὰ γὰρ δυστυχήματα τῶν ὑπὸ Φιλίππου καταπολεμηθέντων οὐκ εἴασε λαμπρὰ φανῆναι, διὰ τὸ δέχεσθαι αὐτοὺς καὶ διαναπαύειν. ἐπεὶ δ' ἔκλιναν τὰ πράγματα ἀντὶ τοῦ ἔπεσον· ὡς ἐπὶ τείχους δὲ εἶπε. τεῖχος ἦν τῶν Ἑλλήνων τῶν Ἀθηναίων ἡ πόλις. οὐκ εἶπε δὲ ἀπέκλινεν ἡ τύχη πρὸς Φίλιππον, ἀλλὰ τὰ πράγματα ἔκλιναν, ἵνα ὑψώσῃ τὸν Φίλιππον. ἦγουν μετὰ Φιλίππου γέγονεν ἡ τύχη, Ἀθηναίους ἀφεῖσα. οὐδὲν ἦν ἐμποδὼν Φιλίππῳ πρὸς τὸ τὴν Ἑλλάδα καταστρέψασθαι.

178,15 ἐδείχθη σαφῶς ὅτι καὶ αἱ νῖκαι τῆς πόλεως τῶν Ἑλλήνων εἰσὶ νῖκαι διὰ ταύτης γὰρ ἐσώζοντο.

178,16 τὰ τῆς πόλεως ἐναντιώματα τῶν Ἑλλήνων ἁπάντων ἐστὶν ἧς γὰρ εὐτυχούσης ἐσώζοντο, ταύτης δυστυχησάσης συναπέλαυσαν καὶ οὗτοι τοῦ δυστυχεῖν. οὐ γὰρ πρότερον—ἀπέστησαν οἱ Ἕλληνες. οὐ γὰρ πρότερον τῆς ἡγεμονίας ἀπέστησαν Φιλίππῳ, πρὶν ἡ πόλις τὴν εἰρήνην παρεδέξατο καταπολεμήσαντος Ἀθηναίους ἐν Χερωνείᾳ Φιλίππου, πρέσβεις παρ᾽ αὐτοῦ Ἀθήναζε ἦλθον περὶ εἰρήνης· ᾤετο γὰρ τότε ἀναγκασθήσεσθαι Ἀθηναίους, καὶ δέξασθαι τὴν εἰρήνην, εἰ καὶ μὴ πρόσθεν. ὅθεν ἡ πόλις ἐδέξατο, καὶ τὸν υἱὸν αὐτοῦ, Ἀλέξανδρον, εἰς πολίτας ἀνέγραψεν. ὁ δὲ Φίλιππος εἰς Πελοπόννησον ἐξώρμησε, καὶ καταπραξάμενος τὰ ἐν Πελοποννήσῳ ἐκεῖσε ὑπὸ τῶν Ἑλλήνων ἡγεμὼν ᾑρέθη, καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. μετὰ γὰρ τὰ ἐν Χερωνείᾳ τὴν εἰρήνην Ἀθηναῖοι παρεδέξαντο, ὅτε καὶ τὸν Φιλίππου υἱὸν Ἀλέξανδρον πολίτην παρεδέξαντο. ὁ δὲ Φίλιππος εἰς Πελοπόννησον ἐξώρμησε καὶ καταπραξάμενος τὰ ἐν Πελοποννήσῳ ἐκεῖ ἐπ᾽ αὐτῶν τῶν Ἑλλήνων ἡγεμὼν ᾑρέθη, καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν.

178,18 ἀτόπους παραδόξους. τὸν καιρὸν τῆς πανηγύρεως.

178,19 τέτταρας, ὡς διελέσθαι γένει, πολέμους ἡ πόλις πεποίηται εἰκότως εἶπε τὸ ὡς διελέσθαι γένει, ὅτι ἕκαστος τῶν τεσσάρων πολέμων ἔχει ἐν αὑτῷ πολλούς· καὶ γὰρ τὸ γένος πολλὰ εἴδη ἐν ἑαυτῷ ἔχει.

178,20 γένει πολέμους ἀντὶ τοῦ γενικούς· λέγει δὲ οὐχ ἁπλῶς γενικοὺς, ἀλλ᾽ ὅτι ἕκαστος ἔχει ἐν ἑαυτῷ πολλοὺς ἰδίους.

179,1 κἀν τούτοις αὐτοῖς τοῖς δεηθεῖσιν ἔνεισιν ὑφ᾽ ὧν ἠδίκητο Θηβαίων, Λακεδαιμονίων, Κορινθίων, καὶ τῶν ἄλλων, ὡς καὶ πρόσθεν εἶπεν. οὗτοι γὰρ πρόσθεν κακῶς ἐπὶ τὴν πόλιν διατεθέντες ὕστερον ἀτυχήσαντες ἔτυχον τῆς πόλεως φιλανθρώπου.

179,3 ὑστέρας ἐλάττονας.

179,4 εὖ ποιήσασιν αὐτήν.

179,5 Θηβαίους ἀπὸ Λακεδαιμονίων ἀπὸ κοινοῦ ἔσωσεν· ὅτε κατέλαβον τὴν Καδμείαν.

179,6 Εὐβοέας ἀπὸ Θηβαίων καὶ Δημοσθένης ἐν Φιλιππικοῖς «Ὅτε ἥκομεν Εὐβοεῦσι βεβοηθηκότες, ὅτε Θηβαῖοι ἐζήτουν αὐτοὺς χειρώσασθαι, καὶ ἄρξαι τῆς ὅλης Ἑλλάδος.» ὅτε διέβησαν εὐφρόνως Θηβαῖοι ταῖς Τισιφρόνου ναυσὶ χρησάμενοι.

179,7 τὴν χώραν, ὑφ᾽ ὧν ἀπεστέρητο τὴν αὑτῆς τὴν Ὠρωπὸν σημαίνει· ὡς καὶ Δημοσθένης φησὶν ὅτι Θεόδωρος καὶ Θεμισὼν, τύραννοι ὄντες, ἤτοι στρατηγοὶ τῶν Εὐβοέων ἀφείλοντο χωρίον τῶν Ἀθηναίων.

179,8 αὖθις Εὐβοέας ἀπὸ Φιλίππου πάντες οὗτοι ὑπὸ Φιλίππου βιαζόμενοι καὶ κινδυνεύοντες ἐσώθησαν ὑπὸ τῆς πόλεως· Χαλκιδέας δὲ λέγει τοὺς Ὀλυνθίους. ἡ γὰρ Ὄλυνθος μέρος τῶν Χαλκιδέων. εἶπε δὲ τὸ καθ᾽ αὑτὴν, ἐπειδήπερ ἔπεμψαν αὐτοῖς Χάρητα, τὸν στρατηγὸν, εἰς βοήθειαν. τοῦ δὲ ὑστερήσαντος, ἐπόρθησε Φίλιππος Ὄλυνθον, ὑπὲρ ἧς Δημοσθένης, ὅπως σωθείη, τοὺς πολλοὺς καὶ καλοὺς ἀνάλωσε λόγους. Εὐβοέας ἀπὸ Φιλίππου ὅτε Φίλιππος ἐζήτησε λαβεῖν τὴν Εὔβοιαν, ὡς λέγει Δημοσθένης.

179,9 Χαλκιδέας τὸ καθ᾽ ἑαυτὴν λέγει τοὺς Ὀλυνθίους. εἶπε δὲ τὸ κατ᾽ αὐτὴν, ἐπειδήπερ ἔπεμψαν Χάρητα τὸν στρατηγὸν αὐτοῖς πρὸς βοήθειαν. ὁ δὲ ὑστερήσας ἀπώλεσε τὴν Ὄλυνθον. ὥσπερ ἰδιώτου ἀνδρός.

179,10 τιμᾶν ὥσπερ ἄγαλμα κοινὸν τῆς Ἑλλάδος τὸ ἄγαλμα μεῖζον τῆς εἰκόνος· οὕτως οὖν, φησὶν, ἔδει τιμᾶσθαι τὴν πόλιν.

179,11 ὅπερ γὰρ τῇ πόλει τὸ πρυτανεῖον, τοῦτο ἡ πόλις κοινῇ πᾶσι γέγονε τοῖς Ἕλλησιν ἐν ταῖς χρείαις τὸ πρυτανεῖον τόπος σιτήσεως καὶ εὐεργεσίας. ὅπερ οὖν, φησὶ, τὸ πρυτανεῖον τῇ πόλει, τοῦτο ἡ πόλις τοῖς Ἕλλησι. τὸ ἐν τῇ πόλει κοινὸν ταμιεῖον σίτου καὶ τῶν ἄλλων ἀναλωμάτων πρυτανεῖον ἐλέγετο, ἔνθα πρέσβεις καὶ ξένους καὶ τῶν ἐν πολέμῳ τετελευτηκότων τοὺς υἱεῖς νενόμιστο τρέφειν.

179,12 τῶν τροπαίων καὶ τῶν ἐπιγραμμάτων καλλίους ἀεὶ παρασχομένη τὰς ὑποθέσεις ὑποθέσεις λέγει τὰς ἀρχὰς καὶ τὰς αἰτίας. λέγει δὲ ὅτι, εἰ καὶ τὰ τρόπαια τῆς πόλεως καὶ τὰ ἐπὶ τῶν ἔργων αὐτῆς ἐπιγράμματα θαυμαστά ἐστι καὶ πολλοῦ τινὸς ἄξια, ἀλλ᾽ αἱ ἀρχαὶ αὐτῶν καὶ αἱ αἰτίαι

θαυμαστότεραί εἰσι· καὶ γὰρ φιλανθρωπίαν ἢ μεγαλοψυχίαν ἐμφαίνουσιν· ὥσπερ ὅτι ὑπὲρ τῶν αὐτὴν ἀδικησάντων ἐμάχετο. ἐπειδὴ πολλάκις ὁρῶμεν καὶ τρόπαια καὶ ἐπιγράμματα ἀδίκως γενόμενα. τρόπαιον μὲν καὶ ἐπίγραμμα τὴν νίκην μόνον σημαίνει, ἡ δὲ ὑπόθεσις καὶ αἰτία τοῦ πολέμου τὴν γνώμην δηλοῖ μεθ᾽ ἧς τις χωρεῖ, εἴτε δικαία, ἢ ἄδικος, ἢ καλὴ, ἢ αἰσχρά. ἀντὶ τοῦ καλλίους τῶν τροπαίων τὰς αἰτίας τῆς μάχης παρέχουσα· οἷον τὸ ὑπὲρ ἐχθρῶν ἀγωνίζεσθαι, ταῦτα δὲ πάντα τὴν φιλανθρωπίαν αὐτῶν δείκνυσιν.

179,13 ὃ τοίνυν ἔξω μὲν κινδύνων πέπρακται τῇ πόλει. τί ποτ᾽ ἦν τὸ τῶν Ἀθηναίων πρᾶγμα ἦγουν αὐτὸ τὸ εἶναι Ἀθηναίους.

179,14 ἐν μὲν τοῖς ἄνω λόγοις ὅτε τὰ Περσικὰ διεξηρχόμεθα.

179,15 γενομένων γὰρ αὐτοῖς συνθηκῶν πρὸς Λακεδαιμονίους ἐπὶ τοῦ Μηδικοῦ πολέμου συνέθεντο Λακεδαιμόνιοι καὶ Ἀθηναῖοι, ἐὰν νικήσωσι τὸν πόλεμον, δεκατεύειν τοὺς μηδίσαντας, ὅ ἐστι τὸ δέκατον μέρος ἀνελεῖν. ἐβούλοντο οὖν μετὰ τὴν νίκην οἱ Λακεδαιμόνιοι πληρῶσαι τὰ δόξαντα, καὶ Ἀθηναῖοι διεκώλυον. τινὲς δὲ λέγουσιν ὡς μόνος ὁ Θεμιστοκλῆς.

180,1 καὶ περὶ μὲν τούτων ἱκανὰ τὰ εἰρημένα. ὧν δ᾽ οὐδεὶς τὸ μέχρι τοῦδε, ὅσα γ᾽ ἡμεῖς ἐνταῦθα παραδόξως βούλεται καὶ αὐτῶν τῶν λόγων εὑρετὰς αὐτοὺς ἀποδεῖξαι, καὶ εἰς τὸ τῶν λόγων ἐγκώμιον ἐλθεῖν. ἐν ταῖς κοιναῖς εὐφημίαις τοῖς ἐγκωμίοις τῆς πόλεως.

180,2 καὶ γὰρ ὥσπερ οὐ θεμιτόν μοι—παρελθεῖν τὴν μνείαν καὶ γὰρ ὥσπερ θεμιτόν μοι φαίνεται λόγοις ταῖς πράξεσι κοσμῆσαι, οὕτω τὸ καὶ αὐτοὺς τοὺς λόγους ἐν μέρει μὴ παρελθεῖν τῇ μνήμῃ.

180,4 τὸ λεγόμενον δὴ τοῦτο παροιμία γάρ ἐστι. ἀναίμακτον τρόπαιον ἐστήσατε κυρίως εἶπε τοῦτο τὸ τρόπαιον ἀναίμακτον, τὸ ἄνευ αἵματος καὶ σφαγῆς. λέγει δὲ τὸ πάντας νικῆσαι καὶ ὑπερβαλέσθαι τοῖς λόγοις τοὺς τῶν ἄλλων λόγους.

180,5 ἀπὸ τῶν ὁμοφύλων ἁπάντων ὁμόφυλον ἐνταῦθα καλεῖ πᾶν τὸ ἀνθρώπινον γένος, καὶ Ἑλλήνων καὶ βαρβάρων.

180,6 λέγω δὲ τοῦτο τὸ ὁμοφύλους. λέγω δὲ οὐχ ὡς ἄν τις Ἕλληνας—γένους τῶν ἀνθρώπων ἐπειδήπερ ὁμοφύλους εἰπὼν δόξαν παρεῖχεν ὅτι τοὺς Ἕλληνας λέγει, λύων τοῦτο φησὶν ὅτι οὐχ Ἕλληνας λέγω, ἀλλὰ πάντας, ὡς εἰπεῖν, ἀνθρώπους. τὸ δὲ κατὰ παντὸς χρόνου λέγει, ἐπειδὴ τὰς μὲν ἄλλας νίκας ὁ πολὺς χρόνος εἰς λήθην ἄγει, αὕτη δὲ ἡ νίκη καὶ μεῖζον ἅπαντος ἰσχύσει τοῦ χρόνου. οὐ κατὰ τὴν ἐν Τανάγρᾳ μάχην τὴν ἀμφισβητήσιμον ἱστορία προερρέθη εἰς τὸ «Τέλος δὲ συμβάλλουσιν ἐν Τανάγρᾳ τῆς Βοιωτίας» ἀντὶ τοῦ ἀμφίβολον. προσεῖπε δὲ τοῦτο ἤδη, ὅπου Λακεδαιμόνιοι καὶ Ἀθηναῖοι ἐπολέμησαν, καὶ ἐνίκησαν μὲν τῇ ἀληθείᾳ Λακεδαιμόνιοι, ἐβιάσατο δὲ ὁ Ἀριστείδης τοῦτο τὸ τρόπαιον δεῖξαι φυγῇ τῶν Λακεδαιμονίων. οὐδὲ μὰ Δία κατὰ τὴν ἐν Μαραθῶνι τὴν ἐν Μαραθῶνι εἶπε, καὶ οὐ τὴν ἐν Σαλαμῖνι, ἐπειδὴ ἐκεῖ μὲν κοινῇ νενικήκασιν, ἐνταῦθα δὲ μόνοι.

180,9 τὴν τοσοῦτον νικῶσαν ὅσον δέδεικται. ὡς ἀληθῶς τὴν πρέπουσαν ἀνθρώπῳ, καὶ διηνεκῆ, καὶ ἣν Διὸς παῖδα προσειπεῖν εὐσεβὲς τὸ διηνεκῆ λέγει, ἐπειδὴ οὐχ ἅπαξ γέγονεν, ὥσπερ αἱ ἄλλαι νῖκαι, ἀλλ᾽ ἀεὶ γίνεται, καὶ οὐδέποτε παύσεται, ἔστ᾽ ἂν ὦσιν ἄνθρωποι. εἰκότως δὲ εἶπε τὸ πρέπουσαν ἀνθρώπῳ· εἰ γὰρ ὁ ἄνθρωπος λογικὸς, πῶς οὐκ ἀναγκαίως καὶ κατὰ φύσιν ἡ ἐκ λόγων νίκη ἁρμόζει αὐτῷ; σκόπει δὲ πῶς ταύτην σεμνύνει καὶ θείαν φησὶ, Διὸς παῖδα καλῶν. ἣν Διὸς παῖδα προσειπεῖν εὐσεβὲς παρὰ τὸ κωμικόν· ἡ δὲ εὐπάτορα φιλόγελώς τε παρθενικὰ μεθ᾽ ἡμῶν εὐμενὴς εὖ ποτ᾽ ἀεί. λέγει δὲ τὴν Ἀθηνᾶν.

180,10 ἅπασαι γὰρ αἱ πόλεις καὶ πάντα—καὶ φωνὴν ἀπέκλινε φωνὴν λέγει τὴν Ἀττικήν. ἀπέκλινε δὲ, ἀντὶ τοῦ ἔρρεψεν. οἱονεὶ πᾶσαι αἱ πόλεις καὶ τὰ τῶν ἀνθρώπων γένη τῆς Ἀττικῆς ἠράσθη φωνῆς.

180,11 οὐ φρουραῖς ἐγκαθεστηκυίαις ἡ δύναμις τῆς πόλεως συνέχεται δύναμιν λέγει τῆς πόλεως τὴν ἀρχήν. τοῦτο δὲ εἶπεν, ἐπειδὴ ἔθος εἶχον οἱ ἄρχοντες, φοβούμενοι περὶ ἀποστάσεως τινὸς πόλεως, δύναμιν ἐγκαθιστάναι, ὅπως μὴ ἀποστῇ, ἀλλὰ πρὸς ἀνάγκην ὑπακούσῃ. τὸ φρουραῖς εἶπεν, ἐπειδὴ ἔθος εἶχον Ἀθηναῖοι φοβούμενοι περὶ ἀποστάσεως τῶν ὑφ᾽ αὑτῆς πόλεως φρουρὰς ἐν αὐταῖς ἐγκαθιστάναι,

ὅπως, εἰ καὶ βουληθεῖεν νεωτερίζειν, μὴ δύναιντο, ἀλλὰ πρὸς ἀνάγκῃ ὑπακούοιεν.

180,12 ἡ δύναμις τῆς πόλεως ἡ περὶ λόγους. ἡ ἐν τοῖς λόγοις.

180,13 εἰσποιούντων ἑαυτοὺς οἰκειούντων διὰ τὸν λόγον.

180,14 οὔτε Ἡρακλέους στῆλαι κωλύουσιν δείκνυσι τὸν Ἀττικὸν ἔρωτα τῶν λόγων καὶ ὑπὲρ τὴν οἰκουμένην τυγχάνοντα, μᾶλλον δὲ οὐ τὰ πέρατα τῆς οἰκουμένης σημᾶναι βούλεται, ἀλλὰ τοὺς δυσχερεῖς τόπους. τὸ Ἡρακλέους στῆλαι κωλύουσι λέγει, ἐπειδὴ οὐ μέχρι τούτων χωρεῖ τὸ τῶν λόγων κλέος, ἀλλὰ καὶ ἐπέκεινα διαβαίνει, καὶ οἱ πρόσοικοι τοῦ ὠκεανοῦ λόγων ἐρῶσιν. οὔτε Λιβύης κολωνοῖς ταῦτα ὁρίζεται Λιβύης κολωνοῖς εἶπεν, ἀντὶ τοῦ τὴν Λιβύην. ἔστι δὲ περιφραστικόν. τὸ δὲ ὁρίζεται ἀντὶ τοῦ περατοῦται καὶ τέλος ἔχει· τουτέστιν οὐδὲ μέχρι Λιβύης πέρας ἔχει.

180,15 οὐδ᾽ αὖ Βοσπόρῳ ὁποτέρῳ βούλει δύο γάρ εἰσι Βόσποροι, Κιμμέριος καὶ Σκυθικὸς, δι᾽ οὗ μίγνυται ἡ Μαιῶτις λίμνη τῷ Πόντῳ, καὶ Θρᾴκιος ὁ ἐν Ἑλλησπόντῳ, ἔνθα ὁ Λεύκων. εἴτε τῷ Σκυθικῷ, εἴτε τῷ Κιμμερίῳ. οὐδὲ στενοῖς Συρίας καὶ Κιλικίας ἐν Συρίᾳ καὶ Κιλικίᾳ τόποι εἰσὶ στενοεπιμήκεις.

180,16 ζῆλος ἤγουν ὁ ἔρως. ἔρως καὶ μίμησις.

180,18 ἴδοις δ᾽ ἂν καὶ τοὺς ἡνιόχους καὶ τοὺς νομέας τὸ ἐπιχείρημα ἀπὸ τοῦ ἐλάττονος.

180,20 τῆς γῆς τῆς ὑμετέρας. καθάπερ τοὺς νεῖν ἀδυνάτους οὗτοι γὰρ διὰ τὸ μὴ ἐπίστασθαι πλεῖν, φόβῳ τοῦ μὴ πεπνῖχθαι, ἀπέχονται μὲν τοῦ βάθους, ἐν δὲ τοῖς αἰγιαλοῖς πλέουσι, πλησίον τῆς γῆς. νεῖν πλέειν.

180,21 ταύτην ἐγώ φημι τὴν μαρτυρίαν σύναπτε τὸ μαρτυρίαν πρὸς τὸ νίκης.

181,1 τῶν παρ᾽ ὑμῖν πρώτων διαφερόντως τοῦτο εἶπεν, ἐπειδὴ οἱ πρωτεύοντες ἐν ταῖς ἄλλαις πόλεσι τῆς Ἑλλάδος εἰς Ἀθήνας παραγίγνονται λόγων ἕνεκα. νόει τὸ παρ᾽ ὑμῶν πρώτων, ἀντὶ τοῦ τῶν μεθ᾽ ὑμᾶς πρωτευόντων

ἐν Ἕλλησι. λέγει δὲ ὅτι καὶ Λακεδαιμόνιοι καὶ πάντες Ἕλληνες τῆς τῶν Ἀθηναίων διαλέκτου καθ᾽ ἑκάστην ἡμέραν ἡττῶνται.

181,2 οἳ τὰς μὲν πατρίους φωνὰς ἐκλελοίπασι ἐπειδήπερ αὐτοπροσώπως πρὸς τοὺς Λακεδαιμονίους καὶ τοὺς ἄλλους Ἕλληνας ἐποιεῖτο τὸν λόγον, ἔδει εἰπεῖν ἐκλελοίπατε· ὁ δὲ ἄλλως τὸν λόγον ἔτρεψε. δείκνυσι δὲ ὅτι πάντα τὰ τῶν Ἑλλήνων γένη, Δωριεῖς, Αἰολεῖς, καὶ οἱ ἄλλοι, πρὸς τὴν τῶν Ἀθηναίων διάλεκτον τὴν σφῶν αὐτῶν μετερρύθμισαν, τοσοῦτον, ὡς μὴ μόνον Ἀθήναζε παραγενόμενοι Ἀττικιστῇ φθέγγεσθαι, ἀλλὰ καὶ κατὰ χώραν μένοντες αἰσχύνεσθαι, ἢν ἔμπροσθεν τινῶν ἄλλων τῇ οἰκείᾳ φωνῇ φθέγγωνται.

180,3 πάντες δὲ ἐπὶ τήνδε ἐληλύθασιν τὴν Ἀθηναίων διάλεκτον.

181,5 οὐδὲ τὰ ἐπὶ Θράκης, ἃ μυρίους μεταβέβληκεν ἄρχοντας τοῦτο εἶπεν, ἐπειδὴ πολλοὶ αὐτῶν ἦρξαν, ὥσπερ οἱ Λακεδαιμόνιοι καὶ Ἀθηναῖοι καὶ Φίλιππος. Λακεδαιμονίους, Ἀθηναίους, Φίλιππον, καί τινας ἄλλους.

181,6 πρὸς ἅπαντας τοὺς ἄλλους τοὺς Δωρικοὺς, Αἰολικοὺς καὶ Ἰωνικούς.

181,9 τῶν ψελλιζομένων παίδων τουτέστι τῶν ἀσαφῶς φθεγγομένων.

181,10 ὡς τῇ παρ᾽ ὑμῶν παραβάλλειν καλῶς τοῦτο. πρὸς Ἀθηναίους γὰρ παραβαλλόμενοι δοκοῦσιν ἀπαίδευτοι, πρὸς ἑτέρους δὲ οὔ.

181,11 κἂν ἀκούοι τις τῶν ἄλλων φωνῶν.

181,12 μόνη δὲ ἥδε πάσαις μὲν πανηγύρεσι, πᾶσι δὲ συλλόγοις καὶ βουλευτηρίοις σύμμετρος ἐπειδὴ τὸ σύμμετρον πανταχοῦ καλὸν, καὶ οὐδέποτε δυσχερὲς, διὰ τοῦτο καὶ ἡ τῶν Ἀθηναίων φωνὴ, ὡς οὐδέποτε κόρον ἐμποιοῦσα, κἂν πολλάκις λέγηται, ἀλλὰ φέρουσα τέρψιν ἀεὶ, σύμμετρός ἐστιν.

181,13 ἅπασι καιροῖς πολέμου καὶ εἰρήνης· τοῦτο γάρ ἐστι τὸ ἅπασι καιροῖς. τόποις δὲ, δικαστηρίοις, ἐκκλησίαις, θαλάμοις, τάφοις· τὸ δὲ δι᾽ ἴσου πρέπει διὰ τοῦτο εἶπεν, ἐπειδὴ οὐ δυνάμεθα λέγειν, ἐν τῷδε πρωτεύει καὶ ἐν τῷδε ἡττᾶται. ἅπασι καιροῖς καὶ τόποις δικαστηρίοις, καὶ ἐκκλησίαις, καὶ θαλάμοις, καὶ τάφοις. ἀρκεῖ πρὸς πόλεμον, πρὸς εἰρήνην ἱκανή ἐστι.

τὸ δὲ δι᾽ ἴσου πρέπει, ἀντὶ τοῦ ὁμοίως ἁρμόζει, ἐπειδὴ οὐ δυνάμεθα λέγειν ὅτι ἐν τῷδε μὲν πρωτεύει, ἐν ἄλλῳ δὲ ἡττᾶται.

181,14 σεμνότητα μέγεθος καὶ ἐνθουσιασμόν. χάριν ἡδονήν.

181,15 τοῦ γε διὰ πάντων ἀγῶνος, καὶ τόνου, καὶ δρόμου, καὶ κράτους τουτέστι τοῦ δικανικοῦ λόγου, ὡς πέφυκε δι᾽ ὅλου τὸν ἀγωνιστικῶς ἔχοντα τὰ ὑποκείμενα σχήματα, τουτέστι τὸν τόνον, καὶ δρόμον, καὶ τὸ κράτος. ταῦτα γὰρ σχήματά ἐστι τοῦ λόγου τοῦ ἀγωνιστικοῦ, καὶ ὁ τόνος καὶ ὁ δρόμος. τόνον δὲ λέγει τὴν σφοδρότητα, παρὸ καὶ σύντονος, δρόμον δὲ τὸ εὔτροχον καὶ στρογγύλον τοῦ λόγου. διὰ πάντων τῶν ἀγωνιστικῶν ἔφη, τουτέστι διόλου· τὸ δικανικὸν πρὸς ἀντιδιαστολὴν τοῦ συμβουλευτικοῦ καὶ πανηγυρικοῦ. καὶ γὰρ ἐν τούτῳ, εἰ καὶ μὴ δι᾽ ὅλου, ἀλλ᾽ ὅμως ἀγῶνές εἰσι. διὰ πάντων εἶπεν, ἤτοι διὰ τῶν τριῶν εἰδῶν τῆς ῥητορικῆς, δικανικοῦ, συμβουλευτικοῦ, πανηγυρικοῦ. μᾶλλον γὰρ τῶν ἐν ἄλλοις οἱ τοιοῦτοι τῶν Ἀθηναίων λόγοι ἔχουσι τὰ ὑποκείμενα σχήματα, ἀγῶνα, τόνον, δρόμον, κράτος· καὶ τόνος μέν ἐστι τὸ σύντονον καὶ σφοδρὸν τοῦ λόγου, ὅπερ ἁρμόττει δικανικῷ καὶ συμβουλευτικῷ λόγῳ· δρόμος δὲ τὸ εὔτροχον καὶ στρογγύλον, ὅπερ ἐστὶν ἴδιον πανηγυρικοῦ· ὁ δὲ ἀγὼν καὶ τὸ κράτος ἐν τοῖς τρισὶν εἴδεσιν εἶναι ἁρμόττουσιν, ἵνα δι᾽ ὅλου ἀγωνιστικὰ ᾖ καὶ κράτος ἔχῃ, ἤγουν πείθῃ τοὺς ἀκροατὰς καὶ εἰς συγκατάθεσιν ἄγῃ· ἢ τὸ διὰ πάντων λέγει ἀντὶ τοῦ διὰ παντὸς λόγου, καὶ φιλοσόφου καὶ ῥητορικοῦ καὶ ποιητικοῦ. κράτους τουτέστι τῆς δυνάμεως· σημαίνει δὲ τῶν ἐπιχειρημάτων.

181,17 πᾶσα μὲν ποίησις τουτέστι πᾶς ἔμμετρος λόγος. ὅση σεμνότητος τοῦτο εἶπε διὰ τὴν τραγικὴν, χαρίτων δὲ διὰ τὴν κωμῳδίαν. τὸ σεμνότητος εἶπε διὰ τὴν τραγῳδίαν, χαρίτων δὲ διὰ τὴν κωμῳδίαν. ὅση σεμνότητος— προέστηκεν οἷα ἡ τραγικὴ καὶ ἡρωική.

181,18 ὅση χαρίτων προέστηκεν ἡ κωμικὴ καὶ σατυρική. εἰ δὲ δεῖ καὶ τῆς Ὁμήρου μνησθῆναι, μετέχει τοῦτο εἶπεν, ἐπειδὴ ἀντέπιπτεν αὐτῷ· ἀλλ᾽ οὐκ ἔχει τὴν Ὁμηρικὴν ποίησιν. ἀλλὰ καὶ αὐτὴ, φησὶν, Ἀττικὴ πάλιν τυγχάνει.

181,19 διὰ τῆς ἀποίκου πόλεως τῆς Χίου λέγει, ἢ Κολοφῶνος, ὅθεν ὁ Ὅμηρος εἶναι νομίζεται· ἄποικος δὲ αὕτη Ἀθηναίων. Σμυρναῖος ὁ Ὅμηρος· Σμύρνα δὲ Ἰωνικὴ πόλις. Ἴωνες δὲ Ἀθηναίων ἄποικοι· ἢ ὡς Ἀριστείδης ἐν τῇ Σμύρνης μονῳδίᾳ φησὶ, Θησεὺς οἰκιστὴς γέγονε ταύτης. ὅτι καὶ ἡ φωνὴ σαφῶς ἐνθένδε καὶ γὰρ καὶ ὁ ποιητὴς ἀττικίζει, εὐθὺς ἐν τῷ πρώτῳ στίχῳ λέγων Πηληιάδεω. Ἀττικὸν δέ ἐστιν, ὡς τὸ Μενέλεω. αὐτοῦ· ἐν τοῖς πλείστοις γὰρ ἀττικίζει.

181,20 οὓς οἱ παρ᾽ ὑμῶν ἐποίησαν καλῶς τοῦτο προσέθηκεν· ἐπειδὴ γὰρ οἶδεν ὅτι οὐ μόνον οἱ Ἀθηναῖοι ἔχουσι τοὺς λόγους, ἀλλὰ καὶ ἄλλοι. λέγει δὲ ὅτι παρὰ τῶν Ἀθηναίων πάντες ἐδέξαντο.

181,21 οἱ διὰ πάντων ἐν Ἕλλησι νικήσαντες σοφοί. ἅπαντες τῇ τῶν Ἀθηναίων δυνάμει νενικήκασιν ἐντεῦθεν γὰρ ἔσχον τοὺς λόγους.

182,1 εἰ δὲ δή τι καὶ τὸ καθ᾽ ἡμᾶς εἰς ἑαυτὸν τοῦτο Ἀριστείδης φησίν· ἐν Ἀθήναις γὰρ τὴν τῶν λόγων σπουδὴν ἐπεποίητο· διὸ καὶ εἰς Ἀθηναίους ἀναφέρει τὴν δύναμιν τῶν λόγων αὐτοῦ, καὶ τούτοις τὴν χάριν εἰδέναι ὁμολογεῖ. τὸ καθ᾽ ἡμᾶς ἤγουν ἐγώ. θεῶν ἵλεων ὄντων τῷ λόγῳ. τοῦτ᾽ εἰς ὑμᾶς ἀναφέρει ἀντὶ τοῦ ἀναφορὰν ἔχει.

182,2 οὔκουν ξενίαν γ᾽ ἔστι τῶν λόγων καταγνῶναι καλεῖται ξενία κυρίως ἡ φιλία. καλεῖται ξενία πάλιν ὄνομα δίκης, ὥσπερ λέγει Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους. νῦν οὖν ξενίαν λέγει οἰκείως. ξενία γάρ ἐστιν ὄνομα δίκης κατὰ τῶν ξένων τῶν ἐγγραφόντων ἑαυτοὺς εἰς πολιτείαν, ὡς ἔτυχε. φησὶ γοῦν οὕτως, οὐκ ἔστι καταγνῶναι τῶν ἐμῶν λόγων ξενίαν, τουτέστιν Ἀττικοὺς αὐτοὺς εὑρήσεις καὶ οὐ ξένους. ξενία ἐστὶν ὄνομα δίκης κατὰ τῶν ξένων τῶν ἐγγραφόντων ἑαυτοὺς εἰς πολίτας, ὡς ἔτυχεν. τῶν λόγων τῶν τῆς πόλεως, ἢ τῶν τοῦ Ἀριστείδου. τῶν ἐμῶν.

182,4 κἄν τισι τῶν ἄλλων δέῃ, καὶ τοῦτ᾽ ἔχοι μετὰ τῶν ἄλλων χαρίζεσθαι ἀντὶ τοῦ κἂν ἄλλος ἐπιθυμῇ λόγων ἔχειν, καὶ τούτους, ὥσπερ τὰ ἄλλα, χαρίζεται. τῶν ἄλλων τῶν παρ᾽ αὐτῆς.

182,6 ἀτεχνῶς ἀντὶ τοῦ πάνυ· ἐπιτατικὸν γάρ ἐστι τὸ ἀτεχνῶς.

182,7 ἀνέχεται τουτέστι σώζεται, βαστάζεται.

182,8 πάντας ἁπανταχοῦ καθαίροντες ὡς ἐπὶ μυστηρίων εἶπε. τῇ μὲν γὰρ τῶν Ἐλευσινίων τελετῇ παραβάλλει τοὺς λόγους ἐνταῦθα τῇ τελετῇ τῶν μυστηρίων. παραβάλλει τοὺς λόγους τοῖς μυστηρίοις, καὶ δείκνυσιν αὐτοὺς κρείττονας· ἐκεῖνα μὲν γὰρ ἐν τῷ κεκρυμμένῳ τελεῖται, οὗτοι δὲ εἰς τὸ μέσον κηρύττονται· κἀκεῖνα μὲν οἱ πολῖται μόνοι μυοῦνται, τοὺς λόγους δὲ καὶ πολῖται καὶ ξένοι μανθάνουσιν. τοῖς εἰσαφικνουμένοις πολίταις μόνοις. ἐξηγηταὶ ἦγουν διδάσκαλοι.

182,9 τῶν εἰς τὸ μέσον εἰσφορῶν ἱερῶν εἰσφορῶν λέγει τῶν φανερῶν, ὡς κατὰ σύγκρισιν τῶν Ἐλευσινίων· ἐκεῖνα γὰρ ἀπόρρητα ἦν καὶ κρυπτά. εἰς τὸ μέσον δὲ ἔκφορα καλεῖ τοὺς λόγους κατά τινας. ἤτοι τῶν λόγων.

182,10 ἀνθ' ὧν ἅπαντας ταῖς πρεπούσαις ἐπῳδαῖς ἐφέλκεσθε καλῶς ταῖς πρεπούσαις· εἰσὶ γὰρ γοητευτικαὶ ἐπῳδαί. ἐπειδὴ διὰ τῶν ἐπῳδῶν ἕλκονται ἄνθρωποι, τὸ δὲ τῆς ἐπῳδῆς ὄνομα διαβάλλεται, διὰ τοῦτο πρεπούσαις εἶπεν.

182,11 οὐκ ἴυγγι ὑποκινοῦντες ἴυγξ ἐστὶν ὀρνίθιον, ἀεὶ σεῖον τὴν οὐράν. λέγεται δὲ ἔχειν ἐπιτηδείως πρὸς τὰ
ἐρωτικὰ, καὶ εἶναι ἀγωγόν· καὶ Θεόκριτος «Ἴυγξ ἕλκε τὺ
τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.» τινὲς δὲ λέγουσι χορδήν
τινα κιθάρας πάνυ ἐμμελῆ. ἡ ἴυγξ τὸ ὄρνεον, ἡ καὶ λεγομένη σεισοπυγὶς, ἐπιτηδείως ἔχει πρὸς τὰ ἐρωτικά.

182,13 φαῖεν ἂν τιμῶν.

182,16 καὶ οὐδ' ἂν εἷς νεμεσήσῃ τοῖς οὕτως ἔχουσιν.

182,19 ἄξιον τοίνυν καὶ τὸ τῆς αἰδοῦς εἰπεῖν ἐντεῦθεν οἱ ἐπίλογοι. λέγει δὲ τὸ τῆς αἰδοῦς τὸ τιμῆς παρὰ πάντων τυγχάνειν.

182,21 κἀν ταῖς μεταβολαῖς τουτέστι καὶ ἐν ταῖς εὐτυχίαις καὶ ἐν ταῖς δυστυχίαις. τουτέστι καὶ ἐν ταῖς ἀτυχίαις. Φίλιππός τε γὰρ εὐτυχήσας τῇ περὶ Χαιρώνειαν μάχῃ ἀμφοτέρους γὰρ ὁμοῦ ἐν τῇ Χερωνείᾳ νενίκηκεν. ἔστι δὲ τόπος οὗτος τῆς Βοιωτίας, ἔνθα συνέβαλλεν.

182,22 τὴν μὲν Θηβαίων πόλιν εὐθὺς φρουρᾷ κατέλαβε φρουρὰν λέγει τὴν στρατιωτικὴν δύναμιν, ὥστε πρὸς ἀνάγκην δουλεύειν.

183,1 ἔστη κατὰ χώραν ἀντὶ τοῦ ἐφ᾽ ἡσυχίας· οὐκ εἶπε δὲ φόβῳ, ἀλλὰ αἰδοῖ. ἔστη κατὰ χώραν αἰδοῖ τοῦ κρείττονος τὸν φόβον ἐμφαίνει. φησὶ γὰρ ὅτι ἐζήτησε μετὰ τὴν νίκην καὶ εἰς Ἀθήνας εἰσελθεῖν, καὶ τὸ αὐτὸ ποιῆσαι. ἀλλὰ τὰ θαύματα αὐτὸν ἀπέστρεψεν ἀσύμβολον ὄντα· ὅθεν καὶ εἰρήνην συνθέμενος τοὺς αἰχμαλώτους ἀπέδωκε, καὶ ἦλθεν εἰς Πελοπόννησον. κατὰ χώραν, ἀντὶ τοῦ ἐφ᾽ ἡσυχίας· βουληθεὶς γὰρ καὶ εἰς Ἀθήνας εἰσιέναι, καὶ ἐμφρούρους καὶ αὐτὰς πεποιηκέναι, καθάπερ τὰς Θήβας, ἀπετράπη ὑπὸ τῶν θυμάτων οὐκ εὐσυμβόλων γενομένων, ἃ ἐπεποιήκει μαθεῖν ἐθέλων, εἰ καλῶς ἔσται τὸ πρᾶγμα· ὅθεν τοῦτο νομίσας οὐ κατὰ γνώμην εἶναι θεῶν, εἰρήνην συνθέμενος πρὸς τὴν πόλιν, τοὺς αἰχμαλώτους ἀπέδωκε, καὶ ἦλθεν εἰς Πελοπόννησον.

183,2 ὡς ἀεὶ πρὸς αὐτὴν ἔσχε θεραπευτικῶς σφόδρα γὰρ ἐτίμα τὴν Ἀθηναίων πόλιν, καὶ ἔπεμψεν ἀκροθίνια τῶν πολέμων αὐτῇ, καὶ συνανέγραφε τοῖς κατορθώμασιν, ὡς Ἀρριανὸς ἐν τῇ Ἀναβάσει φησίν. ἥ τε νῦν ἀρχὴ γῆς τε καὶ θαλάττης σημαίνει τὴν Ἀδριανοῦ τοῦ βασιλέως· τότε γὰρ ἐπὶ τοῦ Ἀριστείδου οὗτος ἦν βασιλεύς. ἢ Ἀντωνίνου· καὶ γὰρ ἐπὶ Ἀντωνίνου ἦν Ἀριστείδης, ὃς καὶ ἄλλα πολλὰ τοὺς Ἀθηναίους ἐτίμησε, καὶ τὸν ἐν Ἐλευσῖνι ναὸν πολυτελῶς κατεσκεύασε.

183,3 οὐκ ἀναίνεται ἀντὶ τοῦ οὐκ ἀπαρνεῖται, οὐκ ἐπαισχύνεται. οὐκ ἀναίνεται τὰς Ἀθήνας μὴ οὐκ ἐν διδασκάλων καὶ τροφέων μέρει κοσμεῖν ἢ ἐπειδὴ οὐδὲν κακὸν ἐποίησεν αὐτοῖς, ἢ ἐπειδὴ ἔγραψέ ποτε Ἀθηναίοις λέγων, θαρσεῖτε· ἂν γὰρ ἐγώ τι πάθω, ὑμεῖς ἄρξετε. ἀντὶ τοῦ ἐν διδασκάλων λέγει πεφιλοσοφηκέναι. Ἀντωνῖνος ὁ βασιλεὺς, ἐφ᾽ ᾧ Ἀριστείδης ἦν, πλεῖστα Ἀθήνησιν ἀνεγνωκὼς καὶ φιλοσοφήσας ἐν διδασκάλου μοίρᾳ τὴν πόλιν ἐτίμα, καὶ πολλὰς μὲν καὶ ἄλλας εὐεργεσίας αὐτῇ παρέσχε καὶ τὸν ἐν Ἐλευσῖνι νεὼν πολυτελῶς ἐπεσκεύασεν.

183,4 τῶν τιμῶν ἃς αὐτῇ, δίδωσι. ἑτέρως ἡ πόλις πράττει εὐφήμως.

183,5 ὅσον οὐ πραγματεύεται ἀντὶ τοῦ οὐκ ἔχει κινδύνους καὶ πολέμους, ἀλλ᾽ ἄνευ κινδύνων εὐτυχεῖ. ἤγουν οὐ πράγματα καὶ διοικήσεις ἔχει τῶν

Ἑλλήνων, ὡς πρόσθεν, ἀλλὰ μετὰ τῶν ἄλλων καὶ αὐτὴ τοῖς βασιλεῦσιν ὑπείκει.

183,6 προσόδων ἕνεκα ἐλέγετο γὰρ, φησὶν, Ἀδριανὸς οὐκ ἀπαιτεῖν φόρους αὐτῇ, ὥστε ἐκεῖθεν πρόσοδοι καὶ κέρδη συνέβαινον αὐτοῖς. προσόδων ἕνεκα πανηγύρεων.

183,7 τοῦ παρὰ πάντων συγκεχωρηκότος ἦγουν τῆς αἰδοῦς καὶ τιμῆς.

183,8 ὧν δὲ μόνων ἔδοξεν ἔλαττον ἔχειν ἐν τοῖς ὕστερον τοὺς Λακεδαιμονίους λέγει· οὗτοι γὰρ ὕστερον τὴν τῶν Ἑλλήνων ἀρχὴν ἔσχον, καὶ πλέον ἔδοξαν ἔχειν τῆς πόλεως.

183,9 ἀπήλλαξε ἀπηλλάγη τοῦ ἐλάττων εἶναι.

183,10 τῶν μὲν τῶν Μακεδόνων. τῶν Λακεδαιμονίων. τῆς ἀρχῆς τῆς παρούσης.

183,11_13 ἡ δ’ οὐ τοσοῦτον ἠλαττώθη— πρὸ τῶν ἄλλων τετίμηται οὐ τοσοῦτον, φησὶν, ἠτύχησεν, ὅσον ηὐτύχησε καὶ τετίμηται, ὡς εἶναι τὸν τῆς εὐτυχίας χρόνον πλείονα τοῦ τῆς ἀτυχίας. διὸ λέγει ἐξ ὅσου, τουτέστιν ἀφ’ ὅσου, καὶ ὅσῳ δὲ, ἀντὶ τοῦ ἐφ’ ὅσον, δηλῶν καὶ τὴν ἀρχὴν καὶ τὸ πλῆθος τοῦ χρόνου. εἰπὼν ὡς ἔλαττον ἔδοξεν ἡ πόλις ὕστερον ἔχειν τῶν Λακεδαιμονίων, νῦν λέγει ὅτι οὐ τοσαύτην ἐλάττωσιν ἔσχε τότε, ὅσης ἠξίωται παρὰ πάντων τιμῆς, οὐ μόνον πρὸ τῶν Λακεδαιμονίων, ἀλλὰ καὶ τῶν ἄλλων Ἑλλήνων, οὐδ’ εἰς τοσοῦτον χρόνον, ἐξ ὅσου μέχρι τοῦ παρόντος καιροῦ τετίμηται. ἔστι δὲ πρὸς μὲν τὸ οὐ τοσοῦτον ἠλαττώθη τὸ ὅσῳ, πρὸς δὲ τὸ οὐδ’ εἰς τοσοῦτον τοῦ χρόνου τὸ ἐξ ὅσου. λάμβανε δὲ τὸ τετίμηται καὶ πρὸς τὸ ἐξ ὅσου, καὶ πρὸς τὸ ὅσῳ, ὥσπερ καὶ τὸ ἠλαττώθη, οὕτω· ἡ δὲ οὐ τοσοῦτον ἠλαττώθη τότε, ὅσῳ τετίμηται οὐ μόνον πρὸ ἐκείνων, ἀλλὰ καὶ πρὸ τῶν ἄλλων, οὐδ’ εἰς τοσοῦτον τοῦ χρόνου ἠλαττώθη, ἐξ ὅσου μέχρι τοῦδε τετίμηται.

183,12 οὐδ’ εἰς τοσοῦτον τοῦ χρόνου ἠλαττώθη. ἐξ ὅσου τετίμηται πρὸ ἐκείνου καὶ πρὸ τῶν ἄλλων δηλονότι.

183,13 δῆλον δὲ τοῦτο δύναμιν ἔχει ἐπικρίσεως, ἀντὶ τοῦ εἰκότως καὶ δικαίως. Πέλλῃ ὅθεν ὁ Φίλιππος.

183,14 Αἰγαῖς Αἰγαὶ πόλις Λακεδαιμονίας. ἐντεῦθεν λέγεται εἶναι Ὀλυμπιὰς, ἡ γυνὴ Φιλίππου. ὅθεν ἡ τούτου γυνὴ, Ὀλυμπιάς.

183,15 τῶν ἰδιωτῶν οὐ λέγει τῶν ἰδιωτευόντων, ἀλλὰ τῶν ἰδίᾳ καὶ κατὰ ἓν σημαινόντων τὸν Ἀδριανόν.

183,16 αἱ μὲν ὡς ἀληθῶς ἐνθένδε καὶ παρ᾽ ὑμῶν οἰκισθεῖσαι οἷον Εὐβοεῖς, ἐν τῇ Θρᾴκῃ, Χαλκίδι, καὶ πόλεις οἱ Ἴωνες.

183,17 δύναμιν τὴν εὐτυχίαν νῦν, λέγει δύναμιν. αἱ δὲ κύκλῳ περιέρχονται ζητοῦσαι τρόπον τινὰ εἰς ὑμᾶς ἀνενεγκεῖν πανταχόθεν, φησὶ, περιέρχονται, ζητοῦσαι εἰς ὑμᾶς ἀναφέρειν τὸ γένος, καὶ ἐπιδεικνύναι ὡς Ἀθηναῖοι εἰσὶ τὸ γένος.

183,18 πέντε μέν ἐστι μνήμη βασιλειῶν περὶ βασιλειῶν. πρώτη μὲν ἡ Ἀσσυρίων, κατασχοῦσα ἀπὸ Νίνου τοῦ πρώτου μέχρι Σαρδαναπάλου, τοῦ ὑστάτου βασιλεύσαντος, ,αυν′. δευτέρα δὲ ἡ τῶν Μήδων ἀπὸ τοῦ πρώτου Ἀρβάκου μέχρις Ἀστυάγους, τοῦ ὕστερον βασιλεύσαντος, ἔτη κατέσχεν υο′. ὁ δὲ Ἡρόδοτός φησι ρκη′. τρίτη δὲ ἡ Περσῶν, κατασχοῦσα ἀπὸ Κύρου τοῦ Καμβύσου μέχρις Ἀρταξέρξου τοῦ Δαρείου ἔτη σιέ. καὶ μέχρι μὲν τούτου Κτησίας τοὺς χρόνους γράφει, ἐφ᾽ οὗ καὶ ἡ κγ′ τῶν Περσῶν. Ἀρταξέρξην δὲ ὁ παῖς αὐτοῦ Δαρεῖος διαδέχεται, ὃν κατέλυσεν ὁ Ἀλέξανδρος, ἔξ, φασὶν, ἔτη κρατήσαντα. μεθ᾽ ὃν εἰς Μακεδόνας ἡ ἀρχὴ μετῆλθε· καὶ ἐκράτησαν οἱ μετ᾽ Ἀλέξανδρον οἱ ἐπικληθέντες διάδοχοι, καὶ μετ᾽ αὐτοὺς ὑστάτη ἡ Λαγιδαίων Κλεοπάτρα ἡ Πτολεμαίου, κρατήσασα ἐν Αἰγύπτῳ, ἥτις κατελύθη ὑπ᾽ Αὐγούστου Καίσαρος, καὶ μετῆλθε πάλιν εἰς Ῥωμαίους ἡ πᾶσα δύναμις. ἀντὶ τοῦ πέντε γεγόνασιν ἔνδοξοι βασιλεῖς. μὴ γένοιτο δὲ πλειόνων ἀλλ᾽ ἡ νῦν βασιλεύουσα ἀθάνατος μένοι, παιδὸς ἐκ πατρὸς τὸν ἀεὶ χρόνον διαδεχομένου τὸ σκῆπτρον.

183,19 ἐπὶ μὲν τῆς Ἀσσυρίων τῆς πρεσβυτάτης αὕτη γάρ ἐστιν ἡ πρώτη ἡ τῶν Ἀσσυρίων. αἱ πρῶται τῆς πόλεώς εἰσι πράξεις αἱ πρὸς Εὔμολπον. πρώτας πράξεις λέγει τῆς πόλεως τὰ κατ᾽ Ἀμαζόνων ἔργα, τὰ κατὰ Εὐμόλπου, τὰ κατὰ Θηβαίων, μὴ βουληθέντων θάψαι τοὺς σὺν Πολυνείκει πεσόντας Ἀργείους, τὰ κατὰ τῶν ἄλλων. ὅσα δὲ τῶν θείων λέγει τὴν τῆς Δήμητρος ἐπιδημίαν, ὅτε ἔδωκε τοὺς καρποὺς, τὸ ἐρίσαι Ποσειδῶ καὶ Ἄρη ὑπὲρ τῆς

πόλεως τὸ δικάσασθαι τὸν αὐτὸν τοῦτον Ἄρει ὑπὲρ Ἁλιρροθίου, τὴν Ὀρέστου μετ᾽ Ἐριννύων κρίσιν, τὸ νομίσαι Ἡρακλέα θεὸν, καὶ ὅσα τοιαῦτα.

183,20 ὅσα τῶν θείων ἢ τὰ παρὰ τῶν θεῶν θρυλλούμενα. ἢ τὰ περὶ τῶν θεῶν αὐτοῖς δεδομένα. τὴν κρίσιν τοῦ Ἄρεος καὶ τοῦ Ποσειδῶνος. τὸ ἐπιδημῆσαι, καὶ δοῦναι τοὺς καρποὺς, τὸ δικάσασθαι περὶ τῆς γῆς. ἐπὶ δὲ τῆς δευτέρας τοῦ Δαρείου. τῆς τοῦ Δαρείου. ἤρετο ηὐξάνετο, ἤκμαζεν. τὴν δὲ τρίτην τοῦ Ξέρξου. τὴν Ξέρξου. τὴν δὲ τρίτην διὰ τέλους ἐνίκησεν τινὲς λέγουσιν ἐπὶ Δαρείου, ἄμεινον δὲ λέγειν ἐπὶ τῶν Μήδων.

183,21 ἐν δὲ τῇ τετάρτῃ τοῦ Φιλίππου. τῇ τῶν Μακεδόνων. ἀπήλλαξε ἀπηλλάγη τοῦ κινδύνου.

184,1 ἐπὶ δὲ τῆς πάντα ἀρίστης καὶ μεγίστης τῆς νυνὶ καθεστηκυίας τῆς ἐπὶ Ἀδριανοῦ, τουτέστι τῶν Ῥωμαίων. τῶν Ῥωμαίων.

184,3 γνοίη δ᾽ ἄν τις ὅσον τῇ πόλει τὸ μὲν σχῆμα καὶ μέρος τοῦ λόγου ἔοικεν ἀνακεφαλαίωσις εἶναι τῶν εἰρημένων. ἐξεῦρε δὲ σχῆμα καινοπρεπές· καὶ γὰρ ἀναμιμνήσκει τῶν εἰρημένων, καὶ ξενίζει τῷ σχήματι. ἔοικε καὶ τοῦτο ἀνακεφαλαίωσις εἶναι τῶν εἰρημένων· ἐξεῦρε δὲ σχῆμα καινοπρεπὲς, καὶ ἀναμιμνήσκει τὰ εἰρημένα, καὶ ξενίζει τῷ σχήματι. δοκῶν δὲ συγκρίνειν αὐτὴν πρὸς τὰς ἄλλας πόλεις, ὥσπερ ἀνακεφαλαίωσιν ποιεῖται πάντων τῶν εἰρημένων, σώζων ἀμφότερα. τὸ δὲ καθάπερ ποιητῶν ἢ χορῶν, ἀντὶ τοῦ ὥσπερ εἴ τις ἐπὶ ποιητῶν ἢ χορῶν ἐζήτει, πότερος ἑτέρου προέχει.

184,5 ἀγῶνα κρίσιν.

184,6 καθάπερ ποιητῶν ἢ χορῶν ἀγῶνα. οὐ γάρ μοι δοκεῖ τὴν νικῶσαν εὑρεῖν ἂν ῥᾳδίως ἐπειδὴ πάντα τὰ τῆς πόλεως ἴσα ἀλλήλοις ἐστὶν, εἰκὸς καὶ τὰς ταύτας μερισαμένας πόλεις ἐπίσης θαυμάζεσθαι καὶ μὴ ἄλλην ἄλλης προέχειν. τὴν νικῶσαν πόλιν.

184,8 ἡ δ᾽ ὡς πλείστοις μεταδοῦσα τούτων.

184,11 ἡ δ’ ὅ τι καὶ δοίη τις αὐτῇ τῶν ὑπαρχόντων τῇ πόλει κατὰ κοινοῦ τὸ φιλοτιμοῖτο. ἀντὶ τοῦ εἰ λάβοι τις ἑτέρα πόλις ὁτιοῦν τῶν ὑπαρχόντων τῇ Ἀθηναίων πόλει, καὶ τοῦτο φιλοτιμοῖτο.

184,14 ὥσπερ τοῖς ἅπασι τοσοῦτον περίεστιν νικᾷ τὰς πόλεις. ὥσπερ τοῖς ἅπασι τοσοῦτον—φέρουσιν ἀγάλλεται ἔοικε καὶ τοῦτο τὸ μέρος ἄλλο εἶναι πάλιν μέρος ἀνακεφαλαιώσεως. ἕτερα δὲ σχήματα εἰσάγει. λέγει δὲ ὅτι ὥσπερ τοῖς πᾶσιν, οὕτω καὶ τὰ κατὰ μέρος σεμνύνεται, τῷ μὲν τοῖς πᾶσι δηλῶν τὸ γενικὸν, καὶ τὸ λέγειν τοῖς καθ’ ἕκαστον. σαφέστερον δὲ αὐτὸς αὐτὸ ποιεῖ διὰ τῆς ἐπαγωγῆς.

184,16 τῶν μὲν θείων εὐθέως δύο μὲν—ἡ περὶ τοὺς θεοὺς σπουδὴ ταῦτα τὰ δύο καθολικὰ λέγει καὶ γενικὰ τῷ τοὺς Ἀθηναίους φιληθῆναι παρὰ θεῶν, καὶ αὐτοὺς τοὺς Ἀθηναίους θεούς. ἥ τε ἐκ τῶν θεῶν τιμὴ πρὸς τὴν πόλιν.

184,17 ἡ περὶ τοὺς θεοὺς σπουδὴ αὐτῆς. περὶ αὐτοὺς τοὺς θεούς. τούτων τῆς παρὰ τῶν θεῶν τιμῆς καὶ τῆς περὶ τοὺς θεοὺς σπουδῆς.

184,18 τοὺς ἐν τέλει τοὺς ἐν ἀξιώματι φησὶ καὶ ἐπισήμους· Δημήτηρ μὲν γὰρ τοὺς ἀμφὶ Κελεὸν, Διόνυσος δὲ τοὺς ἀμφὶ τὸν Ἴκαρον. τοὺς προύχοντας τῆς πόλεως, Κελεὸν καὶ Τριπτόλεμον.

185,2 ἀμιλλάσθω δὲ καὶ περὶ τούτων ἄλλη πρὸς ἄλλην πόλις ὡς καὶ πρώην ἔφαμεν.

185,3 ἡ δὲ τοὺς τοῦ Διονύσου εὐεργετεῖν φησι τὸν Διόνυσον, καὶ δοῦναι ἀνθρώποις. δηλοῖ δὲ ὁ Φερεκύδης, καὶ μετ’ ἐκεῖνον Ἀντίοχος, λέγοντες καὶ διὰ τοῦτο κεκλῆσθαι Διόνυσον, ὡς ἐκ Διὸς ἐς νύσας ῥέοντα· νύσας γὰρ, φησὶν, ἐκάλουν τὰ δένδρα· εἶτ’ ἐπεξίασι φυσικώτερον τῷ λόγῳ λέγοντες Ἶσιν μετωνομάσθαι τὴν γῆν, ἀπὸ τῆς περὶ τὴν θέσιν τῆς κατὰ μέσον ἰσότητος, ταύτης δὲ ἀδελφὸν Ὄσιριν καθ’ Ἕλληνας καὶ Διόνυσον τὸν ἐκ Διὸς εἰς γῆν ῥεόμενον Βρόντου παῖδα, τὸν Ὧρον τὸν ἄρειον ἡδύκαρπον· ταῦτα δὲ λέγουσιν Ὠγύγου καὶ Θήβης, τῆς τούτου γυναικὸς, τῶν Ἀττικῶν αὐτοχθόνων ἐλθόντων ἐπὶ τὴν Αἴγυπτον, τά τε μυστήρια πρῶτον αὐτοῖς κατασκευάσασθαι τὰ περὶ τὴν Ἶσιν, καὶ θεοὺς οὕτως ὀνομάσαι τούτους μετὰ τὸ κτίσαι τὸν Ὤγυγον τὰς ἐκεῖ Θήβας τὴν πόλιν.

οὐ μόνον τοὺς ἀπὸ τῆς ἀμπέλου, ἀλλὰ καὶ τῶν ἄλλων ἡμέρων τῶν ἀκροδρύων· λέγεται γὰρ ταῦτα πάντα Διονύσου μετὰ τῆς ἀμπέλου χαρίσματα. οὐ μόνον τὴν ἄμπελον ὁ Διόνυσος Ἀθηναίοις παρέσχεν, ἀλλὰ καὶ τὰ ἄλλα ἥμερα δένδρα, ὡς ἐν ἀρχῇ τοῦ λόγου εἴπομεν.

185,4 ἡ δὲ τρίτη πόλις. τὴν τῆς Ἀθηνᾶς δωρεὰν καὶ ταύτην διπλῆν τῆς σοφίας καὶ ἐλαίας. τὴν ἐλαίαν καὶ τὴν σοφίαν· ἢ τὴν ἐλαίαν καὶ μόνον, διπλῆν δὲ, ὅτι καὶ εἰς βρῶσιν καὶ εἰς ὑγείαν ἐπιτηδεία ἐστίν· ἢ αὐτὴν τὴν ἐλαίαν καὶ τὸ ἔλαιον· ἢ τὴν ἐλαίαν καὶ τὴν παίδευσιν. τὴν τῆς ἐλαίας καὶ τῶν λόγων.

185,6 αὖθις τοίνυν τὰ πρὸς τοὺς θεοὺς εἰπὼν ἀνωτέρω περὶ τῆς ἐκ θεῶν πρὸς τὴν πόλιν τιμῆς, καὶ περὶ τῆς σπουδῆς, ἣν ἡ πόλις πρὸς τοὺς θεοὺς ἐνεδείξατο, ἐπειδὴ πρῶτον περὶ τῆς ἐκ θεῶν πρὸς τὴν πόλιν τιμῆς ἐμνημόνευσε, νῦν λέγει καὶ περὶ τῆς πρὸς θεοὺς τῆς πόλεως σπουδῆς. τοῦτο μὲν οἱ νεὼ οὓς τοῖς θεοῖς ἡ πόλις ἀνέστησε. δι' ἔτους ἀντὶ τοῦ δι' ὅλου.

185,7 τὰ δ' εἰς ὑπερβολὴν ἔτι καὶ νῦν γίγνεται ὡς ἄλλων μὲν εὑρόντων, αὐτῆς δὲ ὑπερβαλλομένης.

185,8 τὰς δ' ἀρρήτους τελετὰς, ὧν τοῖς μετασχοῦσι—τὰ πράγματα γίγνεσθαι δοκεῖ ἔλεγον Ἕλληνες ὡς οἱ τὰ μυστήρια μυηθέντες εὐμενοῦς καὶ ἵλεω τῆς Περσεφόνης ἐν Ἅιδου ἐτύγχανον, ὡς καὶ Ἰσοκράτης ἐν τῷ Πανηγυρικῷ φησι λόγῳ. τὰς δ' ἀρρήτους τελετὰς τὰ Δήμητρος καὶ Περσεφόνης μυστήρια.

185,9 πᾶσιν τοῖς τῶν ἄλλων καλοῖς. καλοῖς. ἓν τοῦτο. πᾶσιν ἓν ἀντιθεῖναι συγκρῖναι. ἀλλὰ μὴν ἥ γε πρὸς τοὺς ἀνθρώπους εἰς ἄλλο πάλιν μέρος ἀνακεφαλαιώσεως μεταβαίνει. ἥ γε πρὸς τοὺς ἀνθρώπους ὁμιλία τῆς πόλεως.

185,11 ἡ τῶν τελετῶν ἑτέρα πάλιν τῶν Ἐλευσινίων λέγει.

185,12 ἡ διὰ τῆς σοφίας ἀεὶ πᾶσι γιγνομένη, καὶ εἰς τοὺς ἰδίους οἴκους, καὶ εἰς τὰ κοινὰ τῶν πόλεων ἐπικουρία ὁ γὰρ σοφὸς καὶ ἑαυτὸν ὠφελεῖ, καὶ κοινῇ τὴν πόλιν, ἔν τε πρεσβείαις καὶ τοῖς ἄλλοις.

185,13 πότερον τοὺς νόμους εἴπωμεν, οἷς ἔτι νῦν οἱ πολλοὶ χρῶνται τοῖς ὑμετέροις λέγει ἂν τοὺς Ῥωμαίους· Ῥωμαῖοι γὰρ τοὺς νόμους ἀπὸ τῶν Ἀττικῶν ἔγραψαν, ἐκεῖθεν μεταπεμψάμενοι τὸν κληθέντα δυοκαιδέκατον. τοῦτο δὲ καὶ Δημοσθένης λέγει καὶ Θουκυδίδης, ὅτι πάντες οἱ Ἕλληνες τὰ τῶν Ἀθηναίων ἐζήλωσαν νόμιμα. τοῦτο καὶ Δημοσθένης καὶ Θουκυδίδης λέγει, ὅτι πάντες οἱ Ἕλληνες τὰ τῶν Ἀθηναίων ἐζήλωσαν νόμιμα, ἀλλὰ καὶ Ῥωμαῖοι τοὺς νόμους ἀπὸ τῶν Ἀττικῶν μετέβαλον, πρὸς τὴν ἐκείνων διάλεκτον.

185,14 τοῖς ὑμετέροις οὓς Σόλων ἔθηκε. τοὺς διαλεκτικοὺς ἰσοδυναμοῦσι τοῖς ῥητορικοῖς.

185,15 τί τῆς ποιήσεως εἶδος κωμῳδίαν, τραγῳδίαν, τὰ ἄλλα.

185,16 τῆς πρώτης μοίρας δηλονότι. μοίρας. ἀντὶ τοῦ τῆς πρωτίστης τῆς σοφίας.

185,18 τὰ ἐν τῇ οἰκείᾳ κατορθώματα σημείωσαι ὅτι εἶπε κατορθώματα. φασὶ δὲ μὴ λέγεσθαι τὴν λέξιν. λέγει δὲ ὁ Λογγῖνος ἐν τρίτῃ φιλολόγων ὅτι εὕρηται πολλαχῶς.

185,19 τὴν φιλανθρωπίαν—τὴν ἐν αὐτοῖς τοῖς πολέμοις ἐνοῦσαν ὑπὲρ ἐχθρῶν ἐπολέμησε πολλάκις.

185,20 ὥσπερ γὰρ ἐν μιᾷ πηγῇ πάνθ', ὅσα ἂν μερίσῃς, πάλιν εἰς ἄλληλα συρρεῖ καὶ μίγνυται ἐπειδὴ εἶπε πηγὴν, ἐνέμενε τῇ τροπῇ εἰπὼν τὸ συρρεῖ.

185,21 εἰς μὲν τὰς εὐεργεσίας οἵ τε πόλεμοι τὰς εὐεργεσίας ὥσπερ πηγήν τινα εἶναι λέγει καὶ γενικόν τι ὃ μερίζει πάλιν εἰς πολλὰ μέρη.

186,5 ὅροι ἀντὶ τοῦ κανόνες καὶ ἀποδείξεις.

186,7 ἡ ἐν Μαντινείᾳ ταύτην προεῖπεν ἔμπροσθεν ἐν τῇ δοκούσῃ ἀντιθέσει ὅτι ἔσωσεν ἱππομαχίᾳ Λακεδαιμονίους.

186,8 τειχομαχίας μὲν γὰρ οὐδ' ἠμφισβήτησεν οὐδεὶς πώποτε τῇ πόλει.

186,9 θησόμεθα ἤγουν ψηφισόμεθα. προστεθῶμεν.

186,10 οὕτω καὶ διὰ πάντων καὶ δι᾽ ἑκάστου πολλαχῶς νικᾷ ἀντὶ τοῦ καὶ διὰ τοῦ γενικοῦ καὶ διὰ τοῦ μερικοῦ, ὅπερ καὶ πρὸ μικροῦ εἶπε.

186,13 στρατηγοὶ σοφώτατοι καὶ ὀξύτατοι δι᾽ Ἀλκιβιάδην καὶ Χαβρίαν, δι᾽ Ἀριστείδην καὶ Θεμιστοκλέα, διὰ Νικίαν. τὸ δὲ ἀσφαλέστατον κοινόν ἐστιν ἀμφοτέρων ἐγκώμιον. στρατηγοὶ σοφώτατοι καὶ ὀξύτατοι ἐν βουλαῖς καὶ ἐν πράξεσιν.

186,14 ἀσφαλέστατοι εἰπὼν ὀξύτατοι, ἐπειδὴ τῷ ὀξέως πράττειν ἢ βουλεύεσθαι ἕπεται τὸ ἐπισφαλὲς, διὰ τοῦτο ἐπήγαγε τὸ ἀσφαλέστατοι.

186,15 κεφάλαιον καθολικὸν καὶ σύντομον λόγον.

186,16 δυοῖν γὰρ ὄντοιν καιροῖν, —ἀνεῖται καιρῷ ἀμφοῖν κοινὸν λέγει τὴν τροφήν· καὶ γὰρ ἐν καιρῷ πολέμου καὶ εἰρήνης δέεται τῆς τροφῆς· τὸν τῆς εἰρήνης δὲ καιρὸν λέγει τὸν τῆς παιδείας· ἐν γὰρ πολέμῳ πῶς δύναταί τις λόγοις παιδεύεσθαι;

186,17 τὸ μὲν ἡ τῶν ἀναγκαίων εὐπορία. ἀμφοῖν πολέμῳ καὶ εἰρήνῃ. τὸ δὲ τὸ τῆς παιδείας καλόν. τὸ δὲ τῷ τῆς εἰρήνης ἀνεῖται καιρῷ τότε γὰρ ἐνεργοῦνται οἱ λόγοι.

186,18 τὸ δὲ ἀμύνεσθαι ἤγουν ἡ τῶν πρὸς τὸν πόλεμον κατασκευή. τὸ δὲ ἀμύνεσθαι δυνατοὺς εἶναι ποιεῖ περὶ τῶν ὑπαρχόντων τουτέστι περὶ ὧν κεκτήμεθα. λέγει δὲ τροφῆς παιδείας. ἡ δὲ σύνταξις οὕτως· τὸ δὲ ἀμύνασθαι περὶ τῶν ὑπαρχόντων δυνατοὺς εἶναι ποιεῖ· ἐνήλλακται γάρ.

186,20 καθ᾽ ἣν ἄν τις αὐτῶν κρίνοι ἀντὶ τοῦ οἱῳδήποτε αὐτῶν ψηφίσηται. ἀντὶ τοῦ οἱᾳδήποτε αὐτὸς ψηφίσηται. καθ᾽ ἣν ἄν τις αὐτῶν κρίνοι τὸ κάλλιστον.

186,22 πᾶσι τοῖς κριταῖς νικᾷ τοῖς κατὰ μέρος κρίνουσι. τὸ πᾶσι τοῖς κριταῖς παροιμία ἐστὶν ἐπὶ τῶν τελέως νικώντων. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν κρινομένων καὶ ἅπασι τοῖς κριταῖς ἀναιτίων δοξάντων. λέγει δὲ τὸ χώραις ἁπάσαις, ἐπειδὴ οὕτω καὶ ἀνεκηρύττοντο οἱ νικῶντες· ὅδε πρῶτος ἐνίκησε, δεύτερος ὁ δεῖνα, τρίτος ὁ δεῖνα, τέταρτος ἐκεῖνος· καὶ περαιτέρω οὐκ ἐξῆν ἀνακηρυχθῆναι. ἐγίγνετο δὲ αὕτη ἡ ἀνακήρυξις ἐπὶ

τοὺς νικῶντας ἐν ταῖς ἱππηλασίαις. χώραις ἁπάσαις τοῖς προσήκουσι τόποις. οἱονεὶ τοῖς τόποις καὶ τοῖς ἐπιχειρήμασι τοῖς ἐγκωμιαστικοῖς· ἢ ταῖς τάξεσιν, οἷον τῇ παιδείᾳ, τοῖς ἀναγκαίοις, τῇ κατασκευῇ τῶν πολέμων.

187,1 ὥστ᾽ οὐκ ἄν τις ὀκνήσειεν εἰπεῖν, —ὥσπερ ἐν ἅρμασιν φησὶν ὅτι ἡ πόλις οὐ μόνον τὰ πρῶτα καὶ κρείττονα νικᾷ, ἀλλὰ καὶ τὰ πάντα. ἕως γὰρ τεσσάρων ἀνεκηρύττοντο, ὅτι ὅδε πρῶτα ἐνίκησε, δεύτερος ὁ δεῖνα, τρίτος ὁ δεῖνα, τέταρτος μετὰ τόνδε. μετὰ δὲ τὸν τέταρτον ἀριθμὸν οὐκ ἐξῆν τινα ἀνακηρυχθῆναι, ὡς τῶν ἄλλων ἡττηθέντων.

187,2 εἰ δὴ καὶ ἅρμα γε ἀπὸ τῶν Ἀθηνῶν τὸ ἀρχαῖον, οὐκ ἀπὸ τῆς Σικελίας τοῦτο εἶπεν, ὥς τινων λεγόντων ὅτι οἱ Σικελιῶται ἐξεῦρον τὸ ἅρμα. οἱ γὰρ περὶ Βραχυλλίδην καὶ Πίνδαρον ὑμνήσαντες τοὺς περὶ Ἱέρωνα καὶ Γέλωνα ἐν ἱππικῇ παρέσχον ὑπόνοιαν Σικελιώτας τὴν ἱππικὴν ἐξευρεῖν. Ἐρεχθεὺς πρῶτος παρ᾽ Ἀθηνᾶς τὸ ἅρμα ἐδέξατο· ἕτεροι δέ φασι Πέλοπα παρὰ Ποσειδῶνος· ἄλλοι δὲ λέγουσιν ὡς ἐκ Σικελίας ἐφάνη τὴν ἀρχήν· Βακχυλίδης γὰρ καὶ Πίνδαρος Ἱέρωνα καὶ Γέλωνα, τοὺς Σικελίας ἄρχοντας, ὑμνήσαντες, καὶ πλεῖστα θαυμάσαντες ἐν ἱππηλασίᾳ, πρὸς χάριν αὐτῶν εἶπον ὡς Σικελιῶται πρῶτοι ἅρμα ἐξεῦρον.

187,4 τὰ δ᾽ αὖ τοῦ μεγέθους καὶ τῆς ἄλλης δοκεῖ τὸ ὅμοιον ποιεῖν ὃ ἐποίησεν ἐν τῇ ἀρχῇ τοῦ λόγου· ὥσπερ γὰρ ἐκεῖ ἐκφράζει τὴν πόλιν, οὕτω καὶ ἐνταῦθα. ἀλλ᾽ ἐκεῖ μὲν τὴν θέσιν εἶπε, πῶς ἔχει ἐν γῇ καὶ θαλάττῃ. ἐνταῦθα δὲ τὰ κατὰ μέρος, οἷον λουτρὰ, οἰκοδομήματα, καὶ τὰ τοιαῦτα. διδάσκει οὖν ἡμᾶς ὁ ῥήτωρ πῶς δεῖ ἐγκωμιάζειν· πρῶτον μετὰ τὰ προοίμια τὸν οἰκιστὴν, ἐὰν ἔχωμεν, εἰ καὶ ἐνταῦθα παραλέλοιπε διὰ τὸ μὴ ἔχειν· εἶτα τὴν θέσιν τῆς χώρας, ὅπερ ἐστὶ τοῦ γένους· εἶτα τροφὴν καὶ τάξεις καὶ σύγκρισιν· εἶτα ἀνακεφαλαιώσει χρήσεται· εἶτα λοιπὸν τῶν μερῶν αὐτῆς τῆς πόλεως τὰ κάλλη· ὅπερ πεποίηκε νῦν ὁ ῥήτωρ· καὶ ὁ ἐπίλογος.

187,5 αὐτὸν τὸν κύκλον τοῦ ἄστεος τὸν περίβολον, τουτέστιν αὐτὸ τὸ τεῖχος.

187,6 τείχη καθήκοντά ποτε ἐπὶ θάλατταν τὰ λεγόμενα μακρά. τὰ μακρὰ ἐπὶ τὸν Πειραιᾶ.

187,7 ἡμερησίας ὁδοῦ μῆκος τὰ σύμπαντα καὶ μὴν τριάκοντα μόνον εἰσὶ στάδια. ἀλλὰ λέγομεν ὅτι καὶ τὸν κύκλον τῆς πόλεως περιέλαβεν, ἢ ὡς ὁ ῥήτωρ ηὔξησε. πρὸς τῇ θαλάττῃ ἐν τῷ λιμένι τῷ Πειραιεῖ.

187,8 κύκλους ἑτέρους ἀντιστρόφους τῶν περὶ τὴν πόλιν ἀντὶ τοῦ ἴσους. σημείωσαι δὲ ὅτι τοῦ Πειραιῶς τὸ τεῖχος. ἴσον δ' ἐστὶ τοῦ τείχους τῆς ἄνω πόλεως. ἀντικρὺ στρεφομένους τῶν περὶ τὴν πόλιν τειχῶν, καὶ ἴσους αὐτῆς ὄντας, ὡς δοκεῖν τὸ μεταξὺ τῶν τειχῶν ὥσπερ αὐλὴν τῆς πόλεως καὶ προάστειον. τοὺς δήμους τοὺς ἐν τῇ πόλει καὶ τοῖς προαστείοις.

187,9 ὧν ἔνιοι οἱ ἐν τοῖς προαστείοις.

187,11 τῶν μὲν αὐτοφυῶν ἤγουν τῶν παρὰ τῆς φύσεως. τοῦ πολλοῦ γράφεται καὶ δι' ἑνὸς λ. τουτέστι τῆς περιεχούσης σφαίρας τοῦ κοινοῦ.

187,12 ἔτι δ' αὐτῆς τῆς ἀκροπόλεως ἡ θέσις διὰ τὸ εἶναι αὐτὴν ἐν ὕψει καὶ ὄρει, ὡς προεῖπε, κεφαλῇ παραπλησίως. αὔρας δὲ ἀντὶ τοῦ ἡδέως πνοῆς τινος προσερχομένης.

187,13 ἐπισημήνασθαι σημειώσασθαι, καὶ ὡς παράδοξον θαυμάσαι.

187,14 ταῖς μὲν γὰρ ἄλλαις πόλεσιν, ὅπως ἂν— τῷ ὑπὲρ κεφαλῆς ἀέρι πανταχοῦ, φησὶν, ἡ χώρα τῆς πόλεως λεπτότερον ἀέρα ἔχει, ἐνταῦθα δὲ ἡ πόλις τῆς χώρας· καὶ τοσοῦτον ὥστε πόρρωθεν ἂν ἴδοις, ὅπου κεῖται ἡ πόλις, τὸν περὶ αὐτὴν ἀέρα λεπτότερον ὁρῶν, καὶ φαιδρότερον, καὶ λεπτότητα καθάπερ αὐγήν. ὅπως ἂν ἔχωσι τοῦ οὐρανοῦ ὅπως ἂν ἔχωσι τῆς θέσεως τοῦ οὐρανοῦ· πρὸς γὰρ τὸν οὐρανὸν καὶ ἡ κρᾶσις συμβαίνει. πᾶσα οὖν, φησὶ, πόλις, κἂν ἔχῃ ἄριστον ἀέρα, ἀλλ' ἧττον ὅμως ἔχει τοῦ ἐκτὸς καὶ τοῦ τῆς χώρας ἀέρος, ἐνταῦθα δὲ ὁ τῆς πόλεως ἀμείνων τοῦ ἐν ἀγροῖς. τοῦ οὐρανοῦ ἐπειδὴ πρὸς τὴν θέσιν τοῦ οὐρανοῦ καὶ ἡ τοῦ ἀέρος κρᾶσίς ἐστι, διὰ τοῦτο καὶ οὗτος ἀντὶ τοῦ εἰπεῖν ἀέρος οὐρανοῦ εἶπεν· ὡς καὶ ἐν ἀρχῇ τοῦ λόγου πεποίηκε, τοῦτο τὸ νόημα εἰπών.

187,15 τοῦ δὲ τῆς πάσης Ἀττικῆς ἀέρος οὕτως ἔχοντος καλῶς ὡς ἐδείξαμεν.

187,16 ὁ τῆς πόλεως ὑπερέχων ὑπερκείμενος. γνοίης δ' ἂν αὐτὴν ἐπὶ τῇ πόρρωθεν ὥσπερ αὐγῇ τῷ ὑπὲρ κεφαλῆς ἀέρι ὅσῳ γὰρ ἄν τις πλησίον τῆς

πόλεως γίνηται, τοσούτῳ καὶ διαυγεστέρου τοῦ ὑπὲρ κεφαλὴν ἀπολαύει ἀέρος, ὁ δὲ πόρρω γινόμενος τοὐναντίον· ὥστε ἢν ἐθελήσῃς πόρρωθεν γνῶναι τὴν πόλιν, οὐκ ἀπ᾽ ἄλλου νοήσεις, ἀλλ᾽ ἐκ τοῦ ὑπὲρ κεφαλὴν ἀέρος, καὶ τῆς ἐντεῦθεν ἐκδιδομένης ὥσπερ αὐγῆς. αὐτὴν τὴν πόλιν.

187,20 ἀγάλματα, ἄνευ τῶν οὐρανίων, τῆς πρώτης τέχνης τὰ πρῶτα, καὶ παλαιὰ καὶ καινὰ ἀγάλματα διὰ τὸ Παλλάδιον φησὶ τὸ ἀπὸ Τροίας· ὁ γὰρ Δημόφιλος παρὰ Διομήδους ἁρπάξας εἰς τὴν πόλιν ἤγαγεν, ὡς Λυσίας ἐν τῷ ὑπὲρ Σωκράτους πρὸς Πολυκράτην λόγῳ. λέγει δὲ ἂν καὶ περὶ ἄλλων πολλῶν Παλλαδίων· τοῦ τε καταλκομένον τὸν αὐτόχθονα καὶ τῶν περὶ αὐτῶν γεφυρῶν καλουμένων, ὡς Φερεκύδης καὶ Ἀντίοχος ἱστοροῦσι· καὶ τῶν κατενηνεγμένων μὲν τῇ τῶν γιγάντων μάχῃ, ὡς ἐν ἀγράφοις ὁ Φύλαρχος φησί. Παλλάδιον δὲ ἐκάλουν, καθὰ λέγει Φερεκύδης, τὰ βαλλόμενα εἰς γῆν ἐκ τοῦ οὐρανοῦ ἀγάλματα· πάλλειν γὰρ, φησὶ, τὸ βάλλειν ἔλεγον. ἄνευ δὲ τῶν οὐρανίων, τουτέστι τῶν διιπετῶν. τρία ἦσαν ἀγάλματα ἐν ἀκροπόλει τῆς Ἀθηνᾶς· ἓν μὲν τὸ ἀρχαῖον καὶ διιπετές· ἕτερον τὸ χαλκοῦν, ὃ ἔθεσαν μετὰ τὸ Περσικόν· τρίτον τὸ Φειδίου, τὸ ἐκ χρυσοῦ καὶ ἐλέφαντος κατεσκευασμένον. οὐράνια λέγει τὰ διοπετῆ. ἦσαν δὲ τῆς Ἀθηνᾶς ἐν ἀκροπόλει τρία ἀγάλματα· τὸ μὲν ἓν χαλκοῦν, ὃ μετὰ τὰ Περσικὰ Ἀθηναῖοι ἔστησαν· τὸ δὲ ἕτερον ἐκ χρυσοῦ καὶ ἐλέφαντος, παριστῶντα ἄμφω τέχνην ὑπερφυῆ· κατεσκεύασε δὲ τὸ μὲν Φειδίας, τὸ δὲ χαλκοῦν Πραξιτέλης· καὶ τὰ μὲν ἐκ τέχνης ταῦτα. ἵστατο δὲ πρὸ τούτων ἕτερον διοπετές· ἐν γὰρ τῇ Τροίᾳ φασὶν ἐξ οὐρανοῦ τουτὶ πεπτωκέναι· λαβόντος δὲ Διομήδους, ἁρπάσας ἀπὸ τούτου Δημόφιλος Ἀθήναζε ἤγαγεν, ὡς Λυσίας ἐν τῷ ὑπὲρ Σωκράτους πρὸς Πολυκράτην λόγῳ φησί. τὰ πρῶτα, καὶ παλαιὰ καὶ καινὰ ὕστερον γὰρ πολλὰ γεγόνασι.

187,21 γῆς φανερᾶς περιφανοῦς καὶ ἐνδόξου.

188,1 οἷα δὴ τῆς παρούσης ἐξουσίας καὶ διαίτης ἤγουν ὁποῖα τῷ παρόντι καιρῷ ἁρμόττει, ὅτε πάντων ἀφέμενοι Ἀθηναῖοι μόνοις τοῖς λόγοις αὐτοί τε καὶ σὺν αὐτοῖς ἕτεροι σχολάζουσιν. σεμνότητι μεγαλοπρεπείᾳ.

188,2 τοὺς Ἐριχθονίους ἤγουν τοὺς κατ᾽ Ἐρεχθέα.

188,3 τοὺς Κέκροπας τοὺς κατὰ Κέκροπα.

188,7 εἴ τῳ καὶ τούτων φίλον μεμνῆσθαι ἐκ τοῦ εἰπεῖν εἴ τῳ καὶ τούτων φίλον μεμνῆσθαι δείκνυσιν ὅτι, εἰ καὶ τὰ παρόντα θαυμαστὰ, ἀλλ᾽ οὐχ οἷα τὰ πρόσθεν, ὧν καὶ μεμνῆσθαι μᾶλλον καὶ θαυμάζειν προσῆκεν.

188,8 τὰ μὲν παλαιὰ τοῖς παλαιοῖς νικᾷ, τὰ δὲ καινὰ τοῖς καινοῖς
παλαιὰ παλαιοῖς. χιασμὸς τὸ σχῆμα καινὰ καινοῖς.

188,9 τοῖς ἑαυτῆς λέγω, τὰ τῶν ἄλλων τὸ τοῖς ἑαυτῆς λέγω τὰ τῶν ἄλλων πανταχοῦ λάμβανε· ἐδέησε δὲ τοῦτο εἰπεῖν, ἵνα μή τις ὑπολάβῃ ὡς τὰ μὲν παλαιὰ τὰ ἑαυτῆς ἐν τοῖς καινοῖς τοῖς ἑαυτῆς νικᾷ, τὰ δὲ καινὰ τοῖς καινοῖς· ἐπεὶ τὰ μὲν παλαιὰ τοῖς παλαιοῖς, τὰ δὲ καινὰ τοῖς καινοῖς, οὐδεμίαν ἀμφιβολίαν εἶχεν. κατίδοι δ᾽ ἄν τις κἀκεῖθεν τὰς ὑπερβολὰς αὐτῆς ἐνταῦθα ὥσπερ σύγκρισίν τινα ποιεῖται, καὶ πάντα τὰ τῶν ἄλλων ἐξαίρετα. καὶ λέγει μὲν αὐτὴν τὰ πάντων ἔχειν πλεονεκτήματα, οὐ μέντοι τὰς ἄλλας ἐχούσας τὰ αὐτῆς.

188,12 τῶν δὲ ἑαυτῆς οὐδένα κοινωνὸν ἔχει διὰ τέλους ἀντὶ τοῦ ἐν τοῖς ἰδίοις πλεονεκτήμασιν οὐδένα ἔχει παραπλήσιον. τὸ δὲ διὰ τέλους ἀντὶ τοῦ μέχρι τέλους, ὅ ἐστιν ἐκ μέρους κεκοινωνήκασιν. οἷον Ἀργεῖοι παλαιότατοι τῶν Ἑλλήνων ἀξιοῦσιν εἶναι τοῦτο ἐπὶ τῶν Ἀργείων ἐσήγαγεν, ἐπειδὴ καὶ Ἀργείους οἶδε φρονοῦντας, ὡς ἐν τῇ Ἀργείᾳ σπαρέντος τοῦ πυρῶν σπέρματος, ἐκ Λιβύης Ἄργου μεταπεμψαμένου· διὸ καὶ Δημήτριος Λιβύης ἱερὸν ἵδρυσεν ἐν τῷ Ἄργει, ἐν Χαράδραις οὕτω καλουμένῳ τόπῳ, ὥς φησι Πολέμων.

188,13 ὅλως οὐχ ὅμοια τὰ τῶν Ἀργείων παλαιὰ τοῖς τῶν Ἀθηναίων τοιαύτας γὰρ τομὰς τῶν θεῶν καὶ εἰς τοὺς θεοὺς ἀμοιβὰς οὐκ ἔχουσι. λέγει δὲ ὁ Πολέμων ἐν τῇ Ἑλληνικῇ ἱστορίᾳ ὅτι ἤρισαν καὶ περὶ τοῦ Ἄργους Ποσειδῶν καὶ Ἥρα, καὶ ἠττήθη κἀκεῖ· σύμβολα μέντοι οὐκ ἔδειξαν οἱ ἐν Ἀθήναις.

188,16 ἐνταῦθα εἰς τὰς Ἀθήνας. τὰς ἀπαρχὰς τῶν καρπῶν. ἐκεῖσε εἰς τοὺς Ἀρκάδας.

188,18 τά γε δεύτερα ἐκείνοις ἐν φιλοτιμίᾳ καθέστηκεν τὸ δεύτερα εἶναι τὴν εὐδοξίαν. τὸ δευτέρους εἶναι τῆς πόλεως τοὺς πολεμίους. ἔχει ταῖς

Θήβαις χάριν καὶ τιμὴν ἡ τῶν θεῶν γένεσις ἔχει ἀντὶ τοῦ φέρει. λέγει δὲ Ἡρακλέα καὶ Διόνυσον.

188,19 τῶν θεῶν Διονύσου καὶ Ἡρακλέους. ὁ μὲν ὁ Διόνυσος. τὴν δωρεὰν τὴν ἄμπελον. τὸν δὲ τὸν Ἡρακλέα.

188,20 χωρὶς τῶν διὰ Θησέως πρὸς αὐτὸν κοινωνιῶν εἰς τὰς Ἀμαζόνας καὶ ἄλλους πολέμους.

189,1 τῆς τελευταίας Θηβαίων ῥώμης ἅπαντες μέμνηνται τοῦτο ἤδη προεῖπεν, ὅτι νικήσαντες ἐν Λεύκτροις Θηβαῖοι ἐζήτουν κατασκάψαι καὶ αὐτὴν τὴν Σπάρτην, καὶ ἐκώλυσαν Ἀθηναῖοι ὑπὲρ Λακεδαιμονίων πολεμήσαντες. τῆς ἐν Λεύκτροις. ταύτης ἡ πόλις αἰτία ὅτε ἐν Λεύκτροις ἐνίκησαν, συμμαχησάντων αὐτοῖς Ἀθηναίων ἐν Ἁλιάρτῳ καὶ ἐν Κορωνείᾳ. συνεμάχησε γὰρ πρόσθεν Θηβαίοις ἐν Ἁλιάρτῳ καὶ Κορωνείᾳ κατὰ Λακεδαιμονίων· ὅθεν δὴ καὶ ηὐξήθησαν.

189,2 ὅτε ἔδει, τἀναντία πράττειν οὐκ ἔδεισεν ζητοῦντας Θηβαίους μετὰ τὴν ἐν Λεύκτροις μάχην κατασκάψειν τὴν Σπάρτην Ἀθηναῖοι οὐκ ἔδεισαν, ἀλλ᾽ ἐκώλυσαν αὐτοὺς, οἰκτείραντες τὴν Λακεδαιμονίων δυστυχίαν. τἀναντία τῇ προτέρᾳ συμμαχίᾳ. οὐκ ἔδεισεν τὴν Θηβαίων θρασύτητα. ἐπαινεῖν ἄν τις ἔχοι Κορινθίους δικαιοσύνης εἵνεκα ὅθεν καὶ ποιηταὶ εὐδαίμονα τὴν Κόρινθον φασί.

189,4 ἐνδοξότατοι πάντων οἱ κατὰ τὴν Ἑλλάδα ἀγῶνες ἡ τάξις τῶν ἀγώνων κατὰ Ἀριστοτέλην γράφεται· πρῶτα μὲν τὰ Ἐλευσίνια, διὰ τὸν καρπὸν τῆς Δήμητρος· δεύτερον δὲ τὰ Παναθήναια ἐπὶ Ἀστέρι τῷ γίγαντι ὑπὸ Ἀθηναίων ἀναιρεθέντα. τρίτος, ὃν ἐν Ἄργει Δαναὸς ἔθηκε, διὰ τὸν γάμον τὸν θυγατέρων αὐτοῦ· τέταρτος ὁ ἐν Ἀρκαδίᾳ τεθεὶς ὑπὸ Λυκάονος, ὃς ἐκλήθη Λύκαια· πέμπτος ὁ ἐν Ἰολκῷ, Ἰακάστου καθηγησαμένου ἐπὶ Πελίᾳ τῷ πατρί· ἕκτος ὁ ἐν Ἰσθμῷ, Σισύφου νομοθετήσαντος ἐπὶ Μελικέρτῃ· ἕβδομος ὁ Ὀλυμπιακὸς, Ἡρακλέους νομοθετήσαντος ἐπὶ Πέλοπι· ὄγδοος ὁ ἐν Νεμέᾳ, ὃν ἔθηκαν οἱ ἑπτὰ ἐπὶ Θήβας ἐπὶ Ἀργεγόρῳ· ἔννατος ὁ ἐν Τροίᾳ, ὃν Ἀχιλλεὺς ἐπὶ Πατρόκλῳ ἐποίησε· δέκατος ὁ Πυθικὸς, ὃν οἱ Ἀμφικτύονες ἐπὶ τῷ Πύθωνος φόνῳ ἔθηκαν. ταύτην τὴν τάξιν εἰς πέπλους συνθεὶς ὁ Ἀριστοτέλης ἐξέθετο τῶν ἀρχαίων καὶ

παλαιῶν ἀγώνων. Ὀλύμπια, Πύθια, Νέμεα, Ἴσθμια· Ὀλυμπίων ἔπαθλον κότινος· Πυθίων μῆλα· Νεμέων σέλινα· Ἰσθμίων πίτυς. καὶ οὗτοι μὲν οἱ ἀγῶνες μεγάλοι· γίνονται δὲ καὶ ἄλλοι τούτων ἐλάττους. ὁ τῶν Παναθηναίων τῶν μικρῶν λέγει· ταῦτα γὰρ ἐπὶ Ἐρεχθονίου τοῦ Ἀμφικτύονος γενόμενα ἐπὶ τῷ φόνῳ τοῦ Ἀστερίου τοῦ γίγαντος· τὰ δὲ μεγάλα Πεισίστρατος ἐποίησε. τὰ δὲ Ἐλευσίνια ἐπὶ Πανδίονος ἐγένετο, ὃς πέμπτος ἦν βασιλεὺς ἀπὸ Ἐρεχθονίου. διὰ δὲ τὸν καρπὸν ἐτέθησαν.

189,5 εἰ δὲ βούλει, ὁ τῶν Ἐλευσινίων ὡς καὶ Ἀριστοτέλης τάττει. ὁ τῶν Ἐλευσινίων διὰ τὴν τοῦ σίτου εὕρεσιν. πάντας αὐτοὺς ἡ τῆς πόλεως δωρεὰ συγκροτεῖ ἐπειδήπερ, ὡς ἔφημεν, ἡ Ἀθηνᾶ τὴν ἐλαίαν παρέσχεν, ἀλείφονται δὲ οἱ ἀθληταὶ ἔλαιον, διὰ τοῦτο τὴν τῆς Ἀθηνᾶς δωρεὰν πάντας ἀγῶνάς φησι συγκροτεῖν. ἡ τῆς πόλεως δωρεὰ ἡ ἐλαία.

189,6 Σαμοθρᾷκες ἀγάλλονται τοῖς ἱεροῖς μικτόν ἐστι τοῦτο τὸ γένος ἀπὸ Σαμίων καὶ Θρᾳκῶν, ἀπὸ ἐπιγαμβρίας, ὥς φασι, γενόμενον. οὗτοι οὖν μυστήρια εἶχον φοβερὰ τῆς Ῥέας· ἱεροῖς γὰρ λέγει τοῖς μυστηρίοις, οἷς μυούμενοι οὐδέποτε ἐναυάγουν. Σαμοθρᾷκες μικτόν ἐστιν ἔθνος, ἀπὸ Σαμίων—τῆς Ῥέας.

189,7 ἀνεῖται ἀναδέδοται. τοῖς θεοῖς Ἀπόλλωνι καὶ Ἀρτέμιδι.

189,8 τὸ δὲ δὴ καὶ τὴν εἰς Δελφοὺς ὁδὸν ἔργον εἶναι τῆς πόλεως τὴν θυσίαν τὴν πομπὴν εἰς τὰ Πύθια. ἐλέγετο δέ ποτε ἡ ὁδὸς αὕτη λῃστεύεσθαι. τοῦτο δὲ τὸ λῃστικὸν καθεῖλον Ἀθηναῖοι· ἔργον οὖν καλεῖ τὸν λῃστικὸν διωγμόν. ἐν τῇ πρὸς Δελφοὺς ὁδῷ λῃσταί ποτε καθήμενοι τοὺς παριόντας διέφθειραν. Θησεὺς οὖν ἀνεῖλεν ἅπαν τοῦτο τὸ λῃστικόν· ὅθεν Ἀθηναῖοι αἴτιον τῆς ἀναιρέσεως τὸν Ἀπόλλω νομίζοντες κατ᾽ ἐνιαυτὸν ναῦν εἰς Δελφοὺς ἔπεμπον, θυσίαν κομίζουσαν τῷ Ἀπόλλωνι ἐν τῇ τῶν Πυθίων πανηγύρει. ἔργον δὲ τῆς πόλεως λέγει τὴν ὁδὸν, ἐπειδήπερ εἰ μὴ τοὺς λῃστὰς ἀνεῖλεν, οὐκ ἂν οἷόν τε ἦν εἰς Δελφοὺς ἀφικνεῖσθαι. τὴν θεωρίαν τὴν τὴν θυσίαν ἄγουσαν ναῦν. τὴν Πυθιάδα τὴν ἐν τῶν Πυθίων ἑορτῇ ἀγομένην.

181,9 τί ἂν εἴποις, ἢ τῶν θεῶν ἅπαντα ταῦτ᾽ εἶναι οὗτοι γὰρ παρεσκεύασαν.

189,10 πρεσβεύειν ὑπερέχειν. τιμᾶν, ὑπερέχειν τῶν ἄλλων. πᾶσιν ὥσπερ χεῖρα τοῖς καλοῖς ἐπιβάλλειν τὴν πόλιν ἀντὶ τοῦ μερίζεσθαι· τοῦτο δὲ εἶπεν οὐχ ἁπλῶς, ἀλλ᾽ ὅτι ἔθος εἶχον τινὲς, ἄλλων θυόντων συνεφάπτεσθαι τῆς θυσίας καὶ κοινωνεῖν, τούτων οὖν ἐκάλουν χεῖρα ἐπιβάλλειν· ὅ ἐστι μετέχειν πάντων τῶν καλῶν· καὶ Αἰσχίνης οὐκ ἔφη γινώσκειν, ὥσπερ τοὺς συνεφαπτομένους τῶν ἱερῶν. τὸ χεῖρα ἐπιβάλλειν παροιμία ἐστὶν ἐπὶ τῶν κοινωνούντων τισὶν ἀγαθῶν λεγομένη· ἐπειδὴ εἶχον ἔθος τινὲς, ἄλλων θυόντων συνδράττεσθαι τῆς θυσίας, καὶ κοινωνεῖν.

189,11 ἔτι τοίνυν εἰσὶν, αἳ τῶν κατὰ τὴν Ἀσίαν πόλεων μεγέθει ναῶν φιλοτιμοῦνται τὸν ἐν Ἐφέσῳ τῆς Ἀρτέμιδος ναὸν λέγει. ὥσπερ ἡ Ἔφεσος τῷ τῆς Ἀρτέμιδος ναῷ.

189,13 καθάπερ πρώην συνῳκισμένῃ πασῶν πόλεων. ἃ γὰρ τοῖς ἄλλοις ἐν ἀγάλμασι δεῖξαι σπουδὴν ἔχει, τούτων ὑμεῖς τοὺς νεὼς καὶ τὰ θέατρα προσκέκτησθε διὰ τὸν Ἡρακλέα λέγει, οὗ τοῖς μὲν ἀγάλμασιν ἕτεροι φιλοτιμοῦνται· ἡ πόλις δὲ τὸ πρώτη τῶν Ἑλλήνων νεὼν αὐτῷ ἱδρῦσαι καὶ κοινωνῆσαι διὰ Θησέως αὐτῷ τῶν πλείστων ἀγώνων, οὓς καὶ θέατρα καλεῖ.

189,14 ἀγάλματα θαυμάζεται ἐν ἄλλαις πόλεσι.

189,15 τούτων πρῶτον εἶναι κρατεῖ τὸ παρ᾽ ὑμῖν ἐν τῇ πόλει ἀντὶ τοῦ ἐν τῇ ἀκροπόλει· αὕτη γὰρ ἡ πόλις ἐκαλεῖτο. λέγει δὲ τὸ τῆς Ἀθηνᾶς, ὅπερ ἐποίησε Φειδίας ἐξ ἀργύρου καὶ ἐλέφαντος. τοῦτο οὖν, φησὶ, τὸ ἐν τῇ ἀκροπόλει κάλλιστόν ἐστι μετὰ τοῦ καὶ τὰ ἄλλα ἀγάλματα τρόπον τινὰ τῆς πόλεως προσήκειν οἰκεῖα εἶναι καὶ ἴδια, ἅπερ ἔχουσιν οἱ ἄλλοι ἄνθρωποι, ὡς παρ᾽ αὐτοῖς διδαχθέντες ποιεῖν. τὸ παρ᾽ ὑμῖν ἐν τῇ πόλει διοπετὲς, ἢ τὸ ἐκ χρυσοῦ καὶ ἐλέφαντος. χωρὶς τοῦ καὶ τὰ ἄλλα πανταχοῦ κάλλιστα προσήκειν τρόπον δή τινα τῇ πόλει ἐντεῦθεν γὰρ δὴ τὴν μίμησιν ἔσχον.

189,17 τοῖς ἀγαλματοποιοῖς αὐτοῖς περίεστιν διὰ τὸν Φειδίαν λέγει. τὸ δὲ περίεστιν ἀντὶ τοῦ νικᾷ. Φειδίας γὰρ ὁ λιθοξόος Ἀθηναῖος ἦν.

189,18 περίεστιν νικᾷ. ἑπτά γε ἀνδρῶν—εἷς ἀπὸ τῆς πόλεως γέγονε ὁ Σόλων. περὶ Σόλωνος. ἑπτὰ γὰρ σοφῶν ὄντων, εἷς ἀπὸ τῆς πόλεως Σόλων ἐγένετο.

189,19 δυοῖν ἀρίστοιν νομοθέταιν Λυκούργου καὶ Σόλωνος. Σόλωνος καὶ Λυκούργου. ἄτερος αὐτὸς οὗτος ἄτερον λέγει τὸν Σόλωνα. ὁ Σόλων.

189,20 δύο τοίνυν ἀνδράσι τῶν πρόσθεν—καὶ Σωκράτει τῷ παρ᾽ ὑμῶν περὶ τοῦ Ἀπόλλωνος. τοῦτο δὲ λέγει ὁ Ἡρόδοτος. διὰ τὸν χρησμὸν λέγει τὸν λέγοντα, Ἥκεις, ὦ Λυκόεργε, ἐμὸν ποτὶ νηὸν ἀνιών, Ζηνὶ φίλος καὶ πᾶσιν Ὀλύμπια δώματ᾽ ἔχουσι· δίζω, ἢ σὲ θεὸν μαντεύσομαι, ἢ ἄνθρωπον. ἀνδρῶν πάντων Σωκράτη σοφώτατος. ἐλθὼν πρὸς Δελφοὺς ὁ Λυκοῦργος τοιαῦτ᾽ ἤκουσε παρὰ τοῦ Ἀπόλλωνος, Ἥκεις, ὦ Λυκόεργε, ἐμὸν ποτὶ νηὸν ἀνιών, Ζηνὶ φίλος καὶ πᾶσιν Ὀλύμπια δώματ᾽ ἔχουσι· δίζω, εἴ σε θεὸν μαντεύσομαι, ἠὲ βροτόν γε. ζητούντων δέ τινων ἐν τῷ Ἀπόλλωνι τίς εἴη μάλισθ᾽ ἁπάντων σοφὸς, ἀνεῖλεν ἡ Πυθία, Σωκράτης ἀνδρῶν ἁπάντων σοφώτατος.

190,1 ἐπὶ τοῖς καινοῖς παραδόξοις.

190,4 κοινοτάτοις ἤτοι φιλανθρωποτάτοις.

190,5 ὁμοίως Ἀθηναίοις τε καὶ πᾶσιν ἀναγκαῖον εἰπεῖν ὅ ἐστι μόνους Ἀθηναίους εἰπεῖν ἤθη φιλάνθρωπα εὑρεῖν.

190,6 τὸ μὲν διὰ πάντων ἀποδεικνύναι ὅσον ἡ πόλις προέχει. συχνοῦ καὶ λόγου καὶ χρόνου δεῖται.

190,7 ἐνομίσατε ἐνομοθετήσατε. τῶν μὲν ὑπὲρ τῆς πόλεως ταῦτα Θουκυδίδης φησί.

190,8 αὐτῶν μὲν ἐπαίνους ἐπὶ ταῖς ταφαῖς καθ᾽ ἕκαστον ἔτος λέγειν ὅπως τοῦτο ἐγίνετο πρόσθεν εἴπομεν εἰς τὸ ὃ τοῖς πολλοῖς τῶν εἰωθότων λέγειν ἐπὶ τῷ τάφῳ τῷ δημοσίῳ παρεῖται

190,9 μετὰ τῶν πανοπλιῶν τῶν πατρῴων.

190,10 τοὺς δ᾽ ἀδυνάτους τῶν πολιτῶν δημοσίᾳ τρέφειν ἀδυνάτους λέγει πάντας τοὺς μὴ δυναμένους χρῆσθαι τῷ σώματι πρὸς τὴν οἰκείαν αὐτάρκειαν. κυρίως δὲ ἀδύνατοι οἱ πένητες λέγονται. δυνατοὺς λέγει τοὺς ἐν τοῖς πολέμοις ἀποθανόντας, ἀδυνάτους δὲ τοὺς τούτοις προσήκοντας, οὓς τρέφουσι τὴν ἀδυναμίαν αὐτῶν ἐλεοῦντες.

190,11 ἐδείξατε, ὡς ἑκάτερον προσῆκε τιμᾶν. ψηφίσματα τοίνυν πόθεν ἢ λαμπρότερα, ἢ φιλανθρωπότερα σημαίνει ὅτι οὐκ ἐξῆν πολεμεῖν ἄνευ ψηφίσματος. ἐμφαίνει οὖν ὅτι τὰ προειρημένα περιέχει τὰ πολλὰ ψηφίσματα.

190,12 ἢ φιλανθρωπότερα ἐπειδὴ πολλάκις ἐψηφίσαντο δυστυχοῦσιν ἐχθροῖς βοηθεῖν. ὧν ἃ μὲν ἐν τοῖς εἰρημένοις ἐστὶ τὸ εἰρημένοις λέγει, ἐπειδὴ ἃ διεξῆλθε τῆς πόλεως ἔργα, κατὰ Θηβαίων, κατὰ Λακεδαιμονίων, κατὰ τῶν ἄλλων, μετὰ ψηφισμάτων ἐγίγνετο.

190,13 κατὰ παντὸς ἤγουν ἐπάνω. περὶ ταῦτα τὰ ψηφίσματα.

190,14 κατ᾽ Ἀρθμίου τοῦ Ζελείτου ἀπὸ τόπον οὕτω καλεῖται. νικῆσαν ἀντὶ τοῦ κυρωθέν. ἔχεις δὲ τὴν ἱστορίαν ἐν Φιλιππικοῖς. ὃν ἐπεὶ τῷ βασιλεῖ διακονῶν ὅτε κατὰ τῆς Ἑλλάδος ἐστράτευσε Ξέρξης, θέλων χρυσίον πέμψαι πρὸς Λακεδαιμονίους, ἵνα δι᾽ αὐτοῦ παραχθέντες συμπράττωσι κατ᾽ Ἀθηναίων αὐτῷ, ἄκοντα ἠνάγκασεν Ἄρθμιον ἀγαγεῖν· ὁ δ᾽ ἐν Ἀθήναις ᾤκει· καὶ κατὰ τύχην ἑάλω τότε ὑπὸ Περσῶν. ἐκ δὲ τοῦ εἰπεῖν καίτοι μόνου τούτου πάνθ᾽ ὁμοῦ τὰ τῶν ἄλλων ἀπολείπεται δείκνυσιν Ἀθηναίους οὕτω φρονοῦντας ἐφ᾽ ἑαυτοῖς, ὡς καὶ εἴ τις ἄκων ὑπηρέτησε τῷ Πέρσῃ, καὶ τοῦτο εὐθύνειν. τῷ βασιλεῖ τῷ Ξέρξῃ. τῷ βασιλεῖ διακονῶν ἄκων.

190,15 ἀτίμους ἀτιμωρήτους τοὺς φονεύσαντας αὐτόν. ἀντὶ τοῦ ἀτιμωρήτους· ὥστε τὸν φονεύοντα αὐτὸν μὴ τιμωρεῖσθαι, ἤ τινα τοῦ γένους αὐτοῦ.

190,16 τὰ τῶν ἄλλων Ἑλλήνων ψηφίσματα. πρεσβείας τοίνυν πλείστας μὲν— πλείστας γὰρ ὑπὲρ τῶν δεομένων ἀπέστειλεν ἐπειδήπερ ἡ πρεσβεία δεήσεώς ἐστι σημεῖον, τοῦτο διορθοῦται λέγων· εἰ φανερόν ἐστι, διεπέμψαντο, φησὶν, οὐχ αὑτῇ δεομένῃ, ἀλλ᾽ ὑπὲρ τῶν δεομένων πρὸς

αὐτοὺς τοὺς δεομένους πρεσβεύουσα· τοῦτο δὲ τὸ νόημα σαφέστερον ἐν τοῖς Θηβαϊκοῖς δηλοῖ, λέγων ὅτι ἀγαπητόν ἐστιν, εἰ δεόμενοι καὶ πρεσβευόμενοι δυνηθῶσι σώζειν τοὺς κινδυνεύοντας. εἰπὼν πλείστας δὲ ἐξέπεμψεν, ἵνα μή τις οἰηθῇ ὡς ὑπὲρ αὐτῆς τοῦτο ἐποίει, διὰ τοῦτο φησὶν ὅτι, εἰ μὲν ὅλως ἐστὶ φανερὸν ὡς ὑπὲρ τῶν ἄλλων ταύτας ἐξέπεμψεν, εὖ ἂν ἔχοι, εἰ δὲ μὴ προστιθέντες, ὡς ὑπὲρ τῶν δεομένων ταύτας ἐξέπεμπε καὶ ἐδέχετο, μείζω καὶ θαυμαστὸν δείξομεν τὸν λόγον τὸν περὶ τούτου.

191,1 εὐσεβείας τοίνυν ἅμα, καὶ πραότητος, καὶ φρονήματος, τίς ἂν εἰπεῖν ἔχοι δεῖγμα κάλλιον τρία ἐν ἑνὶ περιέλαβε τῶν Ἀθηναίων ἐγκώμια, εὐσέβειαν, ἀνδρείαν, πραότητα.

191,2 φρονήματος γενναιότητος. Κορινθίων μὲν γὰρ ψηφισαμένων ποτὲ ἐν ἑαυτοῖς. λέγει καὶ ὁ Δημοσθένης· ἐπὶ μὲν Κορινθίους καὶ Μεγαρέας ἁρπάσαντας τὰ ὅπλα πορεύεσθε. πανήγυριν δὲ λέγει τὴν τῶν Ἰσθμίων.

191,3 τῇ πανηγύρει τῶν Ἰσθμίων.

191,4 κοσμήσαντες ὁμοῦ τούς τε θεωροὺς καὶ τοὺς ὁπλίτας ἀπέστειλαν ἵνα, ἐὰν μὴ δέξωνται, πολεμήσωσιν.

191,5 Κορίνθιοι μὲν ἦκον σπενδόμενοι δῆλον ὅτι δεδοικότες τοὺς τῶν Ἀθηναίων στρατηγούς. Κορίνθιοι μὲν ἦκον σπενδόμενοι διὰ πρεσβείας Ἀθήναζε. οἱ δὲ οἱ Ἀθηναῖοι. τὴν θεωρίαν καὶ τὴν θυσίαν. τὴν θεωρίαν πέμψαντες εἰς τὴν ἑορτήν.

191,6 τῶν γε μυστηρίων τὰ μὲν ὡς ἀρχαῖα τετίμηται ὥσπερ τὰ Σαμοθρᾴκια καὶ τὰ Λυκομήδων. τῶν γε μυστηρίων τὰ μὲν ὡς ἀρχαῖα τετίμηται, τὰ δ' ὡς ἀναγκαῖα, τὰ δ' ὡς πλείστοις γνώριμα ἀρχαῖα μὲν τὰ Σαμοθρᾴκου, ἢ τὰ Λυκομήδου· ἀναγκαῖα δὲ, ἐὰν καὶ πάντα τὰ μυστήρια τῶν θεῶν, ἀλλ' ὡς τὰ ἐν Αἰγίνῃ· γνώριμα δὲ τὰ ἐν Ἰσθμῷ, ἢ ἃ καλοῦσι δημοτελῆ. τὰ δ' ὡς ἀναγκαῖα ὥσπερ τὰ ἐν Αἰγίνῃ.

191,7 πάσαις τοίνυν ταῖς ψήφοις προφέρει τὰ Ἐλευσίνια ὁμολογεῖται γὰρ παρὰ πάντων.

191,8 περὶ μὲν τῶν ἄλλων ὧν ποιοῦσιν ἄλλοι. περὶ μὲν τῶν ἄλλων οὐχ ἡμῶν ὁ λόγος ὅτι ἀρχαῖα καὶ οὐκ ἀναγκαῖα. οὐχ ἡμῶν ὁ λόγος ἤγουν ἕτεροι λεγέτωσαν. μόνοι δὲ τῶν Ἑλλήνων καθ᾽ ἕκαστον ἔτος ποιεῖτε πανήγυριν, οὐδεμιᾶς πεντετηρίδος φαυλοτέραν ἐπειδὴ διὰ πέντε ἐτῶν αἱ μεγάλαι πανηγύρεις συνάγονται. τοῦτο δὲ εἶπεν οὐχ ἁπλῶς, ἀλλ᾽ ὅτι ἡ διὰ χρόνου ἀγομένη πανήγυρις, ἅτε ποθεινοτέρα τυγχάνουσα, ἀνάγκη καὶ πολυάνθρωπος γίνεσθαι. λέγει οὖν ὅτι κατ᾽ ἐνιαυτὸν ἡμεῖς ἄγομεν πανήγυριν οὐκ ἐλάττονα τῆς διὰ πέντε ἐτῶν ἀγομένης. μόνοι δὲ τῶν Ἑλλήνων καθ᾽ ἕκαστον ἔτος—νικᾶν πολυανθρωπίᾳ ἐπειδὴ αἱ διὰ πέντε ἐτῶν συναγόμεναι πανηγύρεις ὑπερφέρουσι τῶν ἄλλων πολυανθρωπίᾳ, ἅτε ποθεινότεραι τῷ μήκει τοῦ χρόνου, αἱ δὲ δι᾽ ἔτους ἑνὸς μικραί τινές εἰσι καὶ οὐ τοσούτους ἔχουσι τοὺς πανηγυρίζοντας, διὰ τοῦτο φησὶν, εἰ καὶ καθ᾽ ἕκαστον ἔτος ἡμεῖς ἄγομεν πανήγυριν, ἀλλὰ τῷ πλήθει τῶν συνειλεγμένων τὰς διὰ πέντε ἐτῶν γινομένας νικῶμεν· καὶ οὐ τοῦτο μόνον, ἀλλ᾽ ὅτι καὶ ἡ ἐπιγιγνομένη ἑορτὴ ὥσπερ φιλονεικεῖ τὴν προτέραν ἐλθεῖν πολυανθρωπίαν.

191,9 πανήγυριν τὴν τῶν Ἐλευσινίων. τῷ Ἐλευσινίῳ τῷ Δήμητρος ἱερῷ. ἱερῷ τῆς Δήμητρος.

191,10 πάντες ἐρίζουσιν ἀεὶ τὴν παροῦσαν ἑορτὴν νικᾶν πολυανθρωπίᾳ τῇ προτέρᾳ. τουτέστιν, ὅτι ἀεὶ τοῦ παρελθόντος ἔτους πλεῖον συνάγεται δῆμος.

191,11 τούτοις δέ γε, ἕως ὠμίλουν ἀνθρώποις πρώτοις ξένων ἡ πόλις δείκνυσι τὰ ἱερὰ τὰ μυστήρια· ἡ πόλις γὰρ αὐτοὺς ἐμύησε τὰ Ἐλευσίνια.

191,13 ἱεροποιήσασα ἱερὰ διὰ τῆς θυσίας ποιήσασα. μυήσασα. τοῦ πρώτου τέλους δαπανήματος. τέλους λέγει νῦν τοῦ δαπανήματος· τοῦτο γὰρ ἀγῶνος ἐγκώμιον, τὸ πολυδάπανον καὶ μεγαλόψυχον. τὸ τέλος σημαίνει μὲν καὶ ἄλλα, σημαίνει δὲ καὶ τὸ δαπάνημα· ἔστι δὲ ἀγῶνος ἐγκώμιον τὸ πολυδάπανον.

191,16 μηδὲν ἔχοντες φανερὸν δεῖξαι τουτέστι
μηδὲν ἐπίσημον, μηδὲ ἔνδοξον. καὶ Ὅμηρος «Ἴν᾽ ἔκδηλος
μετὰ πᾶσιν Ἀργείοισι γένηται.»

191,18 οὐδὲν κοινὸν ἑαυτῶν ἀντὶ τοῦ οὐδὲν κοινὸν πόλεως κατόρθωμα.

191,19 ὥσπερ τινὲς γεωπεῖναι δι᾽ ἑνὸς τῶν πλουσίων ἑαυτοὺς ποιούμενοι γεωπεῖναι, οἱ πένητες, οἱ μὴ ἔχοντες γῆν, οἱ γῆς ἐνδεῶς ἔχοντες ἀροσίμης, πάντες οὖν οἱ μὴ ἔχοντες γῆν δι᾽ ἑνὸς τῶν ἐχόντων ἑαυτοὺς δεικνύντες ὡς εἰσί τινες. γεωπεῖναι, οἱ γεωργοὶ, οἱ μὴ ἔχοντες οἰκείαν γῆν ἀροῦν, ἀλλ᾽ ἐπὶ ξένης τοῦτο ποιοῦντες, προστάτην ἔχοντες, καὶ δι᾽ ἐκείνου φαινόμενοι.

192,1 τοῦ ἡδύσματος οὐκ εἶπε φιλοτιμήματος, ἀλλὰ ἡδύσματος, εὐτελίζων ἐντεῦθεν τὰς τοιαύτας καταφυγάς.

192,2 τὸν Ἀθηναίων στρατηγὸν τὸν Μενεσθέα.

192,6 ὡς ἄρα ἦν κράτιστος τὴν τοξικὴν ἤτοι Τεῦκρος.

192,7 αὐτῷ τῷ Ὁμήρῳ.

192,8 ἑξῆς ἀπαριθμεῖ ὁ Ὅμηρος.

192,10 οὐδεμιᾷ τοιαύτῃ προσθήκῃ συγκριτικῇ.

192,12 τούτων τῶν περὶ Μενεσθέα. ἡ θεὸς ἡ Ἀθηνᾶ.

192,15 δύο τοίνυν ἀρίστους τὰ πρὸς τὸν πόλεμον τιθεὶς τῶν Ἀχαιῶν Ἀχιλλέα καὶ Αἴαντα.

192,17 τῶν ἐπωνύμων τῶν ἐπωνύμων λέγει, ἀφ᾽ ὧν αἱ φυλαὶ ὀνομάζονται· καὶ γὰρ ἀπὸ τῶν ἐν αὐταῖς γενομένων ἀρίστων ἡρώων εἶχον τὰ ὀνόματα. λέγει οὖν τὴν Αἰαντίδα φυλὴν ἀπὸ τοῦ Αἴαντος.

192,18 ὁ θεὸς ὁ Πύθιος. αὐτοῖς ὁ θεὸς συνέταξε τὸ κατ᾽ ἀρχὰς τοὺς νόμους συνέταξε λέγει, ὅτι γνώμῃ τοῦ Ἀπόλλωνος ὁ Λυκοῦργος παρὰ τοῦ Κρητὸς καὶ τοῦ Μίνωος τὰ νόμιμα δεξάμενος κατὰ τὴν μαντείαν τοῦ Ἀπόλλωνος οὕτως ἐθάρρησε παρὰ Λακεδαιμονίοις θεῖναι τοὺς νόμους. ὁ δέ γε αὐτὸς οὗτος θεὸς τάς τε φυλὰς φαίνεται διελὼν τῇ πόλει τεσσάρων οὐσῶν φυλῶν παρὰ τοῖς Ἀθηναίοις, Καλλισθένης ἢ Ἀλκμαιωνίδης δεδιὼς μὴ ἔν τινι καιρῷ μία τῶν τεσσάρων φυλῶν βουληθεῖσα τυραννῆσαι προσποιήσῃ ἑαυτῇ τὴν ἄλλην μίαν φυλὴν, καὶ ἐκ τούτου κρατήσει τῶν

ἄλλων δύο φυλῶν, λαβὼν ἑκατὸν ἡρώων ὀνόματα ἦλθεν εἰς Πυθίαν, μαθεῖν βουλόμενος, ἐκ ποίων ὀνομάτων καλέσει τὰς φυλὰς, ἃς μέλλει κτίζειν. λαβὼν τὸν χρησμὸν ἐλθὼν Ἀθήνησιν ἐποίησε δέκα φυλὰς, ἵνα καὶ ἐὰν βούληται μία ἐκ τῶν δέκα τυραννῆσαι, μὴ δύνηται πεῖσαι τὰς λοιπάς. ὕστερον ὡς ἐταπεινώθησαν Ἀθηναῖοι ὑπὸ Μακεδόνων, χαριζόμενοι αὐτοῖς ἐποίησαν δύο φυλὰς, καὶ ὠνόμασαν τὴν μὲν Ἀντιγονίαν, τὴν δὲ Δημητρίαν, ἀπὸ Ἀντιγόνου, καὶ Δημητρίου τῶν βασιλέων.

192,19 τὰς ἑκάστοις προσηκούσας θυσίας θύειν ἀνθεὶς τὸ ἑκάστοις ἢ ἀντὶ τοῦ θεοῖς νόει, ἢ ἀντὶ τοῦ γένεσι. λέγει δὲ ὅτι ὁ Ἀπόλλων προσέταξε ταύτην μὲν τὴν φυλὴν θύειν Διὶ, ταύτην δὲ Ποσειδῶνι, ἄλλην δὲ Διονύσῳ, καὶ ἑτέραν ἑτέρῳ. τὸ δὲ βασιλέας καὶ ἄρχοντας δικαστήρια ἦσαν ἐν Ἀθήναις διάφορα· τὸ μὲν γὰρ ἐκαλεῖτο Ἄρειος πάγος, κρῖνον περὶ φόνων· τὸ δὲ βασιλεὺς, κρῖνον περὶ δημοσίων· τὸ δὲ Εὐμολπίδαι καὶ κήρυκες, κρῖνον περὶ ἱερῶν· τὸ δὲ ἔνδεκα, κρῖνον περὶ ἄλλου τινός.

192,20 ὥσπερ οὖν καὶ βασιλέας—διορίσας αὐτοῖς ἀπὸ κοινοῦ φαίνεται.

193,1 βούλομαι δὲ καὶ περὶ τῆς πολιτείας αὐτῆς πρὸ τούτου, φησὶ, τέσσαρες ἦσαν φυλαὶ, ὕστερον δὲ γνώμῃ τοῦ Ἀπόλλωνος δέκα αὐτὰς ἐποιήσαμεν. ἐντεῦθεν δὲ διαφόρως ἐπαινεῖ τὴν πολιτείαν τῶν Ἀθηναίων. φησὶ γὰρ ὅτι τριῶν οὐσῶν τῶν γενικῶν πολιτειῶν, ἀριστοκρατίας, βασιλείας, δημοκρατίας, αὕτη ἐξεῦρε ταῦτα τὰ τρία εἴδη, καὶ πᾶσιν ἐχρήσατο. καὶ δοκεῖ ἀληθεύειν· ἀπ᾽ ἀρχῆς γὰρ ἐβασιλεύοντο, εἶτα ὠλιγαρχοῦντο διὰ τῆς βουλῆς τοῦ Ἀρείου πάγου· οὗτοι γὰρ ἓξ ὄντες διῴκουν τὴν πᾶσαν πολιτείαν· ὕστερον δὲ δικαστήριον ἔμεινεν ἔχουσα τὸ πρότερον ὄνομα· λέγω δὲ βουλήν. ὕστερον δὲ δημοκρατίαν ἐποιήσαντο, καὶ τερφθέντες ἔμειναν ἐν αὐτῇ.

193,2 οὐ μὴν διηρευνήσατό γε ἅπαν τὸ ἐνὸν σχεδὸν οὐδεὶς ἐνὸν λέγει τὸ ἀκριβὲς τῆς παρ᾽ αὐτῆς πολιτείας οὐδεὶς ἠρευνήσατο· βούλεται γὰρ ἑκάστην τῶν τριῶν πολιτειῶν μὴ εἶναι ἁπλῆν, ὡς ἐπιφέρει, ἀλλὰ πρώτην μὲν ἁπλῆν, ἔπειτα δὲ ἑκάστην μικτὴν ἐκ τῶν τριῶν συγκειμένην. λέγει

γάρ· ἐγὼ δὲ ἁπλοῦν τε καὶ οὐχ ἁπλοῦν λέγω βουλόμενος δεῖξαι καὶ τὸ ἁπλοῦν καὶ τὸ διπλοῦν ἑκάστης πολιτείας.

193,5 ἐγὼ δὲ ἁπλοῦν τε καὶ οὐχ ἁπλοῦν λέγω ἁπλοῦν μὲν διὰ τὴν διαίρεσιν, οὐχ ἁπλοῦν δὲ διὰ τὸ εἶναι ἐν αὐτῇ τὰς τρεῖς πολιτείας, τυραννίδα, ὀλιγαρχίαν, δημοκρατίαν. ἑκάστης γὰρ τὸ μὲν χρήσιμον ἐκτήσατο, τὸ δὲ φαῦλον ἀπέφυγεν. οὐχ ἁπλοῦν λέγει τὴν διαίρεσιν τῶν τριῶν πολιτειῶν, οὐχ ἁπλοῦν δὲ, διὰ τὸ εἶναι ἐν μιᾷ ἑκάστῃ τὰς ἄλλας. λέγω περὶ αὐτῆς. τριῶν γὰρ οὐσῶν, ὡς ἀνωτάτω διελέσθαι, τῶν πολιτειῶν βασιλείας, ἀριστοκρατίας, δημοκρατίας.

193,4 ᾗ τις ἂν τίθηται καθὼς εἴτε κατὰ βασιλείαν, εἴτε δημοκρατίαν, εἴτε ἀριστοκρατίαν.

193,5 οὐ μόνον τῶν Ἐρεχθειδῶν, ἀλλὰ καὶ τῶν ὕστερον ἀξίων ὀφθέντων τοῦτο διὰ Θυμοίτην φησὶ, τὸν βασιλέα τῶν Ἀθηναίων. ἐπερχομένου γὰρ Ξάνθου, τοῦ Βοιωτῶν βασιλέως, καὶ δόξαν, ἵνα μονομαχήσωσιν οἱ δύο στρατηγοὶ τῶν στρατοπέδων, Θυμοίτης, γέρων ὢν, μὴ δυνάμενος μονομαχῆσαι, ἔδωκε τὴν βασιλείαν Μελάνθῳ, καὶ αὐτὸς ἐμονομάχησε. τοῦτο οὖν φησιν ὁ Ἀριστείδης, ὅτι βασιλείαις χρωμένη φαίνεται οὐ μόνον ἐπὶ τῶν Ἐρεχθειδῶν, ἀλλὰ καὶ ἐπὶ τῶν ὕστερον ἀξιωθέντων τῆς βασιλείας· εἰ μὴ γὰρ ἄξιος ἦν Μέλανθος τῆς ἀρχῆς, οὐκ ἂν ἐδέχετο παρὰ Θυμοίτου ταύτην. οἷον Θησέως, Κόδρου, τῶν ἄλλων.

193,7 καὶ μὴν εἰς τὴν ἐξ Ἀρείου πάγου βουλὴν οἱ ἐν Ἀρείῳ πάγῳ δικάζοντες ἄριστοι καὶ θαυμαστότατοι τῶν ἄλλων πολιτῶν ἦσαν σοφίᾳ τε καὶ φρονήσει καὶ γνώμης ὀρθότητι καὶ ἐπιεικείᾳ.

193,8 ἀριστοκρατίας εἰκόνα οὐκ εἶπεν ὀλιγαρχίας· διαφέρει γὰρ, ταύτην μὲν ἀριστοκρατίαν ἀπὸ ἀρίστων ἀνδρῶν συγκεῖσθαι, ὀλιγαρχίαν δὲ ἀπὸ ὀλίγων πλουσίων.

193,11 τῇ φύσει τῇ ἀνθρωπείᾳ.

193,12 ὃ δέ γε ἔτι μεῖζον καὶ τελεώτερον ἐντεῦθεν βούλεται δεῖξαι τὸ μικρὸν καὶ τὴν μίξιν τῶν πολιτειῶν.

193,13 οἵ τε γὰρ βασιλεῖς αὐτοὶ οἱ ἐν τῇ πόλει γενόμενοι. οἵ τε γὰρ βασιλεῖς αὐτοὶ φανοῦνται διαφερόντως τῶν ἄλλων τὴν κοινότητα ἀγαπήσαντες λέγει, ἂν περὶ Θησέως, ὃς συνήγαγεν αὐτοὺς εἰς μίαν πόλιν, ὅθεν καὶ συνοίκια θύουσιν. τὴν κοινότητα τουτέστι τὴν φιλανθρωπίαν· ὅπερ ἐστὶ δημοκρατίας ἴδιον. δείκνυσιν οὖν ἐν τῇ βασιλείᾳ τὴν δημοκρατίαν οὖσαν διὰ τὸ φιλάνθρωπον. τοὺς πολλοὺς δὲ λέγει τὸν δῆμον, ὅπερ ἐστὶ δημοκρατίας.

193,14 καὶ μάλιστα δήπου πρὸς τοὺς πολλοὺς ἐξ ἴσου πάλιν δείκνυσι τὴν δημοκρατίαν ἔχουσαν ἐν ἑαυτῇ τήν τε μοναρχίαν καὶ τὴν ἀριστοκρατίαν, ἵνα δείξῃ ἐν ἑκάστῃ τὰς τρεῖς. δείκνυσιν ἐν τῇ βασιλείᾳ τὴν δημοκρατίαν οὖσαν διὰ τὸ φιλάνθρωπον· καὶ πάλιν δείκνυσι— τὰς τρεῖς.

193,15 τῶν πολλῶν ὑπερέχοντα φρονήσει καὶ τῇ τῶν πολεμικῶν ἐμπειρίᾳ. ἐθελοντὴς ἑαυτοῦ προϊστάμενος προβαλλόμενος τοῦτον.

193,16 τὸ δ’ αὐτὸ τοῦτο καὶ τοῖς ὀλίγοις φυλάττων καὶ τούτους γὰρ προβάλλονται ἄρχοντας. τοῖς ὀλίγοις τοῖς ἐν Ἀρείῳ πάγῳ οὖσιν.

193,17 ὡσαύτως δὲ καὶ ἡ βουλὴ τὸν δῆμον δείκνυσι πάλιν καὶ τὴν βουλὴν, ἢ τὴν ὀλιγαρχίαν ἔχουσαν ἐν ἑαυτῇ τὴν δημοκρατίαν.

193,18 μείζω ἤγουν εὐδαιμονέστερον.

193,20 ὥστ’ εἰκότως οὐ μόνον κατὰ τὴν—εὐδοκιμεῖν εἶναι τῇ πόλει τουτέστιν οὐ μόνον ἑκάστην πολιτείαν ἔστιν ἐν αὐτῇ θεάσασθαι, ἀλλὰ καὶ κρίνοντα ἰδεῖν ἀρίστως ἁπασῶν τὰς ἐν αὐτῇ μόνῃ, τῷ καὶ δι’ ἀλλήλων κρᾶσιν αὐτῶν λαμβάνειν.

194,1 ὥσπερ γὰρ ὁ πᾶς οὐτοσὶ κόσμος οἶμαι συνέστη μὲν ἐκ τεττάρων, ὡς ὁ παλαιὸς λόγος ἐπειδὴ τὸ ἐπιχείρημα φιλόσοφον δοκεῖ, καὶ ἀλλότριον ῥήτορος, ἐθεράπευσεν αὐτὸ εἰρηκὼς ὁ παλαιὸς λόγος, τουτέστιν ὁ φιλόσοφος. οἰκεῖον δὲ τῷ προκειμένῳ νοήματι εὗρε παράδειγμα τὸ νόημα. τέσσαρα στοιχεῖά ἐστιν, ἐξ ὧν πᾶν σῶμα συνίσταται, ὑγρὸν, ξηρὸν, θερμὸν, ψυχρόν. ἀλλ’ οὐ τοῦτό ἐστι τὸ ζητούμενον. προδήλως γὰρ τοῦτο τοῖς ἅπασιν· ἀλλ’ ὅτι ἕκαστον τῶν τεσσάρων τούτων στοιχείων ἔχει ἐν ἑαυτῷ καὶ ἀλλότρια. Πλάτωνος δὲ τοῦτο τὸ θεώρημά ἐστιν, ὅτι

οὐδὲ ἓν τούτων ἁπλοῦν ἐστι καθ᾽ ἑαυτό. οὐ γὰρ ἂν συνέστη, ἀλλὰ ἐφθείρετο τῇ ὑπερβολῇ. ἕκαστον οὖν, φησὶν, ἔχον ἐν ἑαυτῷ καὶ τὰ ἄλλα στοιχεῖα τῷ πλεονάζοντι ἔσχε τὴν προσηγορίαν· οὕτω καὶ πολιτεῖαι, εἰ καὶ ἰδίᾳ κεχωρισμέναι εἰσὶν, ἀλλὰ μετέχουσι τῶν ἄλλων. ἐπειδὴ τὸ ἐπιχείρημα φιλόσοφον δοκεῖ, ἐθεράπευσεν αὐτὸ, εἰρηκὼς ὡς ὁ παλαιὸς λόγος. οἰκεῖον δὲ τῷ προκειμένῳ νοήματι εὗρε τοῦτο τὸ παράδειγμα τὸ τῶν στοιχείων, λέγων ὅτι, ὥσπερ τὰ τέσσαρα στοιχεῖα κοινωνοῦσιν ἀλλήλων, ἐκ δὲ τῆς ἐνούσης ὑπερβολῆς γνωρίζεται ἕκαστον, οὕτω κἀν ταύταις ταῖς πολιτείαις.

194,4 ἀμωσγέπως κατά τινα τρόπον.

194,8 τό γε τῆς βουλῆς συνέδριον βουλὴν λέγει τὸν Ἄρειον πάγον, τὸν νῦν μὲν ὄντα δικαστήριον, τότε δὲ βουλευτήριον· διὸ καὶ συνέδριον ἐκάλεσε διὰ τὸ ἄρχειν τῆς πολιτείας. ἐπειδὴ τῆς ὀλιγαρχίας ὄνομα οὐκ ἦν καλὸν παραβάλλειν τῇ Ἀττικῇ, ἀντὶ τοῦ εἰπεῖν ὀλιγαρχίαν βουλευτήριον εἶπεν, εὐφημοτέρῳ ὀνόματι χρησάμενος. τῆς βουλῆς τῆς ἐν Ἀρείῳ πάγῳ.

194,9 ἡγούμενα ἡγεμονευόμενα. εἰ γὰρ δεῖ τῶν ἄλλων ἀποστάντα ὑπὲρ τῆς δημοκρατίας μόνης εἰπεῖν ἐπειδὴ λοιπὸν αὕτη τὸ τελευταῖον ἐκράτησεν.

194,10_12 φανήσονται τοῖς μὲν βουλήμασι, καὶ ταῖς—τοῖς ἀπὸ τῆς πόλεως γεγενημένοι βούλεται εἰπεῖν ὡς οἱ ἄλλοι Ἕλληνες δημοκρατίαν ἔχοντες τῇ μὲν θρασύτητι τῆς γνώμης καὶ τῷ ἐπιθυμεῖν τῶν ὑπὲρ αὐτοὺς καὶ μὴ ἐπιεικεῖς εἶναι, οὐ συμφωνοῦσι τῷ τῆς δημοκρατίας ὀνόματι, ἀλλ᾽ εἰσὶ τούτου θρασύτεροι, ἐν δὲ τῷ γνώμην ἔχειν γενναίαν καὶ μεγαλόψυχον εἰς ἅπαντα πράγματα, ὃ δὴ τοὺς δημοκρατουμένους ἔχειν εἰκὸς πόρρω τούτων εἰσίν· οἱ δὲ λαμβάνοντες ἔξωθεν τὸ ὅμοιοι πρὸς τὸ τοῖς ἀπὸ τῆς πόλεως, θέλοντες συντάξαι τὴν δοτικὴν, οὐδὲ λέγουσιν. ἀλλὰ τὸ γεγενημένοι ποιεῖ τὴν δοτικήν. δέον γὰρ εἰπεῖν οὐ συμφωνήσαντες, ἐπειδὴ ὁ συμφωνῶν τινι ὑπάρχει αὐτῷ κατὰ τὸ συμφωνεῖν, διὰ τοῦτο γεγενημένοι εἶπεν. προπετέστεροι θρασύτεροι.

194,11 τοῦ σχήματος τούτου τοῦ δημοκρατικοῦ. τῷ δ᾽ ἀξιώματι τῷ φρονήματι. μεγέθει καὶ γενναιότητι γνώμης.

194,13 τοὺς ὑπερέχοντας ταῖς οὐσίαις καὶ οὐ τοῖς τρόποις.

194,14 ἐπῆρεν ὕψωσε καὶ εἰς τιμὰς ἔθηκε. ὅσον μὴ ἀδικεῖσθαι διὰ τοῦτο, τοσοῦτον αὐτοῖς ἠξίου παρ᾽ αὐτῆς ὀφείλεσθαι ἐπειδὴ πρὸς τοὺς ἔχοντας φθόνος ἕρπει κατὰ Σοφοκλῆ, διὰ τοῦτο ἡ πόλις οὐκ εἴα τοὺς πλουτοῦντας ἀδικεῖσθαι ὑπὸ τῶν ἄλλων τῶν τοῖς τοιούτοις φθονούντων. διὰ τοῦτο τὸ πλουτεῖν.

194,15 τοῖς ἀρετῇ μὲν ὑπερφέρουσι, χρήμασι δ᾽ ἡττωμένοις ἤγουν Ἀριστείδης ὁ δίκαιος. οἷος Ἀριστείδης ὁ Λυσιμάχου. χρήμασι δ᾽ ἡττωμένοις ἐν χρήμασιν ἐλαττουμένοις. ἔλαττον τῆς ἀξίας.

194,17 τὴν ἀξίαν ὡρίσθαι χρήμασιν κεκρίσθαι καὶ ὁρίζειν.

194,19 οὐδ᾽ ἐποίησε τὰ τῇ φύσει τρίτα τῷ νόμῳ πρῶτα τὰ χρήματα λέγει. Πλατωνικὸν δὲ τὸ νόημα· λέγει γὰρ ἐκεῖνος πρῶτον μὲν τὴν ψυχὴν, δεύτερον τὸ σῶμα, τρίτον τὰ τοῦ σώματος, ἅπερ ἐστὶ χρήματα καὶ ἀρχαὶ καὶ φίλοι καὶ ὅσα ἀπὸ τῶν ἐκτός. οὐδὲ ὥσπερ τῶν φασκόντων φιλοσοφεῖν ἔστιν ἰδεῖν εἰς τοὺς περὶ Πλάτωνα αἰνίττεται.

194,20 λέγοντας μὲν οὕτω περὶ τούτων ὅτι δεῖ τὴν ἀρετὴν προτιμᾶν τοῦ πλούτου. ἔργῳ δὲ ὑποπίπτοντας ὑποχαλῶντας τοῦ φρονήματος.

195,1 τοὺς ἀπὸ τῶν μεγίστων τιμημάτων τίμημα καλεῖ τὸν πλοῦτον Πλατωνικῶς. τιμήματα ἐκάλουν τὰς οὐσίας· ἀπετετίμηντο γὰρ ἑκάστων αἱ οὐσίαι τῶν ἐν Ἀττικῇ, ὥστε εἶναι δήλας καὶ τὰς λειτουργίας καὶ τὰς εἰσφοράς. τίμημα λέγει τὸν πλοῦτον, ὡς καὶ Πλάτων καὶ Δημοσθένης χρῆται τῇ λέξει ἀποτετίμηντο γὰρ ἑκάστων αἱ οὐσίαι ἐν τῇ Ἀττικῇ ὥστε εἶναι—εἰσφοράς.

195,2 ἔδειξε δ᾽ τοῦτο.

195,3 ἡνίκα ἴσχυσε τὰ μέγιστα ἤγουν ἡνίκα ἐκτήσατο τὴν ἡγεμονίαν τῆς θαλάττης.

195,4 τῶν μὲν πλουσίων καὶ οὐκ ἀρετῇ λαμπρῶν. τῶν Ἑλληνικῶν οἴκων τῶν οὐσιῶν. οἴκων ἀντὶ τοῦ γενῶν. ἄλλοι δὲ τῶν περιουσιῶν· οὐ γὰρ εἰς ἣν

οἰκοῦμεν. οἶκον δὲ, τὴν οὐσίαν αὐτήν. τῶν δ' ὡς οἷόν τε πενεστάτων ἀλλ' ἀρετῇ θαυμαστῶν.

195,5 ἐπὶ τὴν προστασίαν τῶν Ἑλληνικῶν τὴν ἀρχήν. ἀντὶ τοῦ ἀρχήν· λέγει δὲ τὸν Ἀριστείδην, ὃν ἔταξαν καὶ ἐχειροτόνησαν τοὺς φόρους κατατάξαι τοῖς Ἕλλησιν. ἕνα τῶν ἀπὸ τούτων Ἀριστείδην τὸν δίκαιον πένητα ὄντα. περὶ Ἀριστείδου λέγει τοῦ Λυσιμάχου· οὕτως γὰρ ἦν, φησὶ, πένης ὥστε τὴν θυγατέρα αὐτοῦ μετὰ τὸν ἐκείνου θάνατον ἐκδοθῆναι ὑπὸ τῆς πόλεως. Ἀριστείδην τὸν Λυσιμάχου. ὁ μὲν ὁ Ἀριστείδης.

195,6 οἷς ἔταξεν, εὐδοκίμησεν ἄριστα γὰρ τοὺς φόρους ἔταξεν, ὡς καὶ δίκαιος ἐντεῦθεν κληθῆναι. ἡ πόλις δ', οἷς ἔκρινε ἀντὶ τοῦ ἐχειροτόνησε· λέγει δὲ τὸν Ἀριστείδην. περὶ αὐτοῦ μόνον ἁπάντων τοῦτον ἐκλεξαμένη.

195,7 τὰ μὲν πολλὰ καὶ προκατείληπται προκατείληπται ἀντὶ τοῦ προείρηται· λέγει δὲ περὶ τῶν ἐγκωμιαζόντων. ἐν τοῖς πρόσθεν λόγοις.

195,8 ἓν δέ τι προσθεὶς τὸ τιμᾶσθαι τοὺς ἀρίστους. περὶ τούτου τῆς πολιτείας.

195,9 τὸ γὰρ εἶναι τό τε βέλτιστον, καὶ τὸ κατ' ἐξουσίαν, συμπεπτωκὸς ἐνταυθοῖ ἤγουν τὸ κατ' ἐξουσίαν τὴν πόλιν ποιεῖν ὃ βούλεται. τὸ ἐρίσαι καὶ τιμηθῆναι κατ' ἀξίαν. ἐν δὲ τοῖς ἑξῆς ἑρμηνεύει τοῦτο· τῷ βελτίστῳ μὲν ἐπάγει τὸ τιμᾶσθαι τοὺς ἀρίστους, τῷ δὲ κατ' ἐξουσίαν τὸ τὴν δίαιταν αἰνεῖσθαι κοινοτάτην πᾶσιν. ἡ γὰρ πόλις καὶ τὰ καλὰ ποιεῖ, καὶ οἴκοθεν ἀφ' ἑαυτῆς, οὐ παρ' ἄλλου προστατ̣τομένη. τὸ γὰρ εἶναι τό τε βέλτιστον τὸ νόημα Θουκυδίδειον ἐκ τῶν ἐπιταφίων κείμενον· ὅτι ἐν τῇ πόλει ταύτῃ κατ' ἐξουσίαν ἔστιν αἱρεῖσθαι καὶ τιμᾶσθαι κατ' ἀξίαν φανέντα τινὰ βέλτιστον ἄνδρα. λέγει δὲ ὅτι τὸ καλὸν τῆς πολιτείας καὶ τὸ ζῆν κατ' ἐξουσίαν συνέδραμον.

195,11 ἐν ᾗ ζῆν μὲν ἔξεστιν ὡς ἄν τις βούληται ἤγουν ἐλευθέρως καὶ μηδενὸς ἀναγκάζοντος.

195,13 κἀν ταῖς χρείαις ταῖς ἄλλαις. τὸ εἰκὸς διεσώσαντο οἱ ἐξητασμένοι.

195,15 κοινῶν τῶν ἄθλων ἀντὶ τοῦ ἐπὶ τῶν ἄθλων δεδομένων ἀγωνισμάτων.

195,16 τοῦ δεσπόζειν τοῦτο ἴδιον τυραννίδος. ἂν κρατήσωσι οἱ κινδυνεύοντες.

195,17 εἰ δέ που καὶ διασταῖεν, οὐ χαλεπῶς ἀλλήλους ἐγνώριζον τοῦτο αἰνίττεται εἰς τὴν τυραννίδα τῶν τριάκοντα, ὅτι ἅμα εἰς χεῖρας ἦλθον καὶ σπονδὰς ἐποιήσαντο, ὡς αὐτός φησιν. εἰς τὴν μετάστασιν τῶν τριακοσίων αἰνίττεται, ὅτι ἅμα εἰς χεῖρας ἦλθον καὶ σπονδὰς ἐποιήσαντο.

195,18 πένταθλοι ἀντὶ τοῦ ἆθλος ἔχων πέντε ἀγωνίσματα, πάλην, δρόμον, ἀκόντιον, δίσκον, παγκράτιον· ἢ ἀντὶ τοῦ οἱ πέντε ἀγωνιζόμενοι, ἢ οἱ ἐν τοῖς πέντε ἀγωνίσμασι νικῶντες, οὐχ ὅτι πάντες οἱ πένταθλοι πάντα νικῶσιν· ἀρκεῖ γὰρ αὐτοῖς τρία τῶν πέντε πρὸς νίκην. λέγεται δὲ πρῶτος Πηλεὺς, ὅτε ἦν μετὰ τῶν Ἀργοναυτῶν, τοῦτον θεῖναι τὸν ἀγῶνα. τὰ δὲ πένταθλα ἦν ταῦτα, δρόμος, πάλη, δίσκος, ἀκόντιον, ἅλμα, οἱ δὲ παγκράτιον. πρᾶγμα εἶπεν ἀντὶ προσώπου· δέον γὰρ εἰπεῖν οἱ τοὺς πεντάθλους νικῶντες, ὁ δὲ εἶπεν οἱ πένταθλοι.

195,20 ποίοις ἂν λόγοις χρησάμενος βέλτιον ἂν παρακελεύσαιτο οἱονεὶ βούλεταί τις διὰ λόγων παροξῦναι στρατιώτας εἰς μάχην, οὐχ εὑρίσκει λόγους κρείττους τῶν ἀεὶ παρ᾽ Ἀθηναίων λεχθέντων ἐν τοῖς πολέμοις, οἷα ἐδημηγόρησεν ἐν Πελοποννησιακῷ. ἢ τοῖς τῶν Ἀθηναίων.

196,1 βέλτιον ἂν παρακελεύσαιτο ἐν παρατάξει πολέμου.

196,2 τῶν κατὰ τὴν πόλιν ἤγουν τῶν δημοσίων. ὀξύτερος εἰς τὸ πράττειν.

196,3 πραότερος ἐκ τοῦ εἰπεῖν πραότερος δείκνυσιν ὡς ὁ τῶν Ἀθηναίων δῆμος πάνθ᾽ ὅσα πράττει μετὰ τοῦ δικαίου καὶ τοῦ μηδένα λυπεῖν πράττει. μᾶλλον τῶν Ἀθηναίων. ἄξιοι θαυμάσαι αὐτούς.

196,4 ἐν τῇ τῶν λόγων ἀσκήσει καὶ τῆς λοιπῆς σοφίας καλῶς διεῖλεν· ἄλλο γὰρ λογικὴ κατασκευὴ κατὰ δύναμιν προφορικὴν, καὶ ἄλλο ψυχικὴ παίδευσις ἐκ φιλοψυχίας. λοιπὴν σοφίαν λέγει ἰατρικὴν, ζωγραφίαν, τὰς ἄλλας τέχνας· καὶ γὰρ Ὅμηρος οὐ μόνον ἐπὶ τῶν λόγων τὸ σοφὸν χρῆται, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν·
ὡς τὸ «Σοφὸς ἤραρε τέκτων.»

ἔτι καὶ νῦν ἐνταῦθα πάντες συνέρχονται μαθήσεως ἕνεκα.

196,5 τὰ γένη τῶν φιλοσόφων οὐ τέθνηκε τῇ τῆς πόλεως ἀγαθῇ τύχῃ τῷ σώζεσθαι τὰ βιβλία· λέγει δὲ γένη τῷ σώζεσθαι τοὺς στωικοὺς καὶ τοὺς ἄλλους. ἐπειδήπερ ἡ πόλις εὐτυχής ἐστι κατὰ πάντα, καὶ ἡ φιλοσοφία ἐντεῦθεν ἐξέλαμψε, διὰ Πλάτωνα καὶ ἑτέρους, καὶ πρὸς πᾶσαν γῆν ἐρρύηκε, διὰ τοῦτο εἶπε τὸ οὐ τέθνηκεν.

196,6 χωρὶς τοῦ καὶ τοὺς ὅπου δὴ γῆς ἀναγκαίως ἔχειν ἅμα τῶν τε λόγων καὶ τῶν Ἀθηναίων μεμνῆσθαι ὁ γὰρ ἀναγινώσκων λόγους Ἀθηναίων μέμνηται· ἐξ Ἀθηναίων γὰρ οἱ λόγοι.

196,7 τὸ εἴδωλον ἤγουν τοὺς Ἀθηναίους.

196,8 πᾶσι μὲν ἀνθρώποις οὕτως—ὡς οὐδὲν ἄλλο ἓν, καὶ τὸ αὐτὸ ὅτι οὐκ ἀνθρώπινον, εἰ μὴ θεῖον εἴποις.

196,9 οὔτε βασιλεῖς εἰς μικρὰ ἄττα ἐτίμησαν δι' Ἀδριανὸν λέγει τὸν βασιλέα. οὕτως γὰρ πᾶσιν ἐδήλωσε τοῖς ἔθνεσιν ὅτι ὁ τιμῶν τὰς Ἀθήνας ἐμὲ τιμᾷ. εἰς Ἀδριανὸν αἰνίττεται τὸν αὐτοκράτορα· οὗτος γὰρ πᾶσιν ἐδήλωσε τοῖς ἔθνεσιν ὅτι ὁ τιμῶν τὰς Ἀθήνας ἐμὲ τιμᾷ, καὶ τοσαῦτα περὶ τὴν πόλιν ἐπεδείξατο ὅσα εἰς οὐδεμίαν ἄλλην.

196,10 αἷς ἐπεδείκνυντο πρὸς τὴν πόλιν.

196,12 θύειν τε ὑπὲρ τῶν Ἑλλήνων τὴν προηροσίαν κελευόντων ἡ ἱστορία προείρηται τὴν προηροσίαν τουτέστι πρὸ τοῦ ἀρότρου καὶ τοῦ σπόρου. λέγει δὲ τὴν πρὸ τοῦ ἀροτριᾶν θυσίαν, ἣν ποιοῦσιν, ὥστε καλοὺς τοὺς καρποὺς γενέσθαι. ἡ δὲ ἱστορία τοιαύτη· λοιμοῦ κατασχόντος τοὺς Ἕλληνας, ἔχρησεν ὁ θεὸς παύσασθαι, εἰ Ἀθηναῖοι εὔξοιντο ὑπὲρ αὐτῶν. ἐλθόντων δὲ πρέσβεων εἰς τὴν Ἀττικὴν πεισθέντες ἔθυσαν ὑπὲρ αὐτῶν τὴν προηροσίαν, ἀντὶ τοῦ πρώτου ἀρότρου, καὶ οὕτως ἐπαύσατο ὁ λοιμός.

196,14 ἀετόν τε ἐν νεφέλαις αὐτὴν ὁ θεὸς καλεῖ πρὸς τἄλλα πολίσματα λέγεται ὁ ἀετὸς βασιλεὺς εἶναι τῶν ὀρνέων. ὥσπερ οὖν, φησὶν, ὁ ἀετὸς τῶν ἄλλων προέχει ὀρνέων, οὕτω καὶ ἡ πόλις τῶν Ἀθηναίων τῶν ἄλλων πόλεων. τοῦτο δέ ἐστι μὲν ἀπὸ χρησμοῦ, εἰς δὲ παροιμίαν ἦλθεν ἐπὶ τῶν δυσαλώτων· καὶ γὰρ ὁ ἀετὸς ἐν νεφέλαις ὢν δυσάλωτός ἐστι. τὸ δὲ τοῦ

χρησμοῦ μέρος τοιοῦτον, Εὔδαιμον πτολίεθρον Ἀθηναίης ἀγελείης, ἀετὸς ἐν νεφέλῃσι πετήσεται ἤματα πάντα. ἐπειδὴ ὁ ἀετὸς ἄρχει τῶν ἄλλων ὀρνέων, — διὰ τοῦτο γὰρ καὶ τῷ Διὶ ἀνάκειται — καὶ ἡ πόλις τῶν Ἀθηναίων κρείττων ἁπασῶν ἐστι τοῖς ὅλοις, τούτου χάριν ἀετὸν ὁ θεὸς ταύτην προσεῖπε, δεικνὺς αὐτῆς τὴν ὑπεροχὴν καὶ ὅτι ὅσον αἱ νεφέλαι τῆς γῆς ἀπέχουσι, τοσοῦτον καὶ αὕτη τῶν ἄλλων πόλεων.

196,15 μόνῃ δ', ὡς ἔοικε, ταύτῃ πόλεων δύο τἀναντία συμβέβηκε ταῦτα λέγει δύο τἀναντία ὅτι καὶ πάντες τὴν πόλιν ἐγκωμίασαν, καὶ οὐδεὶς κατ' ἀξίαν αὐτῆς εἴρηκεν, ἀλλὰ παρὰ πάντων ἐγκωμιασθεῖσα πασῶν ἐλάττονα τῶν πόλεων ἤκουσε.

196,18 ἀκούων τὸ τῆς σοφίας πρυτανεῖον, καὶ τὴν τῆς Ἑλλάδος ἑστίαν καὶ τὸ ἔρεισμα Πλάτων ἐν Πρωταγόρᾳ, κατὰ ταυτὸν νῦν συνεληλυθότες Ἑλλάδος πρυτανεῖον· τῆς περὶ τῆς ἑστίας Ἑλλάδος· καὶ ὁ Πύθιος λέγει, χρωμένοις τὴν Λακεδαιμονίαν μετὰ τὰ ἐν Αἰγὸς ποταμοῖς ἔχρησεν Ἀπόλλων μὴ δεῖν ἀνελεῖν τὴν τῆς Ἑλλάδος ἑστίαν· τὸ δὲ ἔρεισμα πολλοὶ μὲν καὶ ἄλλοι καὶ Πίνδαρος δέ φησιν «Ἔρεισμ' Ἀθήνας δαιμόνιον πτολίεθρον.» Πλάτων ἐν Πρωταγόρᾳ σοφίας πρυτανεῖον τὰς Ἀθήνας καλεῖ· Ἑλλάδος δὲ ἑστίαν ὁ Πύθιος. βουλομένοις γὰρ Λακεδαιμονίοις μετὰ τὰ ἐν Αἰγὸς ποταμοῖς καθάπαξ Ἀθήνας καὶ τὸ τῶν Ἀθηναίων ὄνομα ἀπολέσαι, καὶ ἐρομένοις περὶ τούτου τὸν Πύθιον, χρησμὸς αὐτοῖς δέδοται ὡς οὐ δεῖ τὴν τῆς Ἑλλάδος ἀνελεῖν ἑστίαν. τὸ δὲ ἔρεισμα Πίνδαρός φησιν οὕτως «Ἔρεισμα Ἀθήνας δαιμόνιον πτολίεθρον.»

196,19 νῦν δέ μοι δοκεῖ πάντα ταῦτα εἴσω πίπτειν εἴσω πίπτειν ἐστὶ τὸ περιέχεσθαι· πᾶν δὲ περιεχόμενον μικρόν ἐστιν. ὃ οὖν λέγει τοιοῦτόν ἐστι· νῦν δέ μοι δοκεῖ πάντα ταῦτα μικρὰ εἶναι, καὶ οὐκ ἔχεσθαι τοῦ ἀκριβοῦς, ἀντὶ τοῦ οὐκ ἐξεληλυθέναι ἐπὶ τὸ ἔχεσθαι τῆς ἀληθείας· ἀπὸ μεταφορᾶς τῶν ῥιπτούντων τοὺς κύβους, καὶ ἔξω τῶν φιμῶν ῥιπτούντων. τὸ εἴσω πίπτειν ἀντὶ τοῦ ἐλάττω δοκεῖν, καὶ μὴ τῆς ἀξίας ἀφικνεῖσθαι. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν τοξοτῶν, ὅταν ἐντὸς τοῦ σκοποῦ πέμπωσι τὰ βέλη.

196,20 εἴ τινα χρὴ πόλιν θεῶν ὕπαρχον ἢ συγγενῆ προσειπεῖν ὕπαρχός ἐστιν ὁ ὑπὸ τὸν ἄρχοντα ἄρχων. ἐκ δὲ τοῦ εἰπεῖν συγγενῆ δείκνυσι τὸ τῆς πόλεως σεβάσμιον.

197,1 ὑποχωροῦντας ἡττωμένους αὐτοῖς.

197,2 συναύξειν τὰ αὐτῆς.

197,4 μετέχει τῆς δόξης ἡ πόλις ἡ τοῦτον ἔχουσα. τῆς ἡγουμένης ἁπάντων.

197,5 οἶμαι δὲ οὐδ' αὐτοῖς Ἀθηναίοις φέρειν αἰσχύνην, ἄν τις αὐτοῖς πρεσβεύῃ τὴν ἀκρόπολιν ἐπειδὴ εἶπε τοῖς Ἕλλησιν ὅτι οὐ δεῖ ὑμᾶς ὑποχωροῦντας τῇ πόλει ἐρυθριᾶν, παρεμυθήσατο τοὺς Ἕλληνας, καὶ ἐξ αὐτῶν τῶν Ἀθηναίων λαβὼν τὴν ἀπόδειξιν, ὅτι οὐδὲ τοὺς Ἀθηναίους λυπεῖ τῷ τὴν ἀκρόπολιν τιμιωτέραν τῆς πάσης Ἀττικῆς λέγεσθαι, οὐδὲ τοῦτο αἰσχύνην αὐτοῖς φέρει.

197,6 ἄν τις αὐτοῖς πρεσβεύῃ τὴν ἀκρόπολιν ἤγουν τὰ πρεσβεῖα καὶ τὴν ὑπεροχὴν δοίη ἢ τῇ πόλει. κορυφὴν κεφαλήν. οἷον εἰ κεφαλήν· ὅ ἐστι τοῦ ὅλου σώματος τιμιώτερον.

197,8 εἴργασται καὶ ἡμῖν ὁ λόγος ἀντὶ τοῦ πέπλου κόσμος, Παναθηναίων τῇ θεωρίᾳ πέπλον λέγει τὸ ἱστίον τῆς νεώς. φασὶ γὰρ ὅτι ναῦς ἦν ὑπότροχος κατασκευασθεῖσα, ἥτις ἐν τοῖς Παναθηναίοις ἀπό τινος τόπου ἀγομένη ἐπὶ τὴν ἀκρόπολιν εἶχεν ἄρμενον, ἐν ᾧ ἦν γεγραμμένον· ἡ γιγαντομαχία, ἐν ᾗ φασιν ἀριστεῦσαι τὴν Ἀθηνᾶν. λέγουσι δὲ ὅτι αἱ καλαὶ τῶν παρθένων ἐν τοῖς Παναθηναίοις εἰργάζοντο πέπλους, οὓς ἀνετίθεσαν τῇ Ἀθηνᾷ. ἐν τοῖς Παναθηναίοις ὕφαινον αἱ παρθένοι Ἀθήνησι πέπλον, ἐν ᾧ ἅρμα ἦν ἐντετυπωμένον, καὶ ἃ κατὰ τῶν γιγάντων ἡ θεὸς ἔπραξεν. ἐποίουν τοῦτον τὸν πέπλον ἱστίον τῆς νηὸς, ἥτις ὑπότροχος κατεσκεύαστο, καὶ ἔκ τινος τόπου πρὸς τὴν ἀκρόπολιν ἤγετο.

179,9 δοῦναι δὲ χάριν τῆς αὐτῆς θεοῦ, ἥσπερ καὶ ὁ λόγος καὶ ἡ πόλις τοῦτο εἶπεν ἢ ὅτι πάντες οἱ λόγοι καθόλου εἰς τὴν Ἀθηναίων ἀνεφέροντο πόλιν, ἢ οὗτος ὁ λόγος τῆς Ἀθηνᾶς ἐστιν, ἐπειδὴ ἐν τοῖς Παναθηναίοις εἴρηται.